# ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ
# ΦΙΛΟΛΟΓΙΚΗ
## ΕΙΣ ΤΕΣΣΑΡΑΣ ΤΟΜΟΥΣ ΔΙΗΡΗΜΕΝΗ,

Συναρμοσθεῖσα μὲν ποτε παρὰ τοῦ Ἐλλογιμωτάτου

## ΙΩΑΝΝΟΥ ΠΑΤΟΥΣΑ
## ΤΟΥ ΕΞ ΑΘΗΝΩΝ.

Νῦν δὲ ἐπιμελέστερον μετατυπωθεῖσα, ηὐξήθη ἔν τισιν
ὑπὲρ τὸ πρῶτον, ἔτι δὴ προσετέθη τὸ ἄρτι
νῦν ἀνέκδοτον φιλοπόνημα

ΤΟΥ ΚΥΡΙΟΥ

## ΑΝΤΩΝΙΟΥ ΒΥΖΑΝΤΙΟΥ

ΚΑΛΟΥΜΕΝΟΝ ΧΡΗΣΤΟΗΘΕΙΑ,

Πρὸς παραίνεσιν ἠθῶν τῶν Νέων· ἔτι καὶ
μανθανόντων Ὁμιλία

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ,

Πλείονος ἕνεκα τῶν τῆς Ἑλληνικῆς Γλώττης φιλομαθῶν
ὁπωσδήποτε ὠφελείας.

Μεθ' ὅσης οἷόν τε ἦν τῆς ἀκριβείας διορθωθεῖσα
παρὰ Σ. Β.

## ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

10366

αψϙέ. ΕΝΕΤΙΗΣΙΝ, 1795.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΩΑΝΝΟΥ

## ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως,

## ΛΟΓΟΣ

### Περὶ Προσευχῆς.

ΑΜΦΟΤΕΡΩΝ ἕνεκα προσήκει τοὺς τοῦ Θεοῦ θεράποντας μακαρίζειν καὶ θαυμάζειν, ὅτι τὴν ἐλπίδα τῆς σωτηρίας ἐν ταῖς ἁγίαις εἶχον εὐχαῖς, καὶ ὅτι γραφῇ φυλάξαντες τοὺς ὕμνους καὶ τὰς λατρείας, ἃς τῷ Θεῷ σὺν χαρᾷ καὶ φόβῳ προσέφερον, καὶ εἰς ἡμᾶς διέδωκαν τὸν ἑαυτῶν θησαυρὸν, ἵνα πρὸς τὸν οἰκεῖον ζῆλον πᾶν τὸ ἐπιγινόμενον ἐπισπάσασθαι δυνηθῶσι. ἀναβαίνειν γὰρ προσήκει τὸν τῶν διδασκάλων ἐπὶ τοὺς ὁμιλοῦντας τρόπον, καὶ τοὺς τῶν Προφητῶν μαθητὰς, μιμητὰς προσήκει φαίνεσθαι τῆς ἐκείνων δικαιοσύνης, ἵνα πάντα τὸν χρόνον ταῖς προσευχαῖς, καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ, καὶ μελέτῃ συζῶμεν, τοῦτο ζωὴν, τοῦτο ὑγίειαν καὶ πλοῦτον, τοῦτο πέρας ἀγαθῶν εἶναι νομίζοντες, τὸ προσεύ-

χεσθαι τῷ Θεῷ μετὰ καθαρᾶς καὶ ἀδιαφθόρου ψυχῆς· ὥσπερ γὰρ
τῷ σώματι φῶς, ἥλιος, οὕτω ψυχῇ προσευχή. εἰ οὖν τυφλῷ
ζημία τὸ μὴ ὁρᾷν τὸν ἥλιον, πόση ζημία χριστιανῷ τὸ μὴ προ-
σεύχεσθαι συνεχῶς, καὶ διὰ τῆς εὐχῆς τὸ τοῦ Χριστοῦ φῶς εἰς τὴν
ψυχὴν εἰσάγειν; Καί τοι τίς οὐκ ἂν ἐκπλαγείη καὶ θαυμάσειε
τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἣν εἰς ἡμᾶς ἐπιδείκνυται, τοσαύ-
την τιμὴν ἀνθρώποις χαριζόμενος, ὡς καὶ προσευχῆς ἀξιῶσαι,
καὶ ὁμιλίας τῆς ἑαυτοῦ; Θεῷ γὰρ ὡς ἀληθῶς λαλοῦμεν τῷ καιρῷ
τῆς προσευχῆς, δι' ἧς καὶ τοῖς Ἀγγέλοις συναπτόμεθα, καὶ
τὴν πρὸς τὰ ἄλογα κοινωνίαν πολὺ φαινόμεθα διαφεύγοντες.
Ἀγγέλων γὰρ ἔργον ἡ προσευχή, ὑπεραίρουσα καὶ τὴν ἐκείνων
ἀξίαν, εἴπερ κρεῖττόν ἐστι τῆς Ἀγγέλων ἀξίας τῷ Θεῷ διαλέ-
γεσθαι. ἀλλ' ὅμως ὅτι γε κρεῖττόν ἐστιν, αὐτοὶ διδάσκουσιν ἡ-
μᾶς, σὺν πολλῷ μὲν φόβῳ τὰς εὐχὰς προσφέροντες, παρέ-
χοντες δὲ ἡμῖν εἰδέναι καὶ μανθάνειν, ὅτι προσήκει τῷ Θεῷ
προσιόντας σὺν χαρᾷ καὶ φόβῳ τοῦτο ποιεῖν. φόβῳ μὲν, δεδοι-
κότας μὴ τῆς προσευχῆς ἀνάξιοι φανῶμεν. χαρᾶς δὲ μεστοὺς γι-
νομένους ἐπὶ τῷ μεγέθει τῆς τιμῆς, ὅτι τοσαύτης καὶ τοιαύτης
προνοίας τὸ θνητὸν ἠξιώθη γένος, ὡς καὶ θείας ἀπολαύειν ὁ-
μιλίας συνεχῶς, δι' ἧς καὶ τὸ θνητοὶ εἶναι καὶ πρόσκαιροι δια-
φεύγομεν, φύσει μὲν ὄντες θνητοί, τῇ δὲ πρὸς Θεὸν ὁμιλίᾳ,
πρὸς ἀθάνατον ζωὴν μεταβαίνοντες. ἀνάγκη γὰρ τὸν ὁμιλοῦντα
Θεῷ, καὶ κρείττονα γενέσθαι θανάτου, καὶ πάσης διαφθορᾶς. καὶ
ὥσπερ ἀνάγκη πᾶσα, τῆς ἡλιακῆς ἀκτῖνος ἀπολαύοντα διατ-
φεύγειν τὸ σκότος, οὕτως ἀνάγκη πᾶσα, τῆς θείας ὁμιλίας ἀπατ-
λαύοντα, μηκέτι εἶναι θνητόν· αὐτὸ γὰρ τὸ τῆς τιμῆς μέγεθος,
πρὸς ἀθανασίαν ἡμᾶς μεθίστησιν. εἰ γὰρ τοὺς βασιλεῖ διαλε-
γομένους, καὶ τῆς παρ' ἐκείνου τιμῆς ἀπολαύοντας, ἀμήχανον εἶ-
ναι πένητας, πολλῷ μᾶλλον ἀδύνατον τοὺς τῷ Θεῷ προσευχο-
μένους καὶ λαλοῦντας, θνητὰς ἔχειν ψυχάς. θάνατος γὰρ ψυχῆς,
ἀσέβεια, καὶ βίος παράνομος. οὐκοῦν καὶ ζωὴ ψυχῆς ἡ τοῦ Θεοῦ

λα-

λατρεία, καὶ βίος ὁ ταύτῃ πρέπων. βίον δὲ ὅσιον, καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ πρέποντα, προσευχὴ συνάγει, καὶ θησαυρίζει θαυμαστῶς ταῖς ἡμετέραις ψυχαῖς. εἴτε γὰρ παρθενίας τις ἐραστὴς, εἴτε τὴν ἐν γάμῳ σωφροσύνην τιμᾶν ἐσπουδακὼς, εἴτε κρατεῖν ὀργῆς, καὶ πραότητι συζῆν, εἴτε φθόνου καθαρεύειν, εἴτε ἄλλο τι τῶν προσηκόντων ποιεῖν, προσευχῆς ἡγουμένης καὶ προλεαινούσης τὴν τοιαύτην ὁδὸν τοῦ βίου, εὐχερῆ τε καὶ ῥᾴδιον ἕξει τὸν τῆς εὐσεβείας δρόμον. οὐ γάρ ἐστιν, οὐκ ἔστι τοὺς αἰτοῦντας παρὰ τοῦ Θεοῦ σωφροσύνην καὶ δικαιοσύνην καὶ πραότητα καὶ χρηστότητα, μὴ τυγχάνειν τῆς εὐχῆς. Αἰτεῖτε γὰρ φησὶ, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. καὶ ἀλλαχοῦ πάλιν. Τίς ἐστί φησιν ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει Πνεῦμα Ἅγιον τοῖς αἰτοῦσιν αὐτόν; Τοιούτοις μὲν λόγοις καὶ τοιαύταις ἐλπίσιν ἐπὶ προσευχὴν παρεκάλεσεν ἡμᾶς ὁ τῶν ὅλων Κύριος. ἡμᾶς δὲ προσήκει τῷ Θεῷ πειθομένους ἀεὶ ζῆν ἐν ὕμνοις καὶ προσευχαῖς, ἀκριβέστερον τῆς τοῦ Θεοῦ λατρείας ἐχομένους, ἢ τῆς ἑαυτῶν ψυχῆς. οὕτω γὰρ ἡμῖν ὑπάρξει ζῆν ἀεὶ τὴν πρέπουσαν ἀνθρώποις ζωήν. ὅστις γὰρ οὐ προσεύχεται τῷ Θεῷ, οὐδὲ θείας ὁμιλίας ἀπολαύειν ἐπιθυμεῖ συνεχῶς, νεκρός ἐστι καὶ ἄψυχος, καὶ οὐ μετέχει τοῦ φρονεῖν. αὐτὸ γὰρ τοῦτο μέγιστον ἀφροσύνης σημεῖον, τὸ μὴ ἐπίστασθαι τὸ μέγεθος τῆς τιμῆς, μηδὲ ἐρᾶν προσευχῆς, μηδὲ θάνατον ἡγεῖσθαι ψυχῆς τὸ μὴ προσκυνεῖν τῷ Θεῷ. ὥσπερ γὰρ οἶμαι τὸ σῶμα τοῦτο τὸ ἡμέτερον, ψυχῆς μὴ παρούσης, νεκρόν ἐστι, καὶ δυσῶδες, οὕτω ψυχὴ μὴ κινοῦσα ἑαυτὴν εἰς προσευχὴν, νεκρά ἐστι, καὶ ἀθλία, καὶ δυσώδης. ἀλλὰ μὴν, ὅτι γε θα-

νάτου παντὸς πικρότερον ἡγεῖσθαι προσήκει, στερηθῆναι προσευχῆς, διδάσκει καλῶς ἡμᾶς Δανιὴλ ὁ μέγας Προφήτης, μᾶλλον ἑλόμενος ἀποθανεῖν, ἢ τρεῖς ἡμέρας μόνας στερηθῆναι προσευχῆς· οὐ γὰρ ἀσεβῆσαι τούτῳ προσέταξεν ὁ τῶν Περσῶν βασιλεὺς, ἀλλὰ τὰς τρεῖς ταύτας μόνον ἡμέρας ἐσκοπήσατο εὑρεῖν. ἄνευ γὰρ τῆς θείας ῥοπῆς οὐκ ἄν τι τῶν ἀγαθῶν εἰς τὰς ἡμετέρας ἔλθοι ψυχάς. Θεοῦ δὲ ῥοπὴ συνυφαίνεται τῶν πόνων ἡμῖν, καὶ τούτους ἐπικουφίζει καλῶς, ἂν ἴδῃ προσευχὴν ἀγαπῶντας καὶ συνεχῶς τοῦ Θεοῦ δεομένους, καὶ πάντα ἐκεῖθεν τὰ ἀγαθὰ καταβήσεσθαι προσδοκῶντας. ὅτ᾽ ἂν οὖν ἴδω τινὰ μὴ φιλοῦντα προσευχὴν, μηδὲ θερμὸν ἔρωτα ταύτης ἔχοντα καὶ σφοδρὸν, ἤδη μοι οὗτος δῆλός ἐστιν ὡς οὐδὲν γενναῖον ἐν τῇ ψυχῇ κέκτηται· ὅτ᾽ ἂν δὲ ἴδω τινὰ τῆς τοῦ Θεοῦ λατρείας ἀκορέστως ἐχόμενον, καὶ τὸ μὴ προσεύχεσθαι συνεχῶς, ἐν ταῖς μεγίσταις ἀριθμοῦντα ζημίαις, τεκμαίρομαι τὸν τοιοῦτον πάσης ἀρετῆς ἀσκητὴν εἶναι βέβαιον, καὶ τοῦ Θεοῦ ναόν. εἰ γὰρ στολισμὸς ἀνδρὸς, καὶ βῆμα ποδὸς, καὶ γέλως ὀδόντων, ἀναγγέλλει τὰ περὶ αὐτοῦ, κατὰ τὸν σοφὸν Σολομῶντα, πολλῷ μᾶλλον εὐχὴ καὶ λατρεία Θεοῦ σημεῖόν ἐστι δικαιοσύνης ἁπάσης, στολή τις οὖσα πνευματικὴ καὶ θεία, πολλὴν εὐμορφίαν καὶ κάλλος παρέχουσα ταῖς ἡμετέραις διανοίαις, τὸν ἑκάστου ῥυθμίζουσα βίον, οὐκ ἐῶσα φαῦλον, οὐδὲ ἄτοπον τῆς διανοίας κρατεῖν, αἰδεῖσθαι πείθουσα τὸν Θεὸν, καὶ τὴν παρ᾽ αὐτοῦ τιμὴν, πᾶσαν τοῦ πονηροῦ γοητείαν ἀποπέμπεσθαι παιδεύουσα, τοὺς αἰσχροὺς καὶ ἀτόπους ἐξελαύνουσα λογισμοὺς, ἐν ὑπεροψίᾳ τῆς ἡδονῆς καθιστῶσα τὴν ἑκάστου ψυχήν. αὕτη γὰρ ἡ ὑπερηφανία μόνη πρέπει τοῖς τὸν Χριστὸν σεβομένοις, τὸ μηδενὶ δουλεύειν αἰσχρῷ, ἀλλὰ τηρεῖν ἐν ἐλευθερίᾳ τὴν ψυχὴν, καὶ βίῳ κεκαθαρμένῳ. Ὅτι μὲν οὖν παντελῶς ἀμήχανον ἄνευ προσευχῆς ἀρετῇ συζῆν, καὶ μετὰ ταύτης πορεύεσθαι τὸν βίον, οἶμαι δῆλον ἅπασιν εἶναι. πῶς γὰρ ἄν τις ἀρετὴν ἀσκήσειε, μὴ προσιὼν

καὶ

ϗ προσιόντων συνεχῶς τῷ ταύτης χορηγῷ ϗ δοτῆρι; πῶς δὲ ἄν τις ἐπιθυμήσειεν εἶναι σώφρων ϗ δίκαιος, μὴ ὁμιλῶν ἡδέως τῷ ταῦτά τε ϗ πλείω τούτων ἀπαιτοῦντι παρ' ἡμῶν; Βούλομαι δὲ ἐπιδεῖξαι διὰ βραχέων, ὅτι κἂν ἁμαρτημάτων γέμοντας αἱ προσευχαὶ λάβωσιν ἡμᾶς, ταχέως ἀποκαθαίρουσι. Καίτοι τί μεῖζον γένοιτ' ἂν προσευχῆς, ἢ θειότερον, ὅτ' ἂν ἀλεξιφάρμακόν φανῇ τι οὖσα τοῖς τὰς ψυχὰς νοσοῦσιν; οὐκοῦν πρῶτοι Νινευῖται φαίνονται διὰ προσευχῆς ἀναλυσάμενοι τὰς πολλὰς πρὸς Θεὸν ἁμαρτίας· ἅμα τε γὰρ ἔλαβον αὐτοὺς ἡ προσευχὴ, ϗ δικαίους ἐποίησε. ϗ πόλιν εἰθισμένην ἀκολασίᾳ ϗ πονηρίᾳ ϗ παρανόμῳ βίῳ συζῆν, ἐπανώρθωσεν ὀξέως, παλαιᾶς συνηθείας μεῖζον ἰσχύσασα, τῶν οὐρανίων νόμων πλήρη πεποιηκυῖα τὴν πόλιν, συνεφελκομένη μεθ' ἑαυτῆς ϗ σωφροσύνην, ϗ φιλανθρωπίαν, ϗ πρᾳότητα, ϗ πρόνοιαν πτωχῶν· οὐ γὰρ ἀνέχεται χωρὶς τούτων ἐνδιαιτᾶσθαι ψυχῇ, ἀλλ' εἰς ἣν ἂν οἰκήσῃ διάνοιαν, πλήρη ποιεῖ δικαιοσύνης πάσης, παιδοτριβοῦσα πρὸς ἀρετὴν, ϗ κακίαν ἐξορίζουσα. Καὶ δὴ ϗ τότε εἴ τις εἰσῆλθεν εἰς Νινευῖ τὴν πόλιν, ϗ πρότερον αὐτὴν ἀκριβῶς ἐπιστάμενος, οὐκ ἂν ἐπέγνω τὴν πόλιν· οὕτως ἐξαίφνης ἀπὸ τοῦ φαυλοτέρου βίου πρὸς εὐσέβειαν μετεπήδησεν. ὥσπερ γὰρ γυναῖκα πτωχὴν, ῥάκια φέρουσαν, μετὰ ταῦτά τις χρυσοῖς ἱματίοις κεκοσμημένην ἰδὼν, οὐκ ἂν ἐπιγνοίη τὸ γύναιον, οὕτως ὁ τὴν πόλιν ἐκείνην εἰδὼς πτωχεύουσαν πρότερον, ϗ τῶν πνευματικῶν ἔρημον οὖσαν θησαυρῶν, ἠγνόησεν ἂν ἥτις εἴη πόλις, ἣν τοσοῦτον ἴσχυσεν εὐχὴ, μεταβαλοῦσα ϗ τρόπον ϗ βίον, πρὸς ἀρετὴν ἐπαναγαγεῖν. Καὶ γυνὴ δέ τις ἐν ἀκολασίᾳ ϗ πορνείᾳ πάντα βεβιωκυῖα τὸν χρόνον, ἅμα τε προσέπεσε πρὸς τοὺς πόδας τοῦ Χριστοῦ, ϗ σωτηρίας ἔτυχεν. Οὐ τοίνυν ἀποκαθαίρει μόνον ἁμαρτίας, ἀλλὰ ϗ κινδύνους ἀποκρούεται μεγάλους. ὁ γοῦν βασιλεὺς ὁ μετὰ ϗ Προφήτης ὁ θαυμάσιος Δαβὶδ, τοὺς πολλοὺς, καὶ χαλεποὺς πολέμους τῇ

προσευχῇ διέφυγε, τοῦτο μόνον τὸ ὅπλον τῆς στρατιᾶς προβαλλόμενος, καὶ παρέχων τοῖς ἑαυτοῦ στρατιώταις καθ᾽ ἡσυχίαν καὶ ἄδειαν ἀπολαύειν τῆς νίκης. ὡς οἱ μὲν ἄλλοι βασιλεῖς, ἐν τῇ τῶν στρατηγῶν ἐμπειρίᾳ καὶ τῇ τέχνῃ καὶ τοξόταις καὶ ὁπλίταις καὶ ἱππεῦσι τὴν ἐλπίδα τῆς σωτηρίας εἶχον. ὁ δὲ μέγας Δαβὶδ ταῖς ἁγίαις εὐχαῖς τὴν στρατιὰν ἐτείχιζεν, οὐ βλέπων εἰς ὀφρὺν στρατηγῶν καὶ ταξιάρχων καὶ ἱππάρχων, οὐδὲ χρήματα συλλέγων, οὐδὲ ὅπλα κατασκευάζων, ἀλλὰ τὴν θείαν πανοπλίαν ἐξ Οὐρανοῦ καταφέρων. πανοπλία γὰρ ὡς ἀληθῶς οὐράνιος, ἡ θεία προσευχὴ, καὶ μόνη δύναται φυλάττειν βεβαίως τοὺς δεδωκότας ἑαυτοὺς τῷ Θεῷ. τὴν μὲν γὰρ τῶν ὁπλιτῶν ἰσχὺν καὶ ἐπιστήμην, καὶ τοξοτῶν ἐμπειρίαν, καὶ προδοσίαν πολλάκις ὑποφαίνει μάταιον, καὶ βλέμματα πολεμικὰ, καὶ ἀντιπάλων εὐψυχία, καὶ ἄλλα πολλὰ πρὸς τούτοις. προσευχὴ δὲ ἄμαχον ὅπλον καὶ ἀσφαλὲς φυλακτήριον, ὁμοίως μὲν στρατιώτην ἕνα, ὁμοίως δὲ πολλὰς ἀποκρουομένη μυριάδας. ἐπεὶ καὶ Δαβὶδ ὁ θαυμάσιος τὸν Γολιὰδ ἐκεῖνον, ὥσπερ δαίμονά τινα φοβερὸν ἐπερχόμενον, οὐκ ὅπλοις οὐδὲ ξίφεσιν, ἀλλ᾽ εὐχαῖς κατήνεγκεν. οὕτως ἰσχυρὸν μὲν βασιλεῦσιν ἐν μάχαις ὅπλον ἡ προσευχὴ, ἰσχυρὸν δὲ καὶ ἡμῖν πρὸς δαίμονας. οὕτω καὶ ὁ βασιλεὺς Ἐζεκίας περιγίνεται τοῦ πολέμου τῶν Περσῶν, στρατιὰν μὲν οὐχ ὁπλίσας, εὐχὰς δὲ μόνας ἀντιστήσας τῷ πλήθει τῶν ἀντιπάλων· οὕτω καὶ θάνατον διέφυγε μετὰ τῆς προσηκούσης εὐλαβείας τῷ Θεῷ προσπεσὼν, καὶ ἡ προσευχὴ μόνη δέδωκεν ἀναβιῶναι τῷ βασιλεῖ. καὶ μὴν γε ὅτι ψυχὴν ἡμαρτηκυῖαν ἡ προσευχὴ ῥᾳδίως ἀποκαθαίρει, διδάσκει ἡμᾶς ὁ Τελώνης, δεηθεὶς τοῦ Θεοῦ τυχεῖν ἀφέσεως, καὶ τυχών. διδάσκει δὲ καὶ ὁ λεπρὸς, ἅμα τε προσπεσὼν τῷ Θεῷ, καὶ καθαρθεὶς εὐθέως. εἰ δὲ σῶμα διεφθαρμένον ὁ Θεὸς ὀξέως ἰάσατο, πολλῷ μᾶλλον ψυχὴν νενοσηκυῖαν θεραπεύσει φιλανθρώπως. ὅσῳ γὰρ τιμιωτέρα τοῦ σώματος ἡ ψυχὴ, τοσούτῳ μᾶλλον

λον εἰκὸς περὶ ταύτην πλείονα σπουδὴν ἐπιδείκνυσθαι τὸν Θεόν. Καὶ μυρία ἄν τις ἔχοι λέγειν καὶ παλαιὰ καὶ καινά, εἰ πάντας ἐξαριθμεῖσθαι βούλοιτο τοὺς διὰ προσευχῆς σεσωσμένους. ἴσως δέ τις τῶν ῥαθυμοτέρων, καὶ οὐκ ἐθελόντων ἐπιμελῶς προσεύχεσθαι καὶ σπουδαίως, ἐκεῖνα τὰ ῥήματα φήσειεν ἂν εἰρηκέναι τὸν Θεόν, ὡς, οὐ πᾶς ὁ λέγων μοι· Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν Οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς. ἐγὼ δέ, εἰ μόνην ἐξαρκεῖν πρὸς τὴν ἡμετέραν σωτηρίαν τὴν προσευχὴν ἐνόμιζον, εἰκότως ἄν τις τούτοις ἐκέχρητο τοῖς λόγοις· ἐπεὶ δὲ κεφάλαιον εἶναι ἀγαθῶν τὴν προσευχήν φημι, καὶ κρηπῖδα καὶ ῥίζαν τοῦ λυσιτελοῦντος βίου, μηδεὶς ἐπὶ προφάσει ῥαθυμίας, ἐκείνοις κεχρήσθω τοῖς λόγοις. οὐδὲ γὰρ σωφροσύνη μόνη δύναται σώζειν αὐτὴν τῶν ἄλλων ἀγαθῶν, οὐδὲ πρόνοια πτωχῶν, οὐδὲ χρηστότης, οὐδὲ ἄλλο τι τῶν σπουδαίων, ἀλλὰ δεῖ πάντα συνδραμεῖν εἰς τὰς ἡμετέρας ψυχάς. προσευχὴ δὲ ὥσπερ ῥίζα καὶ κρηπὶς ὑπόκειται. καὶ ὥσπερ πλοῖον καὶ οἰκίαν τὰ κάτωθεν ἐχυρὰ ποιεῖ καὶ συνέχει, οὕτω τὸν ἡμέτερον βίον αἱ προσευχαὶ συγκρατοῦσιν· ἄνευ δὲ ταύτης οὐδὲν ἂν ἡμῖν ἀγαθόν, οὐδὲ σωτήριον γένοιτο. διὰ τοῦτο ὁ Παῦλος ἔγκειται συνεχῶς ἡμῖν διακελευόμενος, καὶ λέγων· τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ· καὶ ἀλλαχοῦ. Ἀδιαλείπτως προσεύχεσθε, φησίν, ἐν παντὶ εὐχαριστοῦντες. τοῦτο γάρ ἐστι θέλημα Θεοῦ. καὶ ἑτέρωθι πάλιν· προσεύχεσθε ἐν παντὶ καιρῷ, ἐν Πνεύματι, εἰς αὐτὸ ἀγρυπνοῦντες, ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει. οὕτω πολλαῖς καὶ θείαις φωναῖς ἐπὶ προσευχὴν ἡμᾶς ἐκάλει συνεχῶς ὁ τῶν Ἀποστόλων ἡγεμών. προσήκει τοίνυν ὑπ' ἐκείνου παιδευομένους, μετὰ προσευχῆς πορεύεσθαι τὸν βίον, καὶ ταύτῃ συνεχῶς τὴν διάνοιαν ἄρδειν. χρήζομεν γὰρ οἱ πάντες ἄνθρωποι ταύτης οὐχ ἧττον, ἢ τὰ δένδρα τῶν ὑδάτων. οὔτε γὰρ ἐκεῖνα δύνανται ἐκφέρειν τοὺς καρποὺς, μὴ πίνοντα

τα διὰ τῶν ῥιζῶν, οὕτω ἡμεῖς τοῖς πολυτιμήτοις καρποῖς τῆς εὐσεβείας δυνησόμεθα βρύειν, μὴ ταῖς προσευχαῖς ἀρδόμενοι. Δι' ὅπερ χρὴ καὶ τῆς κλίνης ἀπανιςαμένους φθάνειν ἀεὶ τὸν ἥλιον τῇ τοῦ Θεοῦ λατρείᾳ· καὶ τραπέζης ἁπτομένους, καὶ καθεύδειν μέλλοντας· μᾶλλον δὲ καὶ καθ' ἑκάστην ὥραν, μίαν εὐχὴν τῷ Θεῷ προσφέροντας, ἴσον τῇ ἡμέρᾳ δρόμον τρέχοντας· ἐν δέ γε τῇ τοῦ χειμῶνος ὥρᾳ, καὶ τῆς νυκτὸς τὸ πλεῖστον μέρος εἰς προσευχὰς ἀναλίσκοντας, καὶ τὰ γόνατα κάμπτοντας σὺν πολλῷ τῷ φόβῳ τῇ δεήσει προσέχοντας, μακαρίζοντας ἑαυτοὺς ἐπὶ τῇ τοῦ Θεοῦ λατρείᾳ. εἰπέ μοι, πῶς ὄψει τὸν ἥλιον, μὴ προσκυνήσας τὸν πέμποντα τοῖς σοῖς ὀφθαλμοῖς γλυκύτατον φῶς; πῶς ἀπολαύσεις τραπέζης, μὴ προσκυνήσας τὸν τοσούτων ἀγαθῶν δοτῆρα καὶ χορηγόν; μετὰ ποίας ἐλπίδος ἐπὶ τὸν τῆς νυκτὸς ἥξεις καιρόν; ποίοις προσδοκᾷς ὀνείρασιν ὁμιλῆσαι, μὴ τειχίσας σαυτὸν προσευχαῖς, ἀλλ' ἀφύλακτος ἐπὶ τὸν ὕπνον ἐλθών; εὐκαταφρόνητος καὶ εὐάλωτος τοῖς πονηροτάτοις δαίμοσιν ἔσῃ, οἳ περιέρχονται συνεχῶς καιροφυλακτοῦντες ἡμᾶς, τίνα λαβόντες γυμνὸν προσευχῆς ἀναρπάσωσιν ὀξέως. ἂν μὲν οὖν ἴδωσιν ἡμᾶς πεφραγμένους ταῖς προσευχαῖς, ἀποπηδῶσιν εὐθέως, ὥσπερ λῃσταὶ καὶ κακοῦργοι, πρὸς τῇ κεφαλῇ τοῦ στρατιώτου ξίφος ὁρῶντες κρεμάμενον· ἂν δ' ἄρα συμβῇ τινα γυμνὸν εἶναι προσευχῆς, οὗτος ἀνάρπαστος ὑπὸ τῶν δαιμόνων φέρεται, εἰς ἁμαρτίας ὠθούμενος καὶ συμφορὰς καὶ κακά. Ταῦτα δεῖ πάντα φοβουμένους ἡμᾶς, προσευχαῖς καὶ ὕμνοις ἀεὶ τειχίζειν ἑαυτούς, ἵνα πάντας ὁ Θεὸς ἐλεήσας, ἀξίους ἀπεργάσηται τῆς τῶν Οὐρανῶν βασιλείας διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ· ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΕΥΤΡΟΠΙΟΝ

## Εὐνοῦχον Πατρίκιον καὶ Ὕπατον.

ΑΕΙ μὲν, μάλιστα δὲ νῦν, εὔκαιρον εἰπεῖν· ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης. ποῦ νῦν ἡ λαμπρὰ τῆς ὑπατείας περιβολή; ποῦ δὲ αἱ φαιδραὶ λαμπάδες; ποῦ δὲ οἱ κρότοι καὶ οἱ χοροὶ καὶ αἱ θαλίαι καὶ αἱ πανηγύρεις; ποῦ οἱ στέφανοι καὶ τὰ παραπετάσματα; ποῦ ὁ τῆς πόλεως θόρυβος, καὶ αἱ ἐν ἱπποδρομίαις εὐφημίαι, καὶ τῶν θεατῶν αἱ κολακεῖαι; πάντα ἐκεῖνα οἴχεται· καὶ ἄνεμος πνεύσας ἀθρόον τὰ μὲν φύλλα κατέβαλε, γυμνὸν δὲ ἡμῖν τὸ δένδρον ἔδειξε, καὶ ἀπὸ τῆς ῥίζης αὐτῆς σαλευόμενον λοιπόν. τοιαύτη γὰρ ἡ τοῦ πνεύματος γέγονε προσβολὴ, ὡς καὶ πρόῤῥιζον ἀπειλεῖν ἀνασπᾶν, καὶ αὐτὰ διασαλεῦσαι τοῦ δένδρου τὰ νεῦρα. ποῦ νῦν οἱ πεπλασμένοι φίλοι; ποῦ τὰ συμπόσια, καὶ τὰ δεῖπνα; ποῦ ὁ τῶν παρασίτων ἑσμὸς, καὶ ὁ δι' ὅλης ἡμέρας ἐγχεόμενος ἄκρατος, καὶ αἱ ποικίλαι τῶν μαγείρων τέχναι, καὶ οἱ τῆς δυναστείας θεραπευταὶ, οἱ πάντα πρὸς χάριν ποιοῦντες καὶ λέγοντες; νὺξ ἦν πάντα ἐκεῖνα, καὶ ὄναρ, καὶ ἡμέρας γινομένης, ἠφανίσθη. ἄνθη ἦν ἐαρινὰ, καὶ παρελθόντος τοῦ ἔαρος, ἅπαντα κατεμαράνθη· σκιὰ ἦν, καὶ παρέδραμε. καπνὸς ἦν, καὶ διελύθη· πομφόλυγες ἦσαν, καὶ διεῤῥάγησαν· ἀράχνη ἦν, καὶ διεσπάσθη. Διὸ ταύτην τὴν πνευματικὴν ῥῆσιν ἐπᾴδομεν συνεχῶς ἐπιλέγοντες. Ματαιότης ματαιοτήτων, καὶ πάντα ματαιότης. ταύτην γὰρ τὴν ῥῆσιν καὶ ἐν τοίχοις, καὶ ἐν ἱματίοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ὁδοῖς, καὶ ἐν θύραις, καὶ ἐν εἰσόδοις, καὶ πρὸ πάντων ἐν τῷ ἑκάστου συνειδότι συνεχῶς ἐγγεγράφθαι δεῖ, καὶ διαπαντὸς αὐτὴν μελετᾷν. ἐπειδὴ ἡ τῶν πραγμάτων ἀπάτη, καὶ τὰ προσωπεῖα, καὶ ἡ ὑπόκρισις ἀλήθεια παρὰ τοῖς πολλοῖς εἶναι δοκεῖ. ταύτην

καθ'

καθ' ἑκάστην ἡμέραν καὶ ἐν δείπνῳ, καὶ ἐν ἀρίστῳ, καὶ ἐν συλλόγοις ἐπιλέγειν ἕκαστον τῷ πλησίον ἐχρῆν, καὶ παρὰ τοῦ πλησίον ἀκούειν, ὅτι Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Οὐκ ἔλεγόν σοι συνεχῶς, ὅτι δραπέτης ὁ πλοῦτός ἐστι καὶ οἰκέτης; σὺ δὲ οὐκ ἐβούλου πείθεσθαι· ἰδοὺ ἐκ τῶν πραγμάτων ἔδειξεν ἡ πεῖρα, ὅτι οὐ δραπέτης μόνον, οὐδὲ ἀγνώμων, ἀλλὰ καὶ ἀνδροφόνος. οὗτος γάρ σε τρέμειν νῦν καὶ δεδοικέναι παρεσκεύασεν. οὐκ ἔλεγόν σοι, ἡνίκα συνεχῶς ἐπετίμας μοι λέγοντι τ' ἀληθῆ, ὅτι ἐγώ σε φιλῶ μᾶλλον τῶν κολακευόντων; ἐγὼ ὁ ἐλέγχων πλέον κήδομαι τῶν χαριζομένων; οὐ προσετίθην τοῖς ῥήμασι τούτοις, ὅτι ἀξιοπιστότερα τραύματα φίλων, ὑπὲρ ἑκούσια φιλήματα ἐχθρῶν. εἰ τῶν ἐμῶν ἠνέσχου τραυμάτων, οὐκ ἄν σοι τὰ φιλήματα ἐκείνων τὸν θάνατον τοῦτον ἔτεκον· τὰ γὰρ ἐμὰ τραύματα ὑγείαν ἐργάζεται, τὰ δὲ ἐκείνων φιλήματα νόσον ἀνίατον κατεσκεύασε. ποῦ νῦν οἱ οἰνοχόοι; ποῦ δὲ οἱ σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς, καὶ μυρία παρὰ πᾶσιν ἐγκώμια λέγοντες; ἐδραπέτευσαν, ἠρνήσαντο τὴν φιλίαν, ἀσφάλειαν ἑαυτοῖς διὰ τῆς σῆς ἀγωνίας πορίζουσιν. Ἀλλ' οὐχ ἡμεῖς οὕτως· ἀλλὰ καὶ τότε δυσχεραίνοντός σου οὐκ ἀπεπηδῶμεν, καὶ νῦν πεσόντα περιστέλλομεν καὶ θεραπεύομεν. καὶ ἡ μὲν πολεμηθεῖσα Ἐκκλησία παρὰ σοῦ, τοὺς κόλπους ἥπλωσε, καὶ ὑπεδέξατο. τὰ δὲ θεραπευθέντα θέατρα, ὑπὲρ ὧν πολλάκις πρὸς ἡμᾶς ἠγανάκτεις, προὔδωκε καὶ ἀπώλεσεν. ἀλλ' ὅμως οὐκ ἐπαυσάμεθα ἀεὶ λέγοντες. τί ταῦτα ποιεῖς; ἐκβακχεύεις τὴν Ἐκκλησίαν, καὶ κατὰ κρημνῶν σαυτὸν φέρεις, καὶ παρέτρεχες ἅπαντα. καὶ αἱ μὲν ἱπποδρομίαι, τὸν πλοῦτόν σου ἀναλώσασαι, τὸ ξίφος ἠκόνησαν· ἡ δὲ Ἐκκλησία ἡ τῆς ὀργῆς τῆς σῆς ἀπολαύσασα τῆς ἀκαίρου, πανταχοῦ περιτρέχει, τῶν δικτύων σε ἐξαρπάσαι βουλομένη. Καὶ ταῦτα λέγω νῦν, οὐκ ἐπεμβαίνων τῷ κειμένῳ, ἀλλὰ τοὺς ἑστῶτας ἀσφαλεστέρους ποιῆσαι βουλόμενος· οὐκ ἀναξαίνων τὰ ἕλκη τοῦ τετρωμένου, ἀλλὰ τοὺς μηδέπω τετρωμέ-

τοὺς ἐν ὑγείᾳ διατηρῆσαι ἀσφαλεῖ· οὐ καταποντίζων τὸν κλυδωνιζόμενον, ἀλλὰ τοὺς ἐξ οὐρίας πλέοντας παιδεύων, ὥστε μὴ γενέσθαι ὑποβρυχίους. πῶς δ᾽ ἂν τοῦτο γένοιτο; εἰ τὰς μεταβολὰς τῶν ἀνθρωπίνων ἐννοώμεθα πραγμάτων. καὶ γὰρ οὗτος εἰ ἔδεισε μεταβολὴν, οὐκ ἂν ὑπέμεινε μεταβολήν. ἀλλ᾽ ἐπειδήπερ οὗτος οὔτε οἴκοθεν, οὔτε παρ᾽ ἑτέρων ἐγένετο βελτίων, ὑμεῖς γοῦν οἱ κομῶντες τῷ πλούτῳ, ἀπὸ τῆς τούτου κερδάνατε συμφορᾶς. οὐδὲν γὰρ τῶν ἀνθρωπίνων πραγμάτων ἀσθενέστερον. Διόπερ οἷον ἂν εἴποι τις ὄνομα τῆς εὐτελείας αὐτῶν, ἔλαττον τῆς ἀληθείας ἐρεῖ. κἂν καπνὸν αὐτὰ, κἂν χόρτον, κἂν ὄναρ, κἂν ἄνθη ἐαρινὰ, κἂν ὅ,τι οὖν ὀνομάσῃ. οὕτως ἐστὶν ἐπίκηρα, καὶ τῶν οὐδὲν ὄντων οὐδαμινώτερα. Ὅτι δὲ μετὰ τῆς ἀσθενείας, καὶ πολὺ ἔχει τὸ ἀπόκρημνον, δῆλον ἐντεῦθεν· τίς γὰρ τούτου γέγονεν ὑψηλότερος; οὐ πᾶσαν τὴν οἰκουμένην παρῆλθε τῷ πλούτῳ; οὐ πρὸς αὐτὰς τῶν ἀξιωμάτων ἀνέβη τὰς κορυφάς; οὐχὶ πάντες αὐτὸν ἔτρεμον, καὶ ἐδεδοίκεισαν; ἀλλ᾽ ἰδοὺ γέγονε καὶ δεσμωτῶν ἀθλιώτερος, καὶ οἰκετῶν ἐλεεινότερος, καὶ τῶν λιμῷ τηκομένων πτωχῶν ἐνδεέστερος, καθ᾽ ἑκάστην ἡμέραν ξίφη βλέπων ἠκονημένα, καὶ βάραθρον, καὶ δημίους, καὶ τὴν ἐπὶ θάνατον ἀπαγωγήν· καὶ οὐδὲ εἴποτε γέγονεν ἐπὶ τῆς ἡδονῆς οἶδεν ἐκείνης, οὐδὲ αὐτῆς αἰσθάνεται τῆς ἀκτῖνος. ἀλλ᾽ ἐν μεσημβρίᾳ μέσῃ, καθάπερ ἐν πυκνοτάτῃ νυκτὶ περιτειχισμένος, οὕτω τὰς ὄψεις πεπήρωται· μᾶλλον δὲ ὅσα ἂν φιλονεικήσωμεν, οὐ δυνησόμεθα τῷ λόγῳ παραστῆσαι τὸ πάθος, ὅπερ ὑπομένειν αὐτὸν εἰκὸς, καθ᾽ ἑκάστην ὥραν ἀποκτείνεσθαι προσδοκῶντα. ἀλλὰ γὰρ τί δεῖ τῶν λόγων τῶν παρ᾽ ἡμῶν, αὐτοῦ ταῦτα καθάπερ ἐν εἰκόνι σαφῶς ὑπογράψαντος ἡμῖν; τῇ γὰρ προτεραίᾳ ὅτε ἐπ᾽ αὐτὸν ἦλθον ἐκ τῶν βασιλικῶν αὐλῶν, πρὸς βίαν ἀφελκύσαι βουλόμενοι, καὶ τοῖς σκεύεσι προσέδραμε τοῖς ἱεροῖς, ἦν τὸ μὲν πρόσωπον αὐτοῦ ὠχρὸν, πελιδνὸν, καὶ τανῦν νεκρωθέντος οὐδὲν ἄμεινον διακείμενον· κτύ-

πος

πος δὲ τῶν ὀδόντων, καὶ πάταγος, καὶ τρόμος παντὸς τοῦ σώματος, καὶ φωνὴ διακοπτομένη, καὶ γλῶττα διαλυομένη, καὶ σχῆμα τοιοῦτον, οἷον εἰκὸς τὴν λιθίνην ἔχειν ψυχήν. Καὶ ταῦτα λέγω, οὐκ ὀνειδίζων, οὐδὲ ἐπεμβαίνων αὐτοῦ τῇ συμφορᾷ, ἀλλὰ τὴν ὑμετέραν διάνοιαν μαλάξαι βουλόμενος, καὶ εἰς ἔλεον ἐπισπάσασθαι, καὶ πεῖσαι ἀρκεσθῆναι τῇ τιμωρίᾳ τῇ γεγενημένῃ. Ἐπειδὴ γάρ εἰσι πολλοὶ παρ' ἡμῖν ἀπάνθρωποι, ὥστε ὁμοίως καὶ ἡμῖν ἐγκαλεῖν, ὅτι αὐτὸν ἐδεξάμεθα τῷ βήματι, τὸ ἄστοργον αὐτῶν τοῖς διηγήμασι μαλάξαι βουλόμενος, ἐκπομπεύω τὰ τούτου πάθη. τίνος γὰρ ἕνεκεν ἀγανακτεῖς, εἰπέ μοι, ἀγαπητέ; ὅτι, φησὶν, εἰς Ἐκκλησίαν κατέφυγεν ὁ πολεμήσας αὐτὴν διηνεκῶς. διὰ τοῦτο μὲν οὖν μάλιστα δοξάζειν ἐχρῆν τὸν Θεὸν, ὅτι ἀφῆκεν αὐτὸν ἐν τοσαύτῃ καταστῆναι ἀνάγκῃ, ὥστε καὶ τὴν δύναμιν τῆς Ἐκκλησίας καὶ τὴν φιλανθρωπίαν μαθεῖν. τὴν δύναμιν μὲν, ἀφ' ὧν τοσαύτην ὑπέμεινε μεταβολὴν, ἐκ τῶν πρὸς ἐκείνην πολέμων· τὴν φιλανθρωπίαν δὲ, ἐξ ὧν πολεμηθεῖσα νῦν τὴν ἀσπίδα προβάλλεται, καὶ ὑπὸ τὰς πτέρυγας ἐδέξατο τὰς αὐτῆς, καὶ ἐν ἀσφαλείᾳ πάσῃ κατέστησεν, οὐ μνησικακήσασα ὑπὲρ τῶν ἔμπροσθεν οὐδενὸς, ἀλλὰ τοὺς κόλπους αὐτῷ μετὰ πολλῆς ἁπλώσασα τῆς φιλοστοργίας. τοῦτο γὰρ τρόπαιον παντὸς λαμπρότερον, τοῦτο νίκη περιφανὴς, τοῦτο Ἕλληνας ἐντρέπει, τοῦτο καὶ Ἰουδαίους καταισχύνει, τοῦτο φαιδρὸν αὐτῆς τὸ πρόσωπον δείκνυσιν· ὅτι τὸν πολέμιον αἰχμάλωτον λαβοῦσα, φείδεται· καὶ πάντων αὐτὸν ἐν ἐρημίᾳ παριδόντων, μόνη καθάπερ μήτηρ φιλόστοργος, ὑπὸ τὰ περιπετάσματα αὐτῆς ἔκρυψε, καὶ πρὸς βασιλικὴν ὀργὴν ἔστη, πρὸς δήμου θυμὸν, καὶ πρὸς μῖσος ἀφόρητον. τοῦτο τῷ θυσιαστηρίῳ κόσμος. ποῖος κόσμος, φησὶ, τὸ τὸν ἐναγῆ καὶ πλεονέκτην καὶ ἅρπαγα ἅπτεσθαι τοῦ θυσιαστηρίου; μὴ λέγε ταῦτα· ἐπειδὴ καὶ ἡ πόρνη ἥψατο τῶν ποδῶν τοῦ Χριστοῦ, ἡ σφόδρα ἐναγὴς καὶ ἀκάθαρτος· καὶ οὐκ ἦν ἔγκλημα τοῦ Ἰησοῦ τὸ γενόμενον, ἀλ-

λαὶ θαῦμα καὶ ὕμνος μέγας. οὐ γὰρ τὸν καθαρὸν ἔβλαπτεν ἡ ἀκάθαρτος, ἀλλὰ τὴν ἐναγῆ πόρνην ὁ καθαρὸς καὶ ἄμωμος διὰ τῆς ἁφῆς καθαρὰν εἰργάσατο. μὴ δὴ μνησικακήσῃς ὦ ἄνθρωπε· ἐκείνου οἰκέται ἐσμὲν τοῦ ἐσταυρωμένου, καὶ λέγοντος· ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ἀλλ' ἀπετείχισε, φησί, τὴν ἐνταῦθα καταφυγὴν γράμμασι καὶ νόμοις διαφόροις· ἀλλ' ἰδὲ διὰ τῶν ἔργων ἔμαθεν, ὅπερ ἐποίησε, καὶ τὸν νόμον ἔλυσε πρῶτος αὐτὸς, δι' ὧν ἔπαθε, καὶ γέγονε τῆς οἰκουμένης θέατρον. καὶ σιγῶν ἐντεῦθεν ἀφίησι φωνὴν ἅπασι παραινῶν· μὴ ποιεῖτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα· διδάσκαλος ἀνεφάνη διὰ τῆς συμφορᾶς· καὶ λαμπηδόνα μεγάλην ἀφίησι τὸ θυσιαστήριον, νῦν φοβερὸν μάλιστα καὶ ἐκ τούτου φαινόμενον, ὅτι τὸν λέοντα δεδεμένον ἔχει. ἐπεὶ καὶ βασιλικῇ εἰκόνι μέγας γένοιτο κόσμος, οὐχ ὅταν ἐπὶ τοῦ θρόνου κάθηται πορφυρίδα περιβεβλημένος, καὶ διάδημα περικείμενος ὁ βασιλεὺς μόνον· ἀλλὰ καὶ ὅταν ὑπὸ τῷ ποδὶ τῷ βασιλικῷ βάρβαροι τὼ χεῖρε ὀπίσω δεδεμένοι, κάτω τὰς κεφαλὰς νεύωσι κείμενοι. καὶ ὅτι τῇ πιθανότητι κέχρηται λόγων, ὑμεῖς μάρτυρες τῆς σπουδῆς καὶ τῆς συνδρομῆς· καὶ γὰρ λαμπρὸν ἡμῖν τὸ θέατρον σήμερον, καὶ φαιδρὸς ὁ σύλλογος, καὶ ὅσον ἐν τῷ Πάσχα τῷ ἱερῷ δῆμον εἶδον συναγόμενον, τοσοῦτον ὁρῶ καὶ ἐνταῦθα νῦν. καὶ ὅπου σιγῶν πάντας ἐκάλεσε, σάλπιγγος λαμπροτέραν φωνὴν διὰ τῶν πραγμάτων ἀφείς. καὶ παρθένοι θαλάμους, καὶ γυναῖκες γυναικῶνας, καὶ ἄνδρες τὴν ἀγορὰν κενώσαντες, πάντες ἐνταῦθα συνεδράμετε, ἵνα τὴν ἀνθρωπίνην φύσιν ἴδητε ἐλεγχομένην, καὶ τῶν βιωτικῶν πραγμάτων τὸ ἐπίκηρον ἀπογυμνούμενον, καὶ τὴν πορνικὴν ὄψιν τὴν χθὲς καὶ πρώην φαιδρὰν ἀπολάμπουσαν. καὶ γὰρ τοιοῦτον ἡ εὐπραγία ἡ ἀπὸ τῶν πλεονεξιῶν, παντὸς γραϊδίου ῥυτίδας ἔχοντος αἰσχροτέρα φαινομένη, καθάπερ σπογγιᾷ τινι τῇ μεταβολῇ τὰ ἐπιτρίμματα καὶ τὰς ἐπιγραφὰς ἐκμάξασα. τοιαύτη γὰρ τῆς δυσημερίας ταύτης ἡ ἰσχύς.

τὸν

τὸν φαιδρὸν καὶ περιφανῆ, πάντων ἐποίησεν εὐτελέστερον φαίνεσθαι νῦν. κἂν πλούσιος εἰσέλθῃ, μεγάλα κερδαίνει· ὁρῶν γὰρ ἐκ τοσαύτης κορυφῆς κατενεχθέντα τὸν σείοντα τὴν οἰκουμένην ἅπασαν, καὶ συνεσταλμένον, καὶ λαγωοῦ καὶ βατράχου δειλότερον γεγενημένον, καὶ χωρὶς δεσμῶν τῷ κίονι τούτῳ προσηλωμένον, καὶ ἀντὶ ἁλύσεως τῷ φόβῳ περισφιγγόμενον, καὶ δεδοικότα, καὶ τρέμοντα, καταστέλλει τὴν φλεγμονὴν, καθαιρεῖ τὸ φύσημα, καὶ φιλοσοφήσας ἃ χρὴ περὶ τῶν ἀνθρωπίνων φιλοσοφεῖν, οὕτως ἄπεισιν, ἃ διὰ ῥημάτων λέγουσιν αἱ γραφαὶ, ταῦτα διὰ τῶν πραγμάτων μανθάνων· ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· καὶ ὁ χόρτος ἐξηράνθη, καὶ τὸ ἄνθος ἐξέπεσεν. οἷον, ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται· ὅτι, ὡσεὶ καπνὸς αἱ ἡμέραι αὐτοῦ, καὶ ὅσα τοιαῦτα. Πάλιν ὁ πένης εἰσελθὼν, καὶ πρὸς τὴν ὄψιν ταύτην ἰδὼν, οὐκ ἐξευτελίζει ἑαυτὸν, οὐδὲ ὀδυνᾶται διὰ τὴν πτωχείαν· ἀλλὰ καὶ χάριν οἶδε τῇ πενίᾳ, ὅτι χωρίον αὐτῷ γέγονεν ἄσυλον, καὶ λιμὴν ἀκύμαντος, καὶ τεῖχος ἀσφαλές. καὶ πολλάκις ἂν ἕλοιτο ταῦτα ὁρῶν, μένειν ἔνθα ἐστὶν, ἢ πρὸς βραχὺ τὰ πάντων λαβὼν, ὕστερον καὶ ὑπὲρ αἵματος κινδυνεύειν ἑαυτοῦ. εἶδες ὡς οὐ μικρὸν κέρδος γέγονε καὶ πλουσίοις, καὶ πένησι, καὶ ταπεινοῖς, καὶ ὑψηλοῖς, καὶ δούλοις, καὶ ἐλευθέροις ἀπὸ τῆς ἐνταῦθα τούτου καταφυγῆς; ὁρᾷς πῶς ἕκαστος φάρμακα λαβὼν ἐντεῦθεν ἄπεισιν, ἀπὸ τῆς ὄψεως ταύτης μόνης θεραπευόμενος; ἆρα ἐμάλαξα ὑμῶν τὸ πάθος, καὶ ἐξέβαλον τὴν ὀργήν; ἆρα ἔσβεσα τὴν ἀπανθρωπίαν; ἆρα εἰς συμπάθειαν ἤγαγον; σφόδρα ἔγωγε οἶμαι, καὶ δηλοῖ τὰ πρόσωπα, καὶ αἱ τῶν δακρύων πηγαί. ἐπεὶ οὖν ὑμῖν ἡ πέτρα γέγονε βαθύγειος, καὶ λιπαρὰ χώρα, φέρε δὴ καὶ καρπὸν ἐλεημοσύνης βλαστήσαντες, καὶ τὸν στάχυν κομῶντα τῆς συμπαθείας ἐπιδειξάμενοι, προσπέσωμεν τῷ βασιλεῖ, μᾶλλον δὲ παρακαλέσωμεν τὸν φιλάνθρωπον Θεὸν, μαλάξαι τὸν θυμὸν τοῦ βασιλέως,

καὶ

καὶ ἁπαλὴν αὐτοῦ ποιῆσαι τὴν καρδίαν, ὥστε ὁλόκληρον ἡμῖν δοῦναι τὴν χάριν. καὶ ἤδη μὲν γὰρ ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἧς οὗτος κατέφυγεν ἐνταῦθα, οὐ μικρὰ γέγονεν ἡ μεταβολή. ἐπειδὴ γὰρ ὁ βασιλεὺς ἔγνω, ὅτι εἰς τὸ ἄσυλον τοῦτο χωρίον κατέδραμε, τοῦ στρατοπέδου παρόντος, καὶ παροξυνομένου ὑπὲρ τῶν αὐτῷ πεπλημμελημένων, καὶ εἰς σφαγὴν αὐτὸν αἰτούντων, μακρὸν ἀπέτεινε λόγον, τὸν στρατιωτικὸν καταστέλλων θυμόν, ἀξιῶν μὴ τὰ ἁμαρτήματα μόνον, ἀλλὰ καὶ εἴ τι αὐτῷ γέγονε κατόρθωμα, καὶ τοῦτο λογίζεσθαι· καὶ τοῖς μὲν εἰδέναι χάριν ὁμολογῶν, ὑπὲρ δὲ τῶν ἑτέρως ἐχόντων ὡς ἀνθρώπῳ συγγινώσκων. ὡς δὲ ἐπέκειντο πάλιν εἰς ἐκδικίαν τοῦ ὑβρισμένου βασιλέως, βοῶντες, πηδῶντες, θάνατον μεμηνημένοι, καὶ τὰ δόρατα σείοντες, πηγὰς λοιπὸν ἀφεὶς δακρύων ἀπὸ τῶν ἡμερωτάτων ὀφθαλμῶν, καὶ ἀναμνήσας τῆς ἱερᾶς τραπέζης, εἰς ἣν κατέφυγεν, οὕτω τὴν ὀργὴν κατέπαυσε. πλὴν ἀλλὰ καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν προσθῶμεν. τίνος γὰρ ἂν ἦτε συγγνώμης ἄξιοι, εἰ τοῦ βασιλέως τὰ ὑβρισμένου μὴ μνησικακοῦντος, ὑμεῖς οἱ μηδὲν τοιοῦτον παθόντες τοσαύτην ὀργὴν ἐπιδείξησθε; πῶς δὲ τοῦ θεάτρου τούτου λυθέντος, ὑμεῖς μυστηρίων ἅψεσθε, καὶ τὴν εὐχὴν ἐρεῖτε ἐκείνην, δι' ἧς κελευόμεθα λέγειν, ἄφες ἡμῖν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, τὸν ὑμῶν ὀφειλέτην ἀπαιτοῦντες δίκην; ἠδίκησε μεγάλα καὶ ὕβρισεν· οὐδὲ ἡμεῖς ἀντεροῦμεν. ἀλλ' οὐ δικαστηρίου καιρὸς νῦν, ἀλλ' ἐλέους· οὐκ εὐθύνης, ἀλλὰ φιλανθρωπίας· οὐκ ἐξετάσεως, ἀλλὰ συγχωρήσεως· οὐ ψήφου καὶ δίκης, ἀλλ' οἴκτου καὶ χάριτος. μὴ τοίνυν φλεγμαινέτω τις, μηδὲ δυσχεραινέτω, ἀλλὰ μᾶλλον δεηθῶμεν τοῦ φιλανθρώπου Θεοῦ, δοῦναι αὐτῷ προθεσμίαν ζωῆς, καὶ τῆς ἀπειλουμένης ἐξαρπάσαι σφαγῆς, ὥστε αὐτὸν ἀποδύσασθαι τὰ πεπλημμελημένα. καὶ κοινῇ προσέλθωμεν τῷ φιλανθρώπῳ βασιλεῖ, ὑπὲρ τῆς Ἐκκλησίας, ὑπὲρ τοῦ θυσιαστηρίου, ἕνα ἄνδρα τῇ τραπέζῃ τῇ ἱερᾷ χαρισθῆναι παρακαλοῦντες. ἂν τοῦτο ποιήσωμεν,



μεν,

μὲν, καὶ αὐτὸς ὁ βασιλεὺς ἀποδέξεται, καὶ ὁ Θεὸς πρὸ τοῦ βασιλέως ἐπαινέσεται, καὶ μεγάλην ἡμῖν τῆς φιλανθρωπίας ἀποδώσει τὴν ἀμοιβήν. ὥσπερ γὰρ τὸν ὠμὸν καὶ ἀπάνθρωπον ἀποστρέφεται καὶ μισεῖ, οὕτω τὸν ἐλεήμονα καὶ φιλάνθρωπον προσίεται καὶ φιλεῖ. κἂν μὲν δίκαιος ὁ τοιοῦτος ᾖ, λαμπροτέρους αὐτῷ πλέκει τοὺς στεφάνους· ἂν δὲ ἁμαρτωλὸς, παρατρέχει τὰ ἁμαρτήματα, τῆς πρὸς τὸν ὁμόδουλον συμπαθείας ἀμοιβὴν αὐτῷ ταύτην ἀποδιδούς. ἔλεον γάρ φησι, θέλω, καὶ οὐ θυσίαν. καὶ πανταχοῦ τῶν γραφῶν ὁρᾷς αὐτὸν τοῦτο ἀεὶ ἐπιζητοῦντα, καὶ ταύτην λύσιν τῶν ἁμαρτημάτων εἶναι λέγοντα. οὕτω τοίνυν αὐτὸν καὶ ἡμεῖς ἵλεων ἐργασόμεθα, οὕτω τὰ ἡμέτερα διαλύσομεν πλημμελήματα, οὕτω τὴν Ἐκκλησίαν κοσμήσομεν, οὕτω καὶ βασιλεὺς ἡμᾶς ὁ φιλάνθρωπος ἐπαινέσεται, καθάπερ ἔφθην εἰπών, καὶ ἅπας ὁ δῆμος κροτήσει, καὶ τὰ πέρατα τῆς οἰκουμένης τὸ φιλάνθρωπον, καὶ ἥμερον τῆς πόλεως θαυμάσεται. καὶ μαθόντες οἱ πανταχοῦ τῆς γῆς τὰ γενόμενα, κηρύξουσιν ἡμᾶς. ἵνα οὖν ἀπολαύσωμεν τῶν τοσούτων ἀγαθῶν, προσπέσωμεν, παρακαλέσωμεν, δεηθῶμεν, ἐξαρπάσωμεν τοῦ κινδύνου τὸν αἰχμάλωτον, τὸν φυγάδα, τὸν ἱκέτην, ἵνα καὶ αὐτοὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ Ἀπόστολον Παῦλον.

ΤΙ' ποτέ ἐστιν ἄνθρωπος, καὶ ὅση τῆς φύσεως τῆς ἡμετέρας ἡ εὐγένεια, καὶ ὅσης ἐστὶ δεκτικὸν ἀρετῆς τουτὶ τὸ ζῶον, ἔδειξε μάλιστα πάντων ἀνθρώπων ὁ Παῦλος. καὶ νῦν ἕστηκεν ἐξ οὗ γέγονε, λαμπρᾷ τῇ φωνῇ πρὸς ἅπαντας τοὺς ἐγκαλοῦντας

ἡμῶν

ἡμῶν τῇ κατασκευῇ. ἀπολογούμενος ὑπὲρ τοῦ δεσπότου, καὶ προτρέπων ἐπ' ἀρετῇ, καὶ τὰ ἀναίσχυντα τῶν βλασφήμων ἐμφράττων στόματα, καὶ δεικνὺς ὅτι Ἀγγέλων καὶ ἀνθρώπων οὐ πολὺ τὸ μέσον, ἐὰν ἐθέλωμεν προσέχειν ἑαυτοῖς. οὐ γὰρ ἄλλην φύσιν λαχὼν, οὐδὲ ἄλλον οἰκήσας κόσμον, ἀλλ' ἐν τῇ αὐτῇ γῇ καὶ χώρᾳ καὶ νόμοις καὶ ἔθεσι τραφεὶς, πάντας ἀνθρώπους ὑπερηκόντισε, τοὺς ἐξ οὗ γεγόνασιν ἄνθρωποι γενομένους. ποῦ τοίνυν οἱ λέγοντες, ὅτι δύσκολον ἡ ἀρετὴ, καὶ εὔκολον ἡ κακία; οὗτος γὰρ ἀντιφθέγγεται τούτοις, λέγων· Τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται. Εἰ δὲ αἱ τοιαῦται θλίψεις ἐλαφραὶ, πολλῷ μᾶλλον αἱ οἴκοθεν ἡδοναί. καὶ οὐ τοῦτο μόνον ἐστὶν αὐτοῦ τὸ θαυμαστὸν, ὅτι ὑπερβολῇ τῆς προθυμίας οὐδὲ ᾐσθάνετο τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς, ἀλλ' ὅτι οὐδὲ ἐπὶ μισθῷ ταύτην μετῄει. ἡμεῖς μὲν γὰρ οὐδὲ μισθῶν προκειμένων, ἀνεχόμεθα τῶν ὑπὲρ αὐτῆς ἱδρώτων· ἐκεῖνος δὲ καὶ χωρὶς τῶν ἐπάθλων αὐτὴν ἠσπάζετο καὶ ἐφίλει, καὶ τὰ δοκοῦντα αὐτῆς εἶναι κωλύματα μετὰ πάσης ὑπερήλατο τῆς εὐκολίας. καὶ οὔτε σώματος ἀσθένειαν, οὐ πραγμάτων περίστασιν, οὐ φύσεως τυραννίδα, οὐκ ἄλλο οὐδὲν ᾐτιάσατο. καίτοι καὶ στρατηγῶν καὶ βασιλέων ἁπάντων τῶν ὄντων ἐπὶ γῆς μείζονα φροντίδα ἐγχειρισθείς· ἀλλ' ὅμως καθ' ἑκάστην ἤκμαζε τὴν ἡμέραν, καὶ τῶν κινδύνων ἐπιτεινομένων αὐτῷ, νεαρὰν ἐκέκτητο τὴν προθυμίαν. καὶ τοῦτο δηλῶν ἔλεγε. Τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. καὶ θανάτου προσδοκωμένου, εἰς κοινωνίαν τῆς ἡδονῆς ταύτης ἐκάλει λέγων· Χαίρετε καὶ συγχαίρετέ μοι. καὶ κινδύνων ἐπικειμένων καὶ ὕβρεων, καὶ ἀτιμίας ἁπάσης, ἐσκίρτα πάλιν, καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγε. Διὸ καὶ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς. καὶ ὅπλα δὲ αὐτὰ δικαιοσύνης ἐκάλεσε, δεικνὺς, ὅτι καὶ ἐντεῦθεν τὰ μέγιστα ἐκαρποῦτο, καὶ τοῖς ἐχθροῖς πάντοθεν

ἀχείρωτος ἦν. καὶ πανταχοῦ μαστιζόμενος, ὑβριζόμενος, λοιδορούμενος, ὥσπερ ἐν θριάμβοις ἐμπομπεύων, καὶ τὰ τρόπαια συνεχῆ πανταχοῦ γῆς ἱστὰς, οὕτως ἐκαλλωπίζετο, καὶ χάριν ὡμολόγει τῷ Θεῷ λέγων· Χάρις τῷ Θεῷ τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς· καὶ τὴν ἀσχημοσύνην καὶ τὴν ὕβριν τὴν διὰ τὸ κήρυγμα μᾶλλον, ἢ ἡμεῖς τὴν τιμὴν ἐδίωκε, καὶ τὸν θάνατον, ἢ ἡμεῖς τὴν ζωὴν, καὶ τὴν πενίαν, ἢ τὸν πλοῦτον ἡμεῖς, καὶ τοὺς πόνους μᾶλλον, ἢ τὰς ἀνέσεις ἕτεροι. καὶ οὐχ ἁπλῶς μᾶλλον, ἀλλὰ πολλῷ μᾶλλον. καὶ τὸ λυπεῖσθαι πλέον, ἢ τὸ χαίρειν ἕτεροι. τὸ ὑπερεύχεσθαι τῶν ἐχθρῶν μᾶλλον, ἢ τὸ κατεύχεσθαι ἕτεροι. καὶ ἀντέστρεψε τῶν πραγμάτων τὴν τάξιν, μᾶλλον δὲ ἡμεῖς ἀντεστρέψαμεν. ἐκεῖνος δὲ, ὥσπερ ὁ Θεὸς ἐνομοθέτησεν, οὕτως αὐτὴν ἐφύλαττε. ταῦτα μὲν γὰρ κατὰ φύσιν ἅπαντα, ἐκεῖνα δὲ, τοὐναντίον. τίς τούτων ἀπόδειξις; Παῦλος, ἄνθρωπος ὢν, καὶ τούτοις ἐπιτρέχων μᾶλλον, ἢ ἐκείνοις. ἓν τοῦτο φοβερὸν ἦν μόνον καὶ φευκτὸν, τὸ προσκροῦσαι Θεῷ, ἕτερον δὲ οὐδέν. ὥσπερ οὖν οὐδὲ ποθεινὸν ἄλλο τι, ὡς τὸ ἀρέσαι Θεῷ· καὶ οὐ λέγω τῶν παρόντων οὐδὲν, ἀλλ' οὐδὲ τῶν μελλόντων. μὴ γάρ μοι πόλεις εἴπῃς, καὶ ἔθνη, καὶ βασιλεῖς, καὶ στρατόπεδα, καὶ ὅπλα, καὶ χρήματα, καὶ σατραπείας, καὶ δυναστείας (οὐδὲ γὰρ ἀράχνην ταῦτα εἶναι ἐνόμισεν) ἀλλ' αὐτὰ τὰ ἐν τοῖς οὐρανοῖς τίθει, καὶ τότε αὐτοῦ ὄψει τὸν σφοδρὸν ἔρωτα τὸν πρὸς τὸν Χριστόν. οὗτος γὰρ πρὸς ἐκεῖνο τὸ φίλτρον, οὐκ Ἀγγέλων ἀξίαν ἐθαύμασεν, οὐκ Ἀρχαγγέλων, οὐκ ἄλλο τοιοῦτον οὐδέν. τὸ γὰρ ἁπάντων μεῖζον εἶχεν ἐν ἑαυτῷ, τὸν τοῦ Χριστοῦ ἔρωτα, καὶ μετὰ τούτου πάντων ἑαυτὸν μακαριώτερον εἶναι ἐνόμισε· καὶ τούτου χωρὶς, οὐδὲ τῶν κυριοτήτων, οὐδὲ τῶν ἀρχῶν, καὶ τῶν ἐξουσιῶν γενέσθαι ηὔχετο, ἀλλὰ μετὰ τῆς ἀγάπης ταύτης ἐν ἐσχάτοις εἶναι ἐβούλετο μᾶλλον, καὶ τῶν κολαζομένων, ἢ ταύτης χωρὶς τῶν ἄκρων καὶ τῶν τιμωμένων. κόλασις γὰρ ἐκείνῳ μία, τὸ τῆς ἀγάπης ταύτης ἀποτυχεῖν. τοῦτο αὐτῷ γέεννα, τοῦτο τιμω-

ρία,

ρία, τοῦτο μυρία κακά. ὥσπερ καὶ ἀπόλαυσις, τὸ ταύτης ἐπιτυχεῖν· τοῦτο ζωή, τοῦτο κόσμος, τοῦτο Ἄγγελος, τοῦτο παρόντα, τοῦτο μέλλοντα, τοῦτο βασιλεία, τοῦτο ἐπαγγελία, τοῦτο τὰ μυρία ἀγαθά. ἕτερον δὲ οὐδὲν τῶν μὴ φερόντων ἐνταῦθα, οὐδὲ λυπηρόν, οὐδὲ ἡδὺ εἶναι ἐνόμιζεν· ἀλλ' οὕτω κατεφρόνει τῶν ὁρωμένων πάντων, ὡς τῆς κατασηπομένης βοτάνης. τύραννοι δὲ αὐτῷ καὶ δῆμοι θυμοῦ πνέοντες, κώνωπες εἶναι ἐδόκουν. θάνατος δὲ αὐτῷ καὶ τιμωρίαι καὶ μυρίαι κολάσεις, παίδων ἀθύρματα, πλὴν εἴποτε διὰ τὸν Χριστὸν ὑπέμενε. τότε γὰρ καὶ ταῦτα ἠσπάζετο, καὶ εἰς τὴν ἅλυσιν οὕτως ἐκαλλωπίζετο, ὡς οὐδὲ τὸ διάδημα Νέρων ἐπὶ τῆς κεφαλῆς ἔχων· καὶ τὸ δεσμωτήριον δὲ ᾤκει, ὡς αὐτὸν τὸν οὐρανόν· καὶ τραύματα καὶ μάστιγας ἐδέχετο ἥδιον τῶν τὰ βραβεῖα ἁρπαζόντων. καὶ τοὺς πόνους ἐφίλει τῶν ἐπάθλων οὐχ ἧττον, ἔπαθλον τοὺς πόνους εἶναι νομίζων, διὰ τοῦτο καὶ χάριν αὐτοὺς ἐκάλει. σκόπει δέ· ἔπαθλον ἦν, τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκί, ὁ ἀγὼν οὗτος. ἀλλ' ὅμως τοῦτο μᾶλλον αἱρεῖται ἐκείνου, καὶ ἀναγκαιότερον αὐτῷ εἶναί φησι. τὸ ἀνάθεμα ἀπὸ Χριστοῦ γενέσθαι, ἀγὼν ἦν καὶ πόνος, μᾶλλον δὲ καὶ ὑπὲρ ἀγῶνα καὶ πόνον· τὸ εἶναι μετ' αὐτοῦ, ἔπαθλον. ἀλλὰ τοῦτο μᾶλλον αἱρεῖται ἐκείνου διὰ τὸν Χριστόν. ἀλλ' ἴσως εἴποι τις ἄν, ὅτι ταῦτα πάντα διὰ τὸν Χριστὸν ἡδέα αὐτῷ ἦν. τοῦτο γὰρ καὶ ἐγώ φημι, ὅτι ἅπερ ἀθυμίας ἡμῖν αἴτια, ταῦτα ἐκείνῳ μεγάλην ἔτικτεν ἡδονήν. καὶ τί λέγω κινδύνους καὶ τὰς ἄλλας ταλαιπωρίας; καὶ γὰρ ἐν ἀθυμίᾳ διηνεκεῖ ἦν. διὸ καὶ ἔλεγε. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; πλὴν εἰ καὶ τὴν ἀθυμίαν ἡδονὴν ἔχειν εἴποι τις ἄν. πολλοὶ γὰρ καὶ τῶν τέκνα ἀποβαλόντων, συγχωρούμενοι μὲν θρηνεῖν, παραμυθίαν λαμβάνουσι, κωλυόμενοι δέ, ἀλγοῦσι. καθάπερ οὖν καὶ ὁ Παῦλος, νυκτὸς καὶ ἡμέρας δακρύων, παραμυθίαν ἐλάμβανεν. οὐδεὶς γὰρ οὕτω τὰ οἰκεῖα ἐπένθησε

καινά, ὡς τὰ ἀλλότρια ἐκεῖνος. πῶς γὰρ οἴει διακεῖσθαι αὐτὸν Ἰουδαίων οὐ σωζομένων, τὸν, ἵνα σωθῶσιν, εὐχόμενον ἐκπεσεῖν τῆς ἄνω δόξης; ὅθεν δῆλον, ὅτι τὸ μὴ σώζεσθαι αὐτοὺς, πολλῷ χαλεπώτερον ἦν. εἰ γὰρ μὴ χαλεπώτερον, οὐκ ἂν ηὔξατο ἐκεῖνο. ὡς γὰρ κουφότερον εἵλετο, καὶ μᾶλλον ἔχον παραμυθίαν, καὶ οὐχ ἁπλῶς ἐβούλετο, ἀλλὰ καὶ ἐβόα λέγων· Ὅτι λύπη μοι ἐστι, καὶ ὀδύνη τῇ καρδίᾳ μου. τὸν οὖν καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, ὑπὲρ τῶν τὴν οἰκουμένην οἰκούντων ἀλγοῦντα, καὶ ὑπὲρ ἁπάντων κοινῇ, καὶ ἐθνῶν, καὶ πόλεων, καὶ ὑπὲρ ἑνὸς ἑκάστου, τίνι ἄν τις δυνηθείη παραβαλεῖν; ποίῳ σιδήρῳ; ποίῳ ἀδάμαντι; τί ἄν τις ἐκείνην καλέσειε τὴν ψυχήν; χρυσῆν; ἢ ἀδαμαντίνην; καὶ γὰρ ἀδάμαντος ἦν παντὸς στερροτέρα, καὶ χρυσοῦ καὶ λίθων τιμίων τιμιωτέρα. κἀκείνης μὲν οὖν τῆς ὕλης τὴν εὐτονίαν παρελάσει, ταύτης δὲ τὴν πολυτέλειαν. τίνι αὖ ἄν τις αὐτὴν παραβάλοι; τῶν μὲν οὐσῶν οὐδεμιᾷ. εἰ δὲ χρυσὸς ἀδάμας γένοιτο, καὶ ἀδάμας χρυσὸς, τότε ὁπωσοῦν αὐτῆς τάξεται τῆς εἰκόνος. ἀλλὰ τί μοι παραβάλλειν ἀδάμαντι καὶ χρυσῷ; τὸν κόσμον ἀντίθες ἅπαντα, καὶ τότε ὄψει καθελκύσασαν τὴν Παύλου τὴν ψυχήν. εἰ γὰρ περὶ τῶν ἐν μηλωταῖς, καὶ σπηλαίοις, καὶ ἐν μικρῷ μέρει τῆς οἰκουμένης διαπρεψάντων τοῦτό φησιν ἐκεῖνος, πολλῷ μᾶλλον περὶ αὐτοῦ ἂν εἴποιμεν ἡμεῖς, ὡς ὅτι πάντων ἀντάξιος ἦν. εἰ τοίνυν ὁ κόσμος αὐτοῦ οὐκ ἄξιος, τίς ἄξιος; τάχα ὁ οὐρανός; ἀλλὰ καὶ οὗτος μικρόν. εἰ γὰρ αὐτὸς οὐρανοῦ μετὰ τῶν ἐν τοῖς οὐρανοῖς προετίμησε τοῦ Δεσπότου τὴν ἀγάπην, πολλῷ μᾶλλον ὁ Δεσπότης ὁ τοσοῦτον αὐτοῦ ἀγαθώτερος, ὅσον πονηρίας ἀγαθότης, μυρίων αὐτὸν οὐρανῶν προτιμήσει. οὐ γὰρ ὁμοίως ἡμᾶς φιλεῖ, καθάπερ ἡμεῖς αὐτὸν, ἀλλὰ τοσοῦτον πλέον, ὅσον οὐδὲ λόγῳ παραστῆσαι ἔνι. σκόπει γοῦν ἡλίκων αὐτὸν καὶ πρὸ τῆς μελλούσης ἠξίωσεν ἀναστάσεως. εἰς παράδεισον ἥρπασεν, εἰς τρίτον ἀνήγαγεν οὐρανὸν, ἀπορρήτων ἐποίησε κοινωνὸν τοιούτων, ἃ μηδενὶ τῶν τὴν ἀνθρωπίνην

λα·

λαχόντων φύσιν θέμις εἰπεῖν· καὶ μάλα εἰκότως. καὶ γὰρ ἐν γῇ βαδίζων, ὡς μετὰ Ἀγγέλων περιπολῶν, οὕτως ἔπραττεν ἅπαντα, καὶ σώματι παθητῷ συνδεδεμένος, τὴν ἐκείνων καθαρότητα ἐπεδείκνυτο. καὶ ἀνάγκαις τοσαύταις ὑποκείμενος, ἐφιλονείκει τῶν ἄνω Δυνάμεων μηδὲν ἔλαττον φανῆναι· καὶ γὰρ ὡς πτηνὸς τὴν οἰκουμένην διέδραμε, καὶ ὡς ἀσώματος, πόνων ὑπερεώρα καὶ κινδύνων. καὶ ὡς τὸν οὐρανὸν ἤδη λαχὼν, κατεφρόνει τῶν ἐπὶ γῆς, καὶ ὡς μετ' αὐτῶν ἀναστρεφόμενος τῶν ἀσωμάτων Δυνάμεων, οὕτω διηνεκῶς ἐγρηγορὼς ἦν. καίτοιγε Ἄγγελοι πολλάκις ἐνεχειρίσθησαν ἔθνη διάφορα· ἀλλ' οὐδὲ εἷς αὐτῶν τὸ ἔθνος, ὃ ἐνεπιστεύθη, οὕτως ᾠκονόμησεν, ὡς Παῦλος τὴν οἰκουμένην ἅπασαν. καὶ μή μοι λέγε, ὅτι Παῦλος οὐκ ἦν ὁ ταῦτα οἰκονομῶν. καὶ γὰρ καὶ αὐτὸς ὁμολογῶ. Εἰ γὰρ καὶ μὴ αὐτὸς ἦν ὁ ταῦτα ἀνύων, ἀλλ' οὐδὲ οὕτως ἐκτὸς ἦν τῶν ἐπὶ τούτοις ἐπαίνων· ἐπειδὴ ἑαυτὸν οὕτω κατεσκεύασεν ἄξιον τῆς τοσαύτης χάριτος. ὁ Μιχαὴλ τὸ τῶν Ἰουδαίων ἔθνος ἐνεχειρίσθη. Παῦλος δὲ γῆν, καὶ θάλατταν, καὶ τὴν οἰκουμένην, καὶ τὴν ἀοίκητον. καὶ ταῦτα οὐκ Ἀγγέλους ὑβρίζων λέγω, μὴ γένοιτο, ἀλλὰ δεικνὺς, ὅτι δυνατὸν ἄνθρωπον ὄντα μετ' ἐκείνων εἶναι, καὶ ἐγγὺς αὐτῶν ἑστάναι. καὶ τίνος ἕνεκεν οὐκ Ἄγγελοι ταῦτα ἐνεχειρίσθησαν; ἵνα μηδεμίαν ἀπολογίαν ἔχῃς ῥαθυμῶν, μηδὲ εἰς τὴν διαφορὰν τῆς φύσεως καταφεύγῃς καθεύδων. ἄλλως δὲ καὶ τὸ θαῦμα μεῖζον ἐγίνετο. πῶς γὰρ οὐ θαυμαστὸν καὶ παράδοξον, ἀπὸ γλώττης πηλίνης ἐκπηδῶντα λόγον, θάνατον φυγαδεύειν, ἁμαρτήματα λύειν, πεπηρωμένην διορθοῦν φύσιν, καὶ τὴν γῆν ἐργάζεσθαι οὐρανόν; διὰ τοῦτο ἐκπλήττομαι τοῦ Θεοῦ τὴν δύναμιν, διὰ ταῦτα θαυμάζω τοῦ Παύλου τὴν προθυμίαν, ὅτι τοσαύτην ὑπεδέξατο χάριν, ὅτι τοιοῦτον παρεσκεύασεν ἑαυτόν. καὶ ὑμᾶς παρακαλῶ μὴ θαυμάζειν μόνον, ἀλλὰ καὶ μιμεῖσθαι τὸ ἀρχέτυπον τοῦτο τῆς ἀρετῆς· οὕτω γὰρ δυνησόμεθα τῶν αὐτῶν στεφάνων κοινωνῆσαι ἐκείνῳ. εἰ δὲ θαυμά-

ζεις ἀκούων, ὅτι τὰ αὐτὰ κατορθώσας, τῶν αὐτῶν ἐπιτεύξῃ, ἄκουσον αὐτοῦ ταῦτα λέγοντος· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ὁ δίκαιος κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. ὁρᾷς πῶς πάντας εἰς τὴν αὐτὴν κοινωνίαν καλεῖ; ἐπεὶ οὖν ἅπασι πρόκειται τὰ αὐτὰ, πάντες σπουδάσωμεν ἄξιοι γενέσθαι τῶν ἐπηγγελμένων ἀγαθῶν. καὶ μὴ μόνον τὸ μέγεθος καὶ τὸν ὄγκον τῶν κατορθωμένων ἴδωμεν, ἀλλὰ καὶ τὸν τόνον τῆς προθυμίας, δι' ἧς τοσαύτην ἐπεσπάσατο χάριν, καὶ τὸ τῆς φύσεως συγγενὲς (τῶν γὰρ αὐτῶν ἡμῖν ἐκοινώνησεν ἁπάντων) καὶ οὕτω καὶ τὰ σφόδρα δυσκατόρθωτα, ῥᾴδια ἡμῖν φανεῖται καὶ κοῦφα. καὶ τὸν βραχὺν τοῦτον καμόντες χρόνον, τὸν ἀγήρω καὶ ἀθάνατον ἐκεῖνον στέφανον φοροῦντες διατελέσομεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΓΙΟΥ ΕΓΚΩΜΙΟΝ εἰς τοὺς ΑΓΙΟΥΣ

### Πάντας, τοὺς ἐν ὅλῳ τῷ Κόσμῳ μαρτυρήσαντας.

Ἐξ οὗ τὴν ἱερὰν πανήγυριν τῆς Πεντηκοστῆς ἐπετελέσαμεν, οὔπω παρῆλθεν ἡμερῶν ἑπτὰ ἀριθμὸς, καὶ πάλιν κατέλαβεν ἡμᾶς Μαρτύρων χορὸς, μᾶλλον δὲ Μαρτύρων παρεμβολὴ, καὶ παράταξις, τῆς παρεμβολῆς τῶν Ἀγγέλων, ἣν ὁ πατριάρχης εἶδεν Ἰακὼβ, κατ' οὐδὲν οὖσα χείρων, ἀλλ' ἐφάμιλλος αὐτοῖς καὶ ἴση. Μάρτυρες γὰρ καὶ Ἄγγελοι τοῖς ὀνόμασι διεστήκασι μόνον, τοῖς δὲ ἔργοις συνάπτονται. τὸν οὐρανὸν οἰκοῦσιν Ἄγγελοι, ἀλλὰ καὶ οἱ Μάρτυρες· ἀγήρατοι καὶ ἀθάνατοί εἰσιν ἐκεῖνοι, τοῦτο καὶ οἱ Μάρτυρες ἕξουσιν· ἀλλὰ καὶ ἀσώματον ἔλα-

χον ἐκεῖνοι φύσιν. τί τοῦτο; οἱ γὰρ Μάρτυρες εἰ καὶ σῶμα περί-
κεινται, ἀλλ' ἀθάνατον; μᾶλλον δὲ πρὸ τῆς ἀθανασίας ὁ τοῦ
Χριστοῦ θάνατος τῆς ἀθανασίας μᾶλλον καὶ οὔπω τῇ ἀθανασίᾳ αὐ-
τοῖς καλλωπίζει τὸ σῶμα. οὐχ οὕτως ἐστὶ λαμπρὸς ὁ οὐρανὸς τῷ χο-
ρῷ τῶν ἄστρων κοσμούμενος, ὡς τὰ σώματα τῶν Μαρτύρων λαμπρῷ
τῷ χορῷ τῶν τραυμάτων κοσμούμενα. ὥστε ἐπειδὴ ἀπέθανον, διὰ
τοῦτο μάλιστα πλεονεκτοῦσι, καὶ πρὸ τῆς ἀθανασίας ἔλαβον τὰ βρα-
βεῖα, ἀπὸ τοῦ θανάτου στεφανωθέντες. ἠλάττωσας αὐτὸν βραχύ
τι παρ' Ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. περὶ τῆς κοινῆς
φύσεως τῶν ἀνθρώπων φησὶν ὁ Δαβίδ. ἀλλὰ καὶ τὸ βραχὺ τοῦτο
παραγενόμενος ὁ Χριστὸς ἀπέδωκε, θανάτῳ θάνατον καταδικά-
σας. ἐγὼ δὲ οὐκ ἐντεῦθεν διισχυρίζομαι, ἀλλ' ὅτι καὶ τὸ ἐλάττωμα
τοῦτο τοῦ θανάτου πλεονέκτημα γέγονεν. εἰ γὰρ μὴ εἶεν θνητοί,
οὐκ ἂν ἐγένοντο Μάρτυρες. ὥστε εἰ μὴ θάνατος ἦν, οὐδὲ στέφανος
ἦν. εἰ μὴ τελευτὴ ἦν, οὐκ ἦν μαρτύριον· εἰ μὴ θάνατος ἦν,
οὐκ ἠδύνατο Παῦλος λέγειν· καθ' ἡμέραν ἀποθνήσκω νὴ τὴν
ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ. εἰ μὴ θάνατος
καὶ φθορὰ ἦν, οὐκ ἠδύνατο λέγειν ὁ αὐτός, χαίρω ἐν τοῖς παθή-
μασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλί-
ψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου. ὥστε μὴ ἀλγῶμεν, ὅτι ἐγενό-
μεθα θνητοί, ἀλλ' εὐχαριστῶμεν, ὅτι ἀπὸ τοῦ θανάτου ἀνεῴχ-
θη ἡμῖν τὸ στάδιον τοῦ μαρτυρίου. ἀπὸ τῆς φθορᾶς ἐλάβομεν
ὑπόθεσιν τῶν βραβείων. ἐντεῦθεν ἔχομεν ἀφορμὴν τῶν πα-
λαισμάτων. ὁρᾷς σοφίαν Θεοῦ; πῶς τὸ μέγιστον τῶν κακῶν, τὸ
κεφάλαιον τῆς ἡμετέρας συμφορᾶς, ὅπερ εἰσήγαγεν ὁ διάβο-
λος, τὸν θάνατον λέγω, τοῦτον εἰς τιμὴν καὶ δόξαν ἡμετέραν
μετέβαλε; διὰ τούτου πρὸς τὰ τοῦ μαρτυρίου βραβεῖα τοὺς ἀθλη-
τὰς ἄγων; τί οὖν; εὐχαριστήσομεν τῷ διαβόλῳ διὰ τὸν θάνα-
τον; μὴ γένοιτο· οὐ γὰρ τῆς ἐκείνου γνώμης τὸ κατόρθωμα,
ἀλλὰ τῆς τοῦ Θεοῦ σοφίας τὸ χάρισμα· ἐκεῖνος εἰσήγαγεν, ἵνα
ἀπολέσῃ, καὶ πρὸς τὴν γῆν ἐπαναγαγὼν πᾶσαν ἐκκόψῃ σω-

τη-

ἠπείας ἐλπίδα. ὁ Χριστὸς δὲ αὐτὸ λαβὼν μετέστρεψε, καὶ εἰς τὸν οὐρανὸν ἡμᾶς δι' αὐτοῦ πάλιν εἰσήγαγε. μηδεὶς οὖν ὑμῶν καταγινωσκέτω, εἰ χορὸν καὶ παράταξιν ἐκάλεσα τῶν Μαρτύρων τὸ πλήρωμα, δύο ἐναντία ὀνόματα ἑνὶ πράγματι τιθείς· χορὸς γὰρ καὶ παράταξις ἐναντία· ἀλλ' ἐνταῦθα συνῆλθον ἀμφότερα. καὶ γὰρ ὥσπερ χορεύοντες ἐπὶ τὰς βασάνους ᾔεσαν μεθ' ἡδονῆς· καὶ ὥσπερ πολεμοῦντες ἀνδρείαν πᾶσαν καὶ καρτερίαν ἐπεδείξαντο, καὶ τῶν ἐναντίων ἐκράτησαν. ἂν μὲν τῶν γινομένων τὴν φύσιν ἴδῃς, μάχη καὶ πόλεμος καὶ παράταξις τὰ γινόμενα. ἂν δὲ τὴν γνώμην τῶν γινομένων ἐξετάσῃς, χοροὶ καὶ θαλίαι καὶ πανηγύρεις καὶ μεγίστη ἡδονὴ τὰ τελούμενα. βούλει μαθεῖν ὡς πολέμου ταῦτα φρικωδέστερα, τὰ τῶν Μαρτύρων λέγω; τί ποτέ ἐστιν ἐν τῷ πολέμῳ τὸ φρικτόν; στρατόπεδα ἕστηκεν ἑκατέρωθεν παραπεφραγμένα, ἀπολάμποντα τοῖς ὅπλοις, καὶ τὴν γῆν καταυγάζοντα, νέφη βελῶν ἀφίεται πανταχόθεν ἀποκρύπτοντα τὸν ἀέρα τῷ πλήθει, ῥύακες αἱμάτων ἐπὶ τῆς γῆς φέρονται, καὶ πολλὰ πανταχοῦ τὰ πτώματα, καθάπερ ἐν ἀμητῷ ἀσταχύων, οὕτω τῶν στρατιωτῶν ὑπ' ἀλλήλων καταφερομένων. φέρε οὖν ἀπ' ἐκείνων ἐπὶ ταύτην ἀγάγω σε τὴν μάχην· καὶ ἐνταῦθα δύο παρατάξεις, ἡ μὲν τῶν μαρτύρων, ἡ δὲ τῶν τυράννων. ἀλλ' οἱ μὲν τύραννοί εἰσι καθωπλισμένοι, οἱ δὲ μάρτυρες γυμνῷ τῷ σώματι μάχονται. καὶ ἡ νίκη τῶν γυμνῶν, οὐ τῶν καθωπλισμένων γίνεται. τίς οὐκ ἂν ἐκπλαγείη, ὅτι ὁ μαστιζόμενος περιγίνεται τοῦ μαστίζοντος, ὁ δεδεμένος τοῦ λελυμένου, ὁ κατακαιόμενος τοῦ καίοντος, ὁ ἀποθνήσκων τοῦ ἀναιροῦντος; εἶδες πῶς ταῦτα ἐκείνων φρικωδέστερα; ἐκεῖνα μὲν εἰ καὶ φοβερὰ, ἀλλὰ κατὰ φύσιν γίνεται· ταῦτα δὲ πᾶσαν ὑπερβαίνει φύσιν, καὶ πᾶσαν πραγμάτων ἀκολουθίαν· ἵνα μάθῃς ὅτι τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὰ κατορθούμενα. Καίτοι τί τῆς μάχης ταύτης ἀδικώτερον; τί τῶν παλαισμάτων παρανομώτερον; ἐν μὲν γὰρ τοῖς πολέμοις ἀμφότεροι φράττονται οἱ μαχόμενοι· ἐνταῦθα δὲ

ἐκεῖ οὕτως· ἀλλ' ὁ μὲν γυμνός, ὁ δὲ καθώπλισται. ἐν τοῖς ἀγῶσι πάλιν, ἀμφοτέροις ἔξεστι τὰς χεῖρας ἀνταίρειν· ἐνταῦθα δὲ ὁ μὲν δέδεται, ὁ δὲ μετ' ἐξουσίας ἐπάγει τὰς πληγάς. καὶ καθάπερ ἐκ τυραννίδος τινός, ἑαυτοῖς μὲν τὸ κακῶς ποιεῖν ἀποκληρώσαντες οἱ δικάζοντες, τοῖς δικαίοις δὲ μάρτυσι τὸ πάσχειν κακῶς ἀπονείμαντες, οὕτω συμπλέκονται τοῖς ἁγίοις, καὶ οὐδὲ οὕτως αὐτῶν περιγίνονται· ἀλλὰ μετὰ τὴν ἀνώμαλον ταύτην μάχην ἡττηθέντες ἀναχωροῦσι. καὶ ταυτὸν γίνεται, οἷον ἂν εἴ τις πολεμιστὴν ἄνθρωπον εἰς πόλεμον εἰσαγαγὼν, καὶ τοῦ δόρατος τὴν αἰχμὴν ἀποκόψας, καὶ τὸν θώρακα ἀποδύσας, οὕτω κελεύοι γυμνῷ τῷ σώματι μάχεσθαι· ὁ δὲ πληττόμενος, καὶ καιόμενος, καὶ μυρία δεχόμενος τραύματα, τρόπαιον ἵστησι. καὶ γὰρ τοὺς μάρτυρας γυμνοὺς ἄγοντες, καὶ τὰς χεῖρας ὀπίσω δήσαντες, καὶ πάντοθεν παίοντες, οὕτως ἡττῶντο· οἱ δὲ τὰ τραύματα δεχόμενοι, τὸ κατὰ τοῦ διαβόλου τρόπαιον ἔστησαν. καὶ καθάπερ ἀδάμας πληττόμενος, αὐτὸς μὲν οὐκ ἐνδίδωσιν, οὐδὲ μαλάσσεται, τὸν δὲ παίοντα διαλύει σίδηρον, οὕτω δὴ καὶ αἱ ψυχαὶ τῶν ἁγίων, τοσούτων ἐπαγομένων βασάνων, αὐταὶ μὲν οὐδὲν ἔπαθον δεινόν, τῶν δὲ παιόντων τὴν δύναμιν καταλύσασαι, αἰσχρῶς καὶ καταγελάστως ἡττηθέντας ἐκ τῶν ἀγώνων ἐξέπεμπον μετὰ πολλὰς καὶ ἀφορήτους πληγάς. καὶ γὰρ προσέδησαν αὐτοὺς τῷ ξύλῳ, καὶ τὰς πλευρὰς διώρυττον, ἐμβαθύνοντες αὔλακας, καθάπερ οἱ γῆν ἀροτριῶντες, ἀλλ' οὐ σώματα σχίζοντες. καὶ ἦν ἰδεῖν λαγόνας ἀναπεπταμένας, πλευρὰ ἀνεωγότα, στήθη διερρηγμένα· καὶ οὐδὲ ἐνταῦθα τῆς μανίας ἔστησαν οἱ αἱμοβόροι θῆρες ἐκεῖνοι, ἀλλὰ ἀπὸ τοῦ ξύλου καθελόντες, ἐπὶ τῶν ἀνθράκων ἐπὶ σιδηρᾶς κλίμακος ἔτεινον. καὶ ἦν ἰδεῖν πάλιν πικρότερα τῶν προτέρων θεάματα, διπλᾶς καταφερομένας σταγόνας ἐκ τῶν σωμάτων, τὰς μὲν τοῦ αἵματος ῥέοντος, τὰς δὲ τῶν σαρκῶν τηκομένων· οἱ δὲ ἅγιοι καθάπερ ἐπὶ ῥόδων κείμενοι τῶν ἀνθράκων, οὕτω μεθ' ἡδονῆς τὰ γινόμενα ἐθεώρουν. σὺ δὲ

ἀκού-

ἀκούσας κλίμακα σιδηρᾶν, ἀναμνήσθητι κλίμακος νοητῆς, ἣν εἶδεν ὁ πατριάρχης Ἰακὼβ ἀπὸ γῆς εἰς οὐρανὸν τεταμένην. δι' ἐκείνης κατέβαινον Ἄγγελοι, διὰ ταύτης δὲ ἀναβαίνουσι Μάρτυρες· ἑκατέρᾳ δὲ ὁ Κύριος ἐπεστήρικτο. οὐκ ἂν ἤνεγκαν τὰς ὀδύνας οἱ ἅγιοι οὗτοι, εἰ μὴ ταύτῃ ἐπηρείδοντο. ἀλλὰ δι' ἐκείνης μὲν ἀναβαίνουσι, καὶ καταβαίνουσιν Ἄγγελοι, διὰ ταύτης δὲ ὅτι ἀναβαίνουσι καὶ Μάρτυρες παντί που δῆλον. τί δήποτε; ὅτι ἐκεῖνοι μὲν πρὸς διακονίαν ἀποστελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν· οὗτοι δὲ καθάπερ ἀθληταὶ καὶ στεφανῖται, ἀπαλλαγέντες τῶν ἀγώνων, ἀπῆλθον λοιπὸν πρὸς τὸν ἀγωνοθέτην. ἀλλὰ γὰρ μὴ ἁπλῶς ἀκούωμεν τὰ λεγόμενα, ἀκούοντες, ὅτι ἄνθρακες ὑπέκειντο καταξανθεῖσι τοῖς σώμασιν. ἀλλ' ἐννοήσωμεν τίνες ἐσμέν, πυρετοῦ κατασκήψαντος ἀβίωτον εἶναι νομίζομεν τὸν βίον, ἀλύομεν, δυσαναχετοῦμεν, καθάπερ παιδία μικρὰ δυσχεραίνομεν, τῆς γεέννης οὐδὲν ἔλαττον νομίζοντες τὸ πῦρ. οὗτοι δὲ οὐ πυρετοῦ ἐπικειμένου, ἀλλὰ φλογὸς πάντοθεν αὐτοὺς πολιορκούσης, καὶ τῶν σπινθήρων τοῖς ἕλκεσιν ἐπιπηδώντων, καὶ θηρίου παντὸς δριμύτερον δακνόντων τὰ τραύματα, καθάπερ ἀδαμάντινοί τινες, καὶ ἐν ἀλλοτρίοις ὁρῶντες ταῦτα γινόμενα σώμασιν, οὕτω γενναίως καὶ μετὰ προσηκούσης αὐτοῖς ἀνδρείας ἐπὶ τῶν τῆς ὁμολογίας εἱστήκεισαν ῥημάτων, ἀπερίτρεπτοι διὰ πάντων τῶν δεινῶν μένοντες, καὶ τὴν ἑαυτῶν ἀνδρείαν καὶ τὴν τοῦ Θεοῦ χάριν λαμπρῶς ἐπιδεικνύμενοι. εἴδετε πολλάκις ὑπὸ τὴν ἕω τὸν ἥλιον ἀνίσχοντα καὶ κροκοειδεῖς ἀφιέντα ἀκτῖνας; τοιαῦτα ἦν τῶν ἁγίων τὰ σώματα, ὥσπερ τινῶν ἀκτίνων κροκοειδῶν, τῶν ῥυάκων τοῦ αἵματος πανταχόθεν αὐτοὺς περιρρεόντων, καὶ τὸ σῶμα αὐτῶν καταυγαζόντων πολλῷ μᾶλλον, ἢ τὸν οὐρανὸν ἥλιος. τοῦτο τὸ αἷμα Ἄγγελοι μὲν ὁρῶντες ἐτέρποντο, δαίμονες ἔφριττον, καὶ αὐτὸς δὲ ὁ διάβολος ἔτρεμεν. οὐ γὰρ αἷμα ἦν ἁπλῶς τὸ ὁρώμενον, ἀλλ' αἷμα σωτήριον, αἷμα ἅγιον, αἷμα τῶν οὐρανῶν ἄξιον, αἷμα διηνεκῶς τὰ καλὰ

τῆς Ἐκκλησίας ἄρδον φυτά. εἶδε τὸ αἷμα, καὶ ἔφριξεν ὁ διάβολος· ἀνεμνήσθη γὰρ ἑτέρου αἵματος δεσποτικοῦ· δι' ἐκεῖνο τὸ αἷμα τοῦτο ἐῤῥύησεν. ἐξ οὗ γὰρ ἐνύγη ἡ πλευρὰ τοῦ Δεσπότου, μυρίας ὁρᾷς λοιπὸν πλευρὰς νυττομένας. τίς γὰρ οὐ μεθ' ἡδονῆς ἀποδύσαιτο πολλῆς πρὸς τοὺς ἀγῶνας τούτους, μέλλων κοινωνεῖν Δεσποτικῶν παθημάτων, καὶ συμμορφοῦσθαι τῷ θανάτῳ Χριστοῦ; ἀρκοῦσα γὰρ αὕτη ἡ ἀντίδοσις, καὶ πλείων ἡ τιμή, καὶ ὑπερβαίνουσα τοὺς ἄθλους ἡ ἀμοιβή, καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν. μὴ τοίνυν φρίττωμεν ἀκούοντες, ὅτι ὁ δεῖνα ἐμαρτύρησεν, ἀλλὰ φρίττωμεν ἀκούοντες, ὅτι ὁ δεῖνα κατεμαλακίσθη, καὶ ἔπεσε, τοιούτων προκειμένων ἐπάθλων. εἰ δὲ βούλει καὶ τὴν μετὰ ταῦτα ἀκοῦσαι, λόγος μὲν οὐδεὶς παραστῆσαι δύναται. οὔτε γὰρ ὀφθαλμὸς εἶδε φησιν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. οὐδεὶς δὲ ἀνθρώπων οὕτως αὐτὸν ἠγάπησεν ὡς οἱ Μάρτυρες. οὐ μὴν ἐπειδὴ καὶ λόγον καὶ διάνοιαν ὑπερβαίνει τῶν ἀποκειμένων ἀγαθῶν τὸ μέγεθος, διὰ τοῦτο σιγήσομεν, ἀλλ' ὡς οἷόν τε καὶ εἰπεῖν ἡμῖν καὶ ἀκοῦσαι, πειρασόμεθα ὑμῖν ἀμυδρῶς ἐνδείξασθαι τὴν ἐκεῖ διαδεξαμένην αὐτοὺς μακαριότητα. σαφῶς γὰρ αὐτοὶ μόνοι εἴσονται οἱ διὰ τῆς πείρας ταύτης ἀπολαύοντες. τὰ μὲν γὰρ δεινὰ ταῦτα καὶ ἀφόρητα ἐν βραχείᾳ καιροῦ ῥοπῇ πάσχουσιν οἱ Μάρτυρες. μετὰ δὲ τὴν ἐντεῦθεν ἀπαλλαγὴν εἰς οὐρανοὺς ἀναβαίνουσιν, Ἀγγέλων αὐτοῖς προηγουμένων, καὶ Ἀρχαγγέλων δορυφορούντων· οὐ γὰρ αἰσχύνονται τοὺς συνδούλους, ἀλλὰ πάντα ἂν ἕλοιντο δι' αὐτοὺς ποιῆσαι. ἐπειδὴ κἀκεῖνοι, πάντα εἵλοντο παθεῖν διὰ τὸν αὐτῶν δεσπότην Χριστόν. ἐπειδὰν δὲ ἀναβῶσιν εἰς τὸν οὐρανόν, πᾶσαι ἐκεῖναι αἱ ἅγιαι Δυνάμεις συντρέχουσιν. εἰ γὰρ ἀθλητῶν ξένων ἐπιδημούντων τῇ πόλει, πᾶς ὁ δῆμος περιῤῥεῖ πανταχόθεν, καὶ κυκλώσαντες αὐτοὺς καταμανθάνουσι τῶν μελῶν τὴν εὐταξίαν· πολλῷ μᾶλλον τῶν ἀθλητῶν τῆς εὐσεβείας εἰς οὐρανοὺς ἀναβάντων, συντρέχουσιν

αἱ

οἱ Ἄγγελοι, καὶ πᾶσαι αἱ ἄνω Δυνάμεις πάντοθεν περιρ-
ρέουσι, καταμανθάνουσαι τούτων τὰ τραύματα. καὶ καθάπερ τινὰς
ἀριστέας ἐκ πολέμου καὶ μάχης ἐπανελθόντας μετὰ πολλὰ τρό-
παια καὶ νίκας, οὕτω μεθ' ἡδονῆς δέχονται πάντας αὐτούς, καὶ
ἀσπάζονται· εἶτα ἄγουσιν αὐτοὺς μετὰ πολλῆς δορυφορίας πρὸς
τὸν τῶν οὐρανῶν Βασιλέα ἐπὶ τὸν θρόνον ἐκεῖνον τὸν πολλῆς δό-
ξης γέμοντα, ἔνθα τὰ Χερουβὶμ, καὶ τὰ Σεραφίμ. ἐλθόντες
δὲ ἐκεῖ, καὶ προσκυνήσαντες τὸν ἐπὶ θρόνου καθήμενον, πλείο-
νος παρὰ τοῦ Δεσπότου μᾶλλον, ἢ παρὰ τῶν ὁμοδούλων ἀπο-
λαύουσι φιλοφροσύνης. οὐ γὰρ ὡς δούλους αὐτοὺς δέχεται, καί-
τοι τοῦτο μεγίστη τιμὴ, καὶ ἧς ἴσον οὐκ ἔστιν εὑρεῖν, ἀλλ' ὡς φί-
λους αὐτοῦ· ὑμεῖς γάρ φησι φίλοι μου ἐστέ. καὶ μάλα εἰκότως·
αὐτὸς γὰρ εἶπε πάλιν, μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει,
ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ· ἐπειδὴ
οὖν τὴν μεγίστην ἀγάπην ἐπεδείξαντο, δέχεται τούτους, καὶ
ἀπολαύουσι τῆς δόξης ἐκείνης, κοινωνοῦσι τῶν χορῶν, καὶ με-
τέχουσι τῶν μελῶν τῶν μυστικῶν. εἰ γὰρ ἐν σώματι ὄντες μετὰ
τὴν τῶν μυστηρίων κοινωνίαν εἰς ἐκεῖνον εἰσῄεσαν τὸν χορὸν μετὰ
τῶν Χερουβὶμ τὸν τρισάγιον ὕμνον ψάλλοντες, καθάπερ ὑμεῖς
ἴστε οἱ μυηθέντες, πολλῷ μᾶλλον νῦν τοὺς συγχορευτὰς ἀπο-
λαβόντες μετὰ πολλῆς τῆς παρρησίας κοινωνοῦσι τῆς εὐφημίας
ἐκείνης. ἆρα οὐκ ἐφρίττετε πρὸς τοῦτο τὸ μαρτύριον; ἆρα οὐκ
ἐπιθυμεῖτε νῦν τοῦ μαρτυρίου; ἆρα οὐκ ἀλγεῖτε νῦν, ὅτι οὐ
πάρεστι καιρὸς μαρτυρίου; ἀλλὰ καὶ γυμναζώμεθα εἰς και-
ρὸν μαρτυρίου. κατεφρόνησαν ἐκεῖνοι ζωῆς; καταφρόνησον σὺ
τρυφῆς. ἔρριψαν ἐκεῖνοι τὰ σώματα πυρί; ῥίψον σὺ χρήμα-
τα νῦν ἐν ταῖς χερσὶ τῶν πενήτων. κατεπάτησαν ἐκεῖνοι τοὺς
ἄνθρακας; σβέσον σὺ τῆς ἐπιθυμίας τὴν φλόγα. φορτι-
κὰ ταῦτα; ἀλλὰ καὶ ἐπικερδῆ. μὴ τὰ παρόντα ὅρα ἐπαχ-
θῆ, ἀλλὰ τὰ μέλλοντα χρηστά· μὴ τὰ ἐν χερσὶ δεινὰ, ἀλλὰ
τὰ ἐν ἐλπίσιν ἀγαθά. μὴ τὰ παθήματα. ἀλλὰ τὰ βρα-
βεῖα·

βεῖα· μὴ τοὺς πόνους, ἀλλὰ τοὺς στεφάνους· μὴ τοὺς ἱδρῶτας, ἀλλὰ τὰς ἀμοιβάς· μὴ τὰς ἀλγηδόνας, ἀλλὰ τὰς ἀντιθέσεις· μὴ τὸ καιόμενον πῦρ, ἀλλὰ τὴν προκειμένην βασιλείαν· μὴ τοὺς περιεστῶτας δημίους, ἀλλὰ τὸν στεφανοῦντα Χριστόν. αὕτη μεγίστη μέθοδος καὶ εὐκολωτάτη πρὸς ἀρετὴν ὁδὸς, μὴ τοὺς πόνους μόνον ὁρᾷν, ἀλλὰ καὶ τὰ ἔπαθλα μετὰ τῶν πόνων· ἀλλ' οὐκ αὐτὰ καθ' ἑαυτὰ μόνον. ὅταν οὖν μέλλῃς ἐλεημοσύνην διδόναι, μὴ πρόσεχε τῇ δαπάνῃ τῶν χρημάτων, ἀλλὰ τῇ συλλογῇ τῆς δικαιοσύνης. ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· μὴ βλέπε τὸν κενούμενον πλοῦτον, ἀλλὰ τὸν αὐξανόμενον θησαυρόν. ἂν νηστεύσῃς, μὴ τὴν κάκωσιν τὴν ἀπὸ τῆς νηστείας λογίζου, ἀλλὰ τὴν ἄνεσιν τὴν ἀπὸ τῆς κακώσεως. ἂν ἀγρυπνήσῃς εὐχόμενος, μὴ τὴν ταλαιπωρίαν τὴν ἀπὸ τῆς ἀγρυπνίας, ἀλλὰ τὴν παῤῥησίαν τὴν ἀπὸ τῆς εὐχῆς νόει. οὕτω καὶ στρατιῶται ποιοῦσιν, οὐ τὰ τραύματα, ἀλλὰ τὰς ἀμοιβὰς βλέπουσιν· οὐ τὰς σφαγὰς, ἀλλὰ τὰς νίκας· οὐ τοὺς πίπτοντας νεκροὺς, ἀλλὰ τοὺς στεφανουμένους ἀριστέας. οὕτω καὶ κυβερνῆται πρὸ τῶν κυμάτων τοὺς λιμένας ὁρῶσι, πρὸ τῶν ναυαγίων τὰς ἐμπορίας, πρὸ τῶν ἐν θαλάττῃ δεινῶν, τὰ μετὰ θάλατταν ἀγαθά. οὕτω καὶ σὺ ποίησον· ἐννόησον ἡλίκον ἐστὶν ἐν νυκτὶ βαθείᾳ τῶν ἀνθρώπων καθευδόντων ἁπάντων καὶ θηρίων καὶ κτηνῶν, βαθυτάτης ἡσυχίας οὔσης, μόνον σε ἐγερθέντα παῤῥησίᾳ διαλέγεσθαι τῷ κοινῷ πάντων Δεσπότῃ. γλυκὺς ὁ ὕπνος, ἀλλ' οὐδὲν γλυκύτερον προσευχῆς. ἂν κατ' ἰδίαν αὐτῷ διαλεχθῇς, πολλὰ ἀνύσαι δυνήσῃ, μηδενὸς ἐνοχλοῦντός σε, μηδὲ ἐνηχοῦντός σε τῆς δεήσεως· ἔχεις καὶ τὸν καιρὸν σύμμαχον πρὸς τὸ ἐπιτυχεῖν ὧν θέλεις. ἀλλὰ περιστρεφόμενος ἐπὶ μαλακῆς στρωμνῆς, καὶ ὀκνεῖς διαναστῆναι; ἐννόησον τοὺς ἐπὶ τῆς σιδηρᾶς κλίμακος κειμένους σήμερον μάρτυρας, οὐχὶ στρωμνῆς ὑποκειμένης, ἀλλ' ἀνθράκων ὑπεστρωμένων.

νων. ἐνταῦθα βούλομαι καταλῦσαι τὸν λόγον, ὥστε τῆς κλίμακος τὴν μνήμην ἀκμάζουσαν καὶ νεαρὰν ἔχοντας ὑμᾶς ἀπελθεῖν, καὶ ταύτης ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ μεμνῆσθαι. κἂν γὰρ μυρία κατέχῃ δεσμά, δυνησόμεθα πάντα ἀπορρῆξαι ῥᾳδίως, καὶ πρὸς τὴν εὐχὴν ἀναστῆναι. τὴν κλίμακα δὲ ταύτην ἐννοοῦντες διὰ παντός, μὴ τὴν κλίμακα μόνον, ἀλλὰ καὶ τὰς ἄλλας τῶν μαρτύρων τιμωρίας διαγράφωμεν ἐπὶ τὸ πλάτος τῆς καρδίας τῆς ἡμετέρας· καθάπερ οἱ τὰς οἰκίας τὰς ἑαυτῶν ποιοῦντες λαμπράς, ἀνθηρᾷ γραφῇ πανταχόθεν αὐτὰς κατακοσμοῦσιν· οὕτω καὶ ἡμεῖς ἐν τοῖς τοίχοις τῆς ἡμετέρας διανοίας ζωγραφήσωμεν τῶν Μαρτύρων τὰς τιμωρίας. ἐκείνη μὲν γὰρ ἡ ζωγραφία ἀνόνητος, αὕτη δὲ κέρδος ἔχουσα. οὐ δεῖται χρημάτων, οὐδὲ δαπάνης, οὐδὲ τέχνης τινὸς αὕτη ἡ γραφή· ἀλλ' ἀντὶ πάντων ἀρκεῖ προθυμίᾳ χρήσασθαι καὶ λογισμῷ γενναίῳ καὶ νήφοντι, καὶ διὰ τούτου καθάπερ διά τινος χειρὸς ἀρίστης ὑπογράψαι τὰς τιμωρίας αὐτῶν. ζωγραφῶμεν τοίνυν ἐν τῇ ψυχῇ τοὺς μὲν ἐπὶ τηγάνων κειμένους, τοὺς δὲ ἐπὶ ἀνθράκων τεταμένους, τοὺς δὲ εἰς λέβητας κυβιστῶντας, τοὺς δὲ εἰς θάλασσαν καταποντιζομένους, ἑτέρους ξεομένους, ἄλλους ἐπὶ τροχὸν καμπτομένους, ἄλλους εἰς κρημνὸν ῥιπτομένους. καὶ τοὺς μὲν θηρίοις πυκτεύοντας, τοὺς δὲ ἐπὶ τὸ βάραθρον ἀγομένους, τοὺς δέ, ὡς ἕκαστος ἔτυχε καταλύσαντας τὸν βίον, ἵνα τῇ ποικιλίᾳ τῆς γραφῆς ταύτης λαμπρὰν τὴν ἡμετέραν κατασκευάσαντες οἰκίαν, ἐπιτήδειον τῷ Βασιλεῖ τῶν οὐρανῶν ποιήσωμεν καταγώγιον. ἂν γὰρ ἴδῃ τοιαύτας ἐν διανοίᾳ τὰς γραφάς, ἥξει μετὰ τοῦ Πατρός, καὶ μονὴν ποιήσει παρ' ἡμῖν σὺν τῷ Πνεύματι τῷ Ἁγίῳ. καὶ βασιλικὸς ἔσται λοιπὸν οἶκος ἡ διάνοια ἡμῶν, καὶ οὐδεὶς ἄτοπος λογισμὸς ἐπιβῆναι δυνήσεται, τῆς τῶν Μαρτύρων μνήμης ὥσπερ τινὸς ζωγραφίας διὰ παντὸς ἡμῖν ἐναποκειμένης, καὶ πολλὴν ἐναφιείσης τὴν μαρμαρυγήν, καὶ τοῦ βασιλέως τῶν ὅλων Θεοῦ συνεχῶς ἡμῖν ἐνδιαιτωμένου. ὅπου δὲ ἐνταῦθα Χριστὸς

ὑπό-

ὑποδεξάμενοι, δυνησόμεθα μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν εἰς τὰς σκηνὰς ὑποδεχθῆναι τὰς αἰωνίους. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι᾽ οὗ, καὶ μεθ᾽ οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΠΑΡΑΒΟΛΗΝ,

## Περὶ τοῦ Ἀσώτου.

ΑΕὶ μὲν, ἀδελφοὶ, τὴν τοῦ Θεοῦ φιλανθρωπίαν κηρύττειν ὀφείλομεν, δι᾽ αὐτῆς γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμεν, μάλιστα δὲ ἐν τούτῳ τῷ καιρῷ χρεωστοῦμεν τοῦτο ποιεῖν, διὰ τὴν κοινὴν ὠφέλειαν, καὶ τὴν εὐεργεσίαν τῶν μελλόντων ἐκ τῆς κολυμβήθρας ἀνατέλλειν ἀστέρων. καὶ γὰρ οὗτοι διὰ ταύτης ἐκλάμψουσι· καὶ ἡμεῖς δι᾽ αὐτῆς ἐσώθημεν καὶ σωζόμεθα· ἥτις ἡμῖν ἀντὶ κληρονομίας ἐδόθη ἐκ τοῦ δημιουργοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. εἴπωμεν τοίνυν περὶ αὐτῆς, ἅπερ εἶπεν ὁ Δεσπότης Χριστὸς, ὁ φιλάνθρωπος υἱὸς τοῦ φιλανθρώπου πατρὸς, ὁ μόνος ἀξιοχρέως τῆς πατρῴας οὐσίας ἐξηγητής. ἀναπτύξωμεν πᾶσαν τὴν περὶ τοῦ Ἀσώτου παραβολὴν, ἵνα μάθωμεν ἐξ αὐτῆς, πῶς δεῖ προσπελάζειν τῷ ἀπροσπελάστῳ, καὶ συγγνώμην τῶν πταισμάτων αἰτεῖν. ἄνθρωπός τις, φησὶν, εἶχε δύο υἱούς. Παραβολικῶς ὁ Σωτὴρ, οὐ δογματικῶς διαλέγεται. διὰ τοῦτο περὶ τοῦ ἰδίου πατρὸς, ὡς περὶ ἀνθρώπου τινὸς, ὁμιλεῖ· καὶ περὶ τῶν δούλων, ὡς περὶ τέκνων, λαλεῖ, ἵνα δείξῃ τοῦ Θεοῦ τὴν περὶ τοὺς ἀνθρώπους στοργήν. ἄνθρωπός τις, φησὶν, εἶχε δύο υἱούς. τίς ἐστιν οὗτος ὁ ἄνθρωπος; ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως. τίνας δὲ εἶχε τούτους τοὺς δύο υἱούς; τοὺς δικαίους, καὶ τοὺς ἁμαρτωλούς. τοὺς ἐμμένοντας τοῖς θείοις αὐτοῦ προστάγμασι, καὶ τοὺς πα-

παραβαίνοντας τὰς δεσποτικὰς ἐντολάς. καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί. καὶ τίς ἐστιν οὗτος ὁ νεώτερος υἱός; ὁ τὴν γνώμην ἄστατον κεκτημένος, καὶ ταῖς αὔραις τῆς νεότητος ῥιπιζόμενος. πατέρα ἐγνώρισεν ἡ φύσις τὸν πλάσαντα, εἰ καὶ μὴ ἐτίμησε προαίρεσις τὸν ποιήσαντα. πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καλῶς ᾔτησε τὰ τοῦ Θεοῦ παρὰ τοῦ Θεοῦ· ἀλλὰ κακῶς, ἅπερ ἔλαβε, κατηνάλωσε. καὶ διεῖλεν αὐτοῖς τὸν βίον ὁ πατήρ. ἔδωκεν αὐτοῖς, ὡς οἶκον ἴδιον, ὅλον τὸν κόσμον. ἔδωκεν αὐτοῖς, ὡς κτίστης, ὅλην τὴν κτίσιν. παρέσχεν αὐτοῖς σώματα καὶ ψυχὰς λογικάς, ἵνα τῷ λόγῳ εὐλόγως χειραγωγούμενοι μηδὲν ἄλογον πράξωσιν· ἐπέστησεν αὐτοῖς τὸν ἑαυτοῦ νόμον, τὸν φυσικὸν καὶ τὸν γραπτόν, ὡς θεῖον παιδαγωγόν· ἵνα τούτῳ παιδαγωγούμενοι πληρώσωσι τοῦ νομοθέτου τὸ θέλημα. καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν πάντα ὁ νεώτερος υἱὸς (ὡς νεώτερος ἔπραξεν) ἀπεδήμησεν εἰς χώραν μακράν· ἀπέστη ἀπὸ τοῦ Θεοῦ, καὶ ἀπέστη ἀπ' αὐτοῦ ὁ Θεός· οὐ γὰρ βιάζεται τὸν μὴ βουλόμενον δουλεύειν αὐτῷ. γνώμης γάρ, οὐκ ἀνάγκης, αἱ ἀρεταὶ ἅπασαι. ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως· ἐκεῖ τῆς ψυχῆς ὅλον τὸν πλοῦτον ἀπώλεσεν· ἐκεῖ τέρπων καὶ τερπόμενος ἐναυάγησεν· ἐκεῖ παίζων καὶ ἐμπαιζόμενος πένης ἐγένετο· ἐκεῖ ψυχοφθόρους ἡδονὰς ἀγοράζων, καὶ γέλωτας ὠνούμενος, πέρας δακρύων ἔλαβε. καὶ τὰς μὲν ἀρετάς, ἃς εἶχεν, ἀπεβάλετο· τὰς δὲ κακίας, ἃς οὐκ εἶχε, προσελάβετο. δαπανήσαντος δὲ αὐτοῦ πάντα (οὐ πέφυκε γὰρ τοῖς αἰσχρῶς βιοῦσι παραμένειν ὁ πλοῦτος τῆς χάριτος) ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· ὅπου γὰρ τῆς σωφροσύνης ὁ σῖτος οὐ γεωργεῖται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἐγκρατείας ἡ ἄμπελος οὐ πεφύτευται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἁγνείας ὁ βότρυς οὐ ληνοπατεῖται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τὸ κρήνιον γλεῦκος οὐ βρύει, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου εὐφορία κακῶν, ἐκεῖ πάντως

ἀφο-

ἀφορία τῶν ἀγαθῶν· ὅπου εὐθηνία πράξεων πονηρῶν, ἐκεῖ πάντως σπάνις τῶν ἀρετῶν· ὅπου τῆς φιλανθρωπίας τὸ ἔλαιον οὐ πηγάζει, ἐκεῖ λιμὸς ἰσχυρός. τότε οὖν καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. οὐδὲν γὰρ αὐτῷ λοιπὸν ἔμεινεν, εἰ μὴ μόνον τὰ τῆς ἀκρασίας κακά, ἐπειδὴ ἔπραξε τὰ τῆς ἀκοσμίας κακά. καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης. πολῖται δὲ τῆς χώρας ἐκείνης ἦσαν οἱ δαίμονες, ἐν ᾗ ἐτύγχανε μετανάστιος. καὶ ἔπεμψεν αὐτὸν ὁ πολίτης ἐκεῖνος εἰς τὸν ἀγρὸν αὐτοῦ, βόσκειν χοίρους· οὕτω γὰρ τιμῶσιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτούς· οὕτω φιλοῦσι τοὺς φιλοῦντας αὐτούς· τοιαύτας δωρεὰς χαρίζονται τοῖς πειθομένοις αὐτοῖς. καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι. τί δέ ἐστιν, ἀπὸ τῶν κερατίων; τῶν κερατίων ἡ γεῦσις γλυκεῖά ἐστιν, ἀλλ' ὅμως καὶ σκληρὰ κατ' αὐτό γε καὶ τραχεῖα. τοιαύτη γὰρ καὶ τῆς ἁμαρτίας ἡ φύσις· εὐφραίνει μὲν μικρά, καὶ κολάζει μεγάλα· τέρπει πρόσκαιρα, καὶ μαστίζει αἰώνια. εἰς ἑαυτὸν δὲ ἐλθών, καὶ λογισάμενος τὴν προτέραν μακαριότητα, καὶ τὴν δευτέραν ἀθλιότητα, καὶ βαλὼν κατὰ νοῦν, τίς μὲν ἦν, ὅτε ἦν μετὰ τοῦ Θεοῦ καὶ πατρὸς τεταγμένος, τίς δὲ γέγονεν, ὑποτεταγμένος τοῖς δαίμοσιν. εἰς ἑαυτὸν οὖν ἐλθών, εἶπε· πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ ὧδε λιμῷ ἀπόλλυμαι; πόσοι νῦν κατηχούμενοι κατατρυφῶσι τῶν ἁγίων γραφῶν, τῷ λιμῷ δὲ τῶν θείων λογίων ἐγὼ συνέχομαι; ὦ πόσων ἀγαθῶν ἐμαυτὸν ἐστέρησα. ὢ πόσοις κακοῖς ἐμαυτὸν περιέβαλον. τί γὰρ ἀφιστάμην τῆς μακαρίας ἐκείνης διαγωγῆς; τί δὲ ταύτης αὐτὸς ἐγενόμην τῆς θανατηφόρου ζωῆς; ἔμαθον ἀφ' ὧν ἔπαθον, μὴ ἐγκαταλιμπάνειν Θεόν· ἔμαθον κρατεῖν τὸν ἀεὶ φυλάσσοντα τοὺς κρατοῦντας αὐτόν· ἔμαθον μὴ πιστεύειν τοῖς ἀκαθάρτοις δαίμοσι, τοῖς διδάσκουσι πᾶσαν ἀκαθαρσίαν τε καὶ φθοράν. τί οὖν φησιν; ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου· ὑποστρέψω καλῶς, ὅθεν ἐξῆλθον κακῶς· ἀπελθὼ πρὸς τὸν ἐμὸν πατέρα,

καὶ ποιητὴν, καὶ δεσπότην, καὶ κηδεμόνα, καὶ προνοητήν. καταλάβω τὸν πάλαι περιμένοντα καὶ προλαμβάνοντα τὰς πρὸς αὐτὸν ἐπιστρέφοντας· ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου. ἀρκεῖ μοι πρὸς σωτηρίαν ταῦτα τὰ ῥήματα· ἀρκεῖ μοι πρὸς τὴν πρεσβείαν τοῦ πατρός μου τὸ ὄνομα· οὐ δύναται γὰρ ὁ πατὴρ ὁ ἐμὸς, πατὴρ προσαγορευθεὶς παρ' ἐμοῦ, μὴ φανῆναι τοῖς ἔργοις πατήρ· οὐ δύναται μὴ κινῆσαι τὰ σπλάγχνα, εὔσπλαγχνος ὤν· οὐ δύναται, τὸ ἥμαρτον, ἀκούσας, μὴ δοῦναι συγγνώμην τοῖς ἐμοῖς ὀλισθήμασιν· οὐ δύναται τῆς ἐμῆς ἀκούσας φωνῆς, μὴ ἐπιλαθέσθαι τῆς δικαίας ὀργῆς. οἶδα πόσα δύναται παρ' αὐτῷ ἡ μετάνοια· οἶδα πῶς ἰσχύει παρ' αὐτῷ τὰ δάκρυα· οἶδα πῶς ἕκαστος ἁμαρτωλὸς πρὸς αὐτὸν ἀνανεύων, καὶ δακρύων θερμῶς, ὡς ὁ Πέτρος, λαμβάνει τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· οἶδα τοῦ Θεοῦ μου τὴν ἀγαθότητα· οἶδα τοῦ πατρός μου τὴν ἡμερότητα. ἐλεήσει με μετανοοῦντα, ὃν οὐκ ἐκόλασεν ἁμαρτήσαντα. καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. προσέθηκε τῇ καλῇ βουλῇ τὴν πρᾶξιν τὴν ἀγαθήν. δεῖ γὰρ ἡμᾶς οὐ μόνον βουλεύεσθαι τὰ συμφέροντα, ἀλλὰ καὶ τὰς ἀγαθὰς ὁρμὰς δεικνύειν ταῖς πράξεσιν. ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος τῷ τόπῳ, πλησίον δὲ ὄντος τῷ τρόπῳ, καὶ τὰς χεῖρας συχνῶς ἐπιρρηγνύντος, καὶ τύπτοντος τὸ ἴδιον στῆθος, ὡς τῶν πονηρῶν λογισμῶν ὑπάρχον ἐργαστήριον, καὶ τὸ πρόσωπον προσηλοῦντος τῇ γῇ, καὶ τοὺς ὀφθαλμοὺς ἀπαιτοῦντος δοῦναι συμπρεσβευτὰς τὰς τῶν δακρύων σταγόνας, καὶ προμελετῶντος τὴν ἀπολογίαν, φθάσας ἀνεβόησε φωνῇ μεγάλῃ, μετὰ δακρύων λέγων· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου. ἥμαρτον, οἶδα, Χριστὲ Δέσποτα, καὶ Θεέ. ἐμὰς ἁμαρτίας σὺ μόνος ἐπίστασαι. ἥμαρτον, ἐλέησον ὡς Θεὸς καὶ δεσπότης. οὐκ εἰμὶ ἄξιος εἰς τὸν οὐρανὸν βλέπειν, καὶ παρακαλεῖν σε τὸν ἀγαθόν μου δεσπότην,

γέ-

γέμων μεγίστων καὶ χαλεπῶν ἐγκλημάτων. οὐκ ἔστιν ἀριθμὸς τῶν ἐμῶν ἁμαρτημάτων. ἐλέησον ὡς ἀγαθὸς Θεὸς ὢν ἀεί. ὅτι οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. οὕτως ἱκετεύοντα ἐκ βάθους τῆς καρδίας εἶδεν αὐτὸν ὁ βλέπων πλημμελοῦντας, καὶ περιβλέπων ἁμαρτάνοντας, καὶ περιμένων αὐτῶν τὴν μετάνοιαν· Εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη. πατὴρ γὰρ ἦν τῇ χρηστότητι, εἰ καὶ Θεὸς ὑπῆρχε τῇ φύσει. καὶ δραμὼν ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. οὐκ ἀνέμεινε τὸν προσκρούσαντα πλησίον ἐλθεῖν, ἀλλ' αὐτὸς αὐτὸν προαπήντησε προθύμως· καὶ οὐκ ἐβδελύξατο τὸν τράχηλον αὐτοῦ, ὡς ταῖς κηλῖσι τῆς ἀσωτίας κατάστικτον καὶ μεμιασμένον· ἀλλὰ ταῖς ἀχράντοις αὐτοῦ χερσὶ περιλαβὼν κατεφίλησεν ἀπλήστως τὸν πάλαι ποτὲ ποθούμενον· ὢ τῆς ἀφάτου τε καὶ φοβερᾶς εὐσπλαγχνίας· ὢ παραδόξου φιλανθρωπίας· ὢ ξένων σπονδῶν· ὢ ξένων καταλλαγῶν· ἔπεισεν εὐθὺς τὸν Θεὸν εἰς ῥοπὴν μίαν καὶ συγκαταβῆναι τοῖς δάκρυσι, καὶ παραδραμεῖν πλῆθος τοσοῦτον ἁμαρτιῶν. ἐθαύμασας ὁρῶν Θεὸν κολακεύοντα ἁμαρτωλόν; ὢ τῆς στοργῆς τῶν σπλάγχνων τῶν πατρικῶν. ὁ ἁμαρτωλὸς ἐπὶ γῆς ἐδάκρυσε, καὶ ὁ μόνος ἀναμάρτητος οὐρανόθεν ἑαυτὸν πρὸς τὴν φιλανθρωπίαν ἐπέκλινε. τίς εἶδέ ποτε ἁμαρτωλὸν ὑπὸ Θεοῦ κολακευόμενον; τίς εἶδέ ποτε τὸν δικαστὴν κατάδικον θεραπεύοντα; τίς εἶδέ ποτε κατάκριτον κολακευόμενον; ἀλλ' ὅμως ὁ Θεὸς παρακαλεῖ, ὥς ποτε τὸν Ἰσραήλ· λαός μου, φησί, τί ἠδίκησά σε, ἢ τί παρηνώχλησά σοι; καὶ νῦν, τὰ αὐτὰ γίνεται, καὶ ἐγένετο, ἐπειδὴ οὕτως ὁ εὐκατάλλακτος βούλεται Θεός, οὕτως εἴωθεν ὑφ' ἑαυτοῦ νικᾶσθαι ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως. οὐ μὴν ἠρκέσθη τούτοις ὁ ἄσωτος οὗτος υἱός· ἀλλὰ καὶ ἐν τοῖς τῆς μετανοίας ἀγαθοῖς ἄσωτος ἦν, οὐδὲ ἐνόμισεν αὐτῷ (πρὸς τὸ πλῆθος τῶν ἁμαρτηθέντων) τὴν τοσαύτην φιλανθρωπίαν πρὸς τὴν πλείαν σαν-

πείαν ἀρκεῖν. ἀλλ' ἅπερ ἐμελέτησεν εἰπεῖν τῷ πατρὶ, πάντα καὶ παρὼν διελέγετο μετὰ τοῦ πρέποντος σχήματος. πάτερ, εἴγε ὅλως ἔξεστί μοι πατέρα σε εἰπεῖν. Εἰ μὴ καὶ τοῦτο μετὰ τῶν ἄλλων μου πταισμάτων, καλῶν σε πατέρα, ἐξαμαρτάνω. Εἰ μὴ ὑβρίζω τῇ κλήσει τὸ ἀνύβριστον ὄνομα. Εἰ μὴ κλείει μου τὰ χείλη τὸ συνειδός. Εἰ μὴ δεσμεῖ μου τὴν γλῶτταν ὁ τρόπος τῆς πράξεως. Εἰ μὴ κωλύει μου τὸν λόγον ὁ βίος. δέξαι, πάτερ ἅγιε, δέησιν ῥυπαρὰν ἐκ στόματος ῥυπαροῦ. πάτερ κατὰ χάριν, καὶ δημιουργὲ κατὰ φύσιν, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. ἥμαρτον, ὁμολογῶ τὰ παραπτώματά μου, οὐ κρύπτω ἅπερ βλέπεις, οὐκ ἀρνοῦμαι ἅπερ ἐπίστασαι. ὡς ὑπεύθυνος πρόκειμαι, ὡς παράνομος κατακρίνομαι, ὡς κριτὴς ἐλέησόν με· ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου. δέδοικα εἰς τὸν οὐρανὸν τὰ ὄμματά μου ἀνατεῖναι, φοβοῦμαι γὰρ τοῦ στερεώματος τὴν μορφὴν, ὡς κατηγόρου φωνήν· εὐλαβοῦμαι ἐνατενίσαι τῷ φωτὶ τῆς θεότητος, ῥυπαροὺς ἔχων τοὺς τῆς διανοίας ὀφθαλμούς. ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. ἰδοὺ ἐμαυτὸν ἀνακηρύττω, ἐμαυτὸν κατακρίνω, κατ' ἐμαυτοῦ ἀποφαίνομαι. οὐ δέομαι δικαστοῦ πρὸς ἀπόφασιν, οὐ δέομαι κατηγόρων πρὸς ἔλεγχον, οὐ δέομαι μαρτύρων πρὸς ἔγγραφα. ἔνδον ἔχω προκαθήμενον τὸ συνειδὸς, τὸν ἀπαραίτητον δικαστήν· ἐν τῇ ψυχῇ βαστάζω τὸ φοβερὸν δικαστήριον· ἐν τῷ συνειδότι περιφέρω τοὺς μάρτυρας, ἐν τοῖς ἐμοῖς ὀφθαλμοῖς τοὺς κατηγόρους ἐπάγω. τὰ θέατρά μου κατηγορεῖ, αἱ ἱπποδρομίαι μου κατακράζουσιν, αἱ θεωρίαι τῶν θηριομαχούντων καταβοῶσί μου, ἡ ἀσωτία θριαμβεύει με, αἱ πράξεις μου στηλιτεύουσί με, ἡ παροῦσα γυμνότης φανεροῖ με, αὐτὰ τὰ ῥάκη τῆς αἰσχύνης, ἃ περιβέβλημαι, καταισχύνει με, κἀγὼ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. μήτε τῆς αὐλῆς σου ἀποπέμψῃς με, Δέσποτα, ἵνα μὴ

πά-

πάλιν ὁ πολέμιος εὑρών με πεπλανημένον, ὡς αἰχμάλωτον ἀπαγάγῃ· μήτε πλησίον ἑλκύσῃ με τῆς φοβερᾶς σου καὶ μυστικῆς τραπέζης. οὐ γὰρ τολμῶ ὀφθαλμοῖς ἐναγέσιν ὁρᾶν τῶν ἁγίων τὰ ἅγια. ἐάσόν με στῆναι μετὰ τῶν κατηχουμένων, τῶν θυρῶν τῆς Ἐκκλησίας ἔνδον· ἵνα θεωρῶν τὰ ἐν αὐτῇ τελούμενα μυστήρια, ποθήσω καὶ μικρὸν ταῦτα πάλιν ἀναλαβεῖν· ἵνα τοῖς θείοις νάμασιν ἐπαντλούμενος ἀποσμήξω τὴν αἰσχύνην τῶν αἰσχρῶν ἀσμάτων, τὸν ῥύπον τὸν ἐγκείμενον ταῖς ἐμαῖς ἀκοαῖς. ἵνα θεωρῶν τοὺς σοὺς μαργαρίτας ἁρπαζομένους παρὰ τῶν εὐσεβῶν ἀνδρῶν, ἐπιθυμήσω κἀγὼ κτήσασθαι χεῖρας ἀξίας τῆς τούτων ὑποδοχῆς. ταῦτα τοῦ Ἀσώτου προσκηρύσαντος, καὶ μετὰ δακρύων βοῶντος, εἶπεν ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ. πρὸς ποίους δούλους; ἄκουε. πρὸς τοὺς ἱερεῖς καὶ λειτουργοὺς τῶν αὐτοῦ προσταγμάτων· ἐξενέγκατε ταχὺ τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν· ἐξενέγκατε τὴν στολὴν τὴν ἄνωθεν ὑφαντήν, τὴν ἐκ τοῦ πνευματικοῦ πυρὸς καταρτιζομένην· ἐξενέγκατε τὴν στολὴν τὴν ἐν τοῖς ὕδασι τῆς κολυμβήθρας ὑφαινομένην· ἐξενέγκατε τὴν στολὴν τὴν ἐκ τοῦ πνευματικοῦ πυρὸς κατασκευαζομένην, καὶ ἐνδύσατε αὐτόν. ἐνδύσατε τὸν ἑαυτὸν ἀποδύσαντα· ἐνδύσατε τὸν νέον Ἀδάμ, ὃν ἐγύμνωσεν ὁ διάβολος· ἐνδύσατε τὸν βασιλέα τῆς κτίσεως· κοσμήσατε τοῦτον, δι' ὃν τὸν κόσμον ἐκόσμησα· καλλωπίσατε τοῦ υἱοῦ μου τὰ φίλτατα μέλη. οὐ φέρω γὰρ αὐτὸν ἀκαλλώπιστον καθορᾶν· οὐ φέρω τὴν ἐμὴν εἰκόνα γεγυμνωμένην καταλιπεῖν. ἐμὸν ὄνειδος ἡγοῦμαι τὸ ὄνειδος τοῦ ἐμοῦ παιδός· ἐμὴν δόξαν ἡγοῦμαι τούτου τὴν εὔκλειαν. δότε καὶ δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, ἵνα φορῇ τὸν ἀρραβῶνα τοῦ πνεύματος, καὶ φορῶν αὐτὸν φρουρηθῇ ὑπ' αὐτοῦ τοῦ πνεύματος· ἵνα τὴν ἐμὴν σφραγῖδα περιφέρων, φοβερὸς ᾖ πᾶσι τοῖς πολεμίοις τε καὶ ἐναντίοις· ἵνα πόρρωθεν φαίνηται, ποίου πατρὸς ἐστὶν οὗτος υἱός· δότε καὶ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ, ἵνα μὴ πάλιν εὕρῃ ὁ ὄφις γυμνὴν τὴν πτέρναν αὐτοῦ, καὶ πατάξῃ

τὸν ἐπὶ τοῦ κέντρου· ἀλλ' ἵνα μᾶλλον αὐτὸς καταπατῇ τὴν τοῦ δράκοντος κεφαλὴν, ἵνα συντρίψῃ τοῦ πολεμίου τὸ κέντρον, καὶ ἵνα τρέχῃ τὴν κατὰ Θεὸν ὁδόν. καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν, θύσατε. ποῖον μόσχον λέγει σιτευτόν; ποῖον; ὃν ἡ δάμαλις Μαρία Παρθένος ἐγέννησεν. ἐνέγκατε τὸν μόσχον τὸν ἀδάμαστον, τὸν μὴ δεξάμενον ἁμαρτίας ζυγὸν, τὸν παρθένον, καὶ ἐκ παρθένου, τὸν ἀκολουθοῦντα τοῖς ἀκολουθοῦσιν αὐτῷ, οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἑκουσίως, τὸν μὴ χρώμενον τῇ δυνάμει αὐτοῦ, μηδὲ τοῖς κέρασιν, ἀλλ' ἑτοίμως ὑποκλίναντα τὸν ἑαυτοῦ αὐχένα τοῖς σφάττειν θέλουσι. θύσατε οὖν ἑκόντα θυόμενον. θύσατε τὸν ζωοποιοῦντα τοὺς θύοντας· θύσατε τὸν θυόμενον, καὶ μὴ νεκρούμενον· θύσατε τὸν μελιζόμενον, καὶ τοὺς μελίζοντας αὐτὸν ἁγιάζοντα· θύσατε τὸν ἐσθιόμενον παρὰ τῶν εἰδότων αὐτὸν, καὶ μηδέποτε δαπανώμενον· θύσατε τὸν τοὺς ἐσθίοντας μακαρίους ἀπεργαζόμενον. καὶ φαγόντες πάντες εὐφρανθῶμεν, ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν, καὶ εὑρέθη. καὶ ἤρξαντο εὐφραίνεσθαι. ἐπίστασθε τὴν πνευματικὴν εὐφροσύνην, οἱ ταύτης γευσάμενοι, καὶ μεμνημένοι τῶν φρικτῶν μυστηρίων, τῶν λειτουργῶν τῆς θείας ἱερουργίας, τῶν μιμουμένων τὰς τῶν Ἀγγέλων πτέρυγας ταῖς λεπταῖς ὀθόναις ταῖς ἐπὶ τῶν ἀριστερῶν ὤμων κειμέναις, καὶ ἐν τῇ Ἐκκλησίᾳ περιτρεχόντων καὶ βοώντων· μή τις τῶν κατηχουμένων. μή τις τῶν μὴ ἐσθιόντων· μή τις τῶν κατασκόπων· μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸν μόσχον ἐσθιόμενον· μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸ οὐράνιον αἷμα τὸ ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. μή τις ἀνάξιος τῆς ζώσης θυσίας. μή τις ἀμύητος· μή τις μὴ δυνάμενος ἀκαθάρτοις χείλεσι προσψαύσασθαι τῶν φρικτῶν μυστηρίων. Εἶτα καὶ τῶν Ἀγγέλων οὐρανόθεν ἐπευφημούντων καὶ λεγόντων· Ἅγιος ὁ Πατὴρ, ὁ θελήσας τυθῆναι τὸν μόσχον τὸν σιτευτὸν, τὸν μὴ γνόντα ἁμαρτίαν, καθώς φησιν ὁ προφήτης Ἡσαΐας, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δό-

ηλος ἐν τῷ στόματι αὐτοῦ· Ἅγιος ὁ Υἱὸς, ἅμα καὶ μόσχος, ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν· Ἅγιος ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ τὴν θυσίαν τελεσιουργῆσαν. τούτων οὖν ἔνδον ἐπιτελουμένων, ὁ πρεσβύτερος υἱὸς μακρόθεν παραγενόμενος ἤκουσε συμφωνίας καὶ χορῶν. καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθάνετο τί ἂν εἴη τοῦτο; ἦχός τις περικτυπεῖ μου τὰ ὦτα. ὁ δέ φησι, Δαβὶδ ὁ προφήτης ἔνδον μελῳδεῖ· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους, ὁ αὐτὸς πάλιν προξενεῖται τοὺς παρόντας πρὸς τὴν ἑστίασιν, καὶ λέγει· γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Παῦλος ὁ τῶν θείων μυστηρίων ἐξηγητὴς, ἀναβοᾷ καὶ λέγει· τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. ἡ Ἐκκλησία πανηγυρίζει εὐφραινομένη καὶ χορεύει. ὁ δέ φησι πρὸς τὸν δοῦλον· ναί; καὶ μὴ παρόντος ἐμοῦ, ἄλλοι τὰ ἐμὰ μυστήρια, παρὰ τὴν ἐμὴν ἀπουσίαν, ἐν τῇ ἐμῇ αὐλῇ μυεῖζονται; ναί, φησιν· ὅτι ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ πρὸς ταῦτα ὁ δίκαιος, καὶ οὐκ ἠθέλησεν εἰσελθεῖν. ὠργίσθη ὁ δίκαιος, καὶ τοῦ φθόνου ἐγένετο δοῦλος; ὁ καταπατήσας τοῦ βίου τὰ τερπνὰ, φθόνῳ κεκράτηται; καὶ πῶς φησιν ὁ Παῦλος λέγων· ἐβουλόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα; οὐχ ἵνα βάσκανον δείξῃ τὸν δίκαιον, ἀλλὰ διὰ τὴν ὑπερβολὴν οὕτω τὸν λόγον ἐσχημάτισεν ὁ Σωτήρ· ἵνα κηρύξῃ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ Πατρὸς αὐτοῦ. καὶ τοῦτο δηλοῖ διὰ τῶν ἐφεξῆς. ὁ γὰρ πατὴρ αὐτοῦ, φησιν, ἐξελθὼν παρεκάλει αὐτόν. ὢ σοφίας ἀρρήτου. ὢ προνοίας θεοφιλοῦς. καὶ τὸν ἁμαρτωλὸν ἠλέησε, καὶ τὸν δίκαιον ἐκολάκευσε, καὶ τὸν ἑστάμενον οὐκ ἀφῆκε πεσεῖν, καὶ τὸν πεσόντα ἤγειρε, καὶ τὸν πένητα πλούσιον ἀπέδειξε, καὶ τὸν πλούσιον οὐ συνεχώρησε τῷ φθόνῳ γενέσθαι πτωχόν. ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ ἐγὼ τοσαῦτα ἔτη ἔχω δουλεύων σοι, καὶ οὐδέποτε ἐντολήν σου πα-

ρῦλθον· καὶ ἐμοὶ οὐκ ἔδωκάς ποτε ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ. ἀλλὰ περιέρχομαι ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενος, θλιβόμενος, κακουχούμενος. ὅταν δὲ ὁ υἱός σου οὗτος ἦλθεν, ὁ καταφρονήσας σου, καὶ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, εὐθέως ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν· καὶ οὔτε ῥήματι ἐνεκάλεσας αὐτῷ, οὔτε σχήματι τὸ πρόσωπόν σου ἀπέστρεψας ἀπ' αὐτοῦ· ἀλλ' εὐθέως ἐξενοδόχησας αὐτὸν, καὶ πάσῃ τῇ στολῇ σου κατεκόσμησας, καὶ τῷ χρυσῷ δακτυλίῳ περιέστραψας, καὶ τοῖς ὑποδήμασι περιέφραξας, καὶ τὴν Ἐκκλησίαν ὑπέφωξας, καὶ τὴν τράπεζαν ἐκαλλώπισας, καὶ τοὺς κρατῆρας ἐπλήρωσας, καὶ τὸν μόσχον τὸν σιτευτὸν κατέσφαξας, καὶ πρὸς τὴν εὐωχίαν τοὺς πιστοὺς προσεκάλεσας, καὶ τοὺς Ἀγγέλους χορεύειν ἐποίησας, καὶ ξένον οὐρανοῦ καὶ γῆς συμπόσιον συνεκρότησας, καὶ τοιαύτας καὶ τοσαύτας δωρεὰς παρέσχες τῷ καταφρονήσαντι τῆς σῆς ἀγαθότητος, καὶ τὴν εὐγένειαν καθυβρίσαντι. τί εἴπω πρὸς τὸ βάθος καὶ τὸ πέλαγος τῶν σῶν οἰκτιρμῶν; πῶς θαυμάσω τὴν θάλατταν τῆς σῆς γαληνότητος; ἐλεεῖς, Κύριε, πάντας, ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων προσερχομένων εἰς μετάνοιαν. ὁ δὲ πατὴρ αὐτοῦ εἶπεν αὐτῷ· τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ· σὺ τῶν ἐμῶν κόλπων οὐκ ἐχωρίσθης ποτέ· σὺ τῆς Ἐκκλησίας τῆς ἐμῆς οὐκ ἀπεσκίρτησας· σὺ ψαλμοῖς καὶ ὕμνοις προσέχεις ἀεί· σὺ μετὰ τῶν Ἀγγέλων ἐντυγχάνεις διὰ παντός· σὺ τῷ θυσιαστηρίῳ παρεστάμενος, μετὰ παρρησίας βοᾷς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. οὗτος δὲ προσῆλθέ μοι, κατακεκαυμένος, κατησχυμμένος, τὸ πρόσωπον ὠθῶν εἰς τὴν γῆν, καὶ μετὰ συντετριμμένης καὶ στυγνῆς φωνῆς ἀνεβόησε· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. τί εἶχον ποιῆσαι πρὸς τὰ ῥήματα ταῦτα; ἠδυνάμην μὴ ἐλεῆσαι τὸν ἐμὸν υἱὸν προσελθόντα μοι; σὺ δίκασον ὁ θυμούμενος.

ἀλλ'

ἀλλ᾽ οὐ πέφυκα, φιλάνθρωπος ὢν, ἀπάνθρωπόν τι διαπράξασθαι· οὐ δύναμαι μὴ ἐλεῆσαι, ὃν ἐγὼ ἐποίησα· οὐ δύναμαι μὴ οἰκτείρειν, ὃν ἐκ τῶν ἐμῶν σπλάγχνων ἐγέννησα. τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα, σά ἐστιν· ὁ οὐρανὸς σός, τὸ στερέωμα σόν, ὁ ἥλιος δαδοῦχος σός, ἡ σελήνη θεραπαίνη σή, οἱ ἀστέρες λαμπτῆρες σοί, ὁ ἀὴρ τροφεύς σός, καὶ πάντα τὰ ἐναέρια, σά, ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, σά, ἡ θάλασσα καὶ τὰ ἐν αὐτῇ, σά, ὁ κόσμος, σός, ἡ Ἐκκλησία, σή, τὸ θυσιαστήριον, σόν, ὁ μόσχος ὁ σιτευτός, σός, ἡ θυσία, σή, οἱ Ἄγγελοι, σοί, οἱ Ἀπόστολοι, σοί, οἱ Μάρτυρες, σοί, τὰ παρόντα, σά, τὰ μέλλοντα, σά, ἡ ἀνάστασις, σή, ἡ ἀθανασία, σή, ἡ ἀφθαρσία, σή, ἡ βασιλεία τῶν οὐρανῶν, σή, πάντα τὰ φαινόμενα καὶ τὰ νοούμενα, σά. μὴ τὰ σὰ ἀπήγαγον, κἀκείνῳ προσήγαγον; μή σε ἀπέδυσα, κἀκεῖνον ἐνέδυσα; οὐχὶ ἐκ τῶν ἐμῶν πραγμάτων ἐχαρισάμην τὸ ἔλεος; οὐχ ὅμοιός εἰμι καὶ σοῦ κἀκείνου πατήρ; καὶ σὲ τιμῶ διὰ τὴν ἀρετήν, κἀκεῖνον ἐλεῶ διὰ τὴν καλλίστην ἐπιστροφήν. καὶ σὲ ποθῶ διὰ τὴν ζωήν, κἀκεῖνον διὰ τὴν μεταβολήν. καὶ σὲ διὰ τὴν πολιτείαν φιλῶ, κἀκεῖνον διὰ τὴν μετάνοιαν. καὶ σὲ διὰ μακροθυμίαν, κἀκεῖνον διὰ τὴν ἐν ἐμοὶ ἐπιστροφήν. εὐφρανθῆναι δὲ καὶ χαρῆναί σε ἔδει, ὅτι οὗτος ὁ ἀδελφός σου νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν, καὶ εὑρέθη. τίς βλέπων νεκρὸν ἀνιστάμενον, οὐκ εὐφραίνεται; καὶ τίς εὑρὼν ἃ ἀπώλεσεν, οὐκ ἀγάλλεται; δεῦρο καὶ σύ, υἱέ μου, συνευφράνθητι σὺν ἡμῖν, καὶ συσκίρτησον σὺν τοῖς Ἀγγέλοις, καὶ περίπτυξον σὺν ἡμῖν τὸν σὸν ἀδελφόν, καὶ σύμψαλλε τῷ Δαβὶδ ἐκεῖνο τὸ πνευματικὸν μέλος, τὸ πρέπον τῇ παρούσῃ πανηγύρει· μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. Ἠκούσατε τῆς θείας παραβολῆς, καὶ τὸν ταύτης σκοπὸν ἔγνωτε, καὶ τὴν δύναμιν αὐτῆς εἴδετε. ἐμάθετε πῶς

φιλάνθρωπον ἔχομεν Κύριον, πῶς ἀνεξίκακον. αὐτῷ τοίνυν προσφύγωμεν μετὰ καθαρᾶς καρδίας. δεῦτε, κοινῇ φωνῇ βοήσωμεν πρὸς αὐτόν· Δέσποτα, Κύριε φιλάνθρωπε, μονογενὲς Υἱὲ τοῦ Θεοῦ, ἡμάρτομεν εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἐσμὲν ἄξιοι κληθῆναι υἱοί σου· ἀλλὰ θαῤῥοῦμεν τοῖς σοῖς οἰκτιρμοῖς· ἔχομεν ὅμηρα τῆς σῆς φιλανθρωπίας τὸν τίμιον σταυρόν, ὃν ὑπέμεινας δι' ἡμᾶς· ἔχομεν ἐγγυητὰς τῆς σῆς εὐσπλαγχνίας, τὴν ποτε πόρνην, καὶ τὸν ποτε λῃστήν. Διὰ τούτων γὰρ καὶ ἡμεῖς καὶ πάντες οἱ ἁμαρτωλοὶ προτρεπόμεθα προστρέχειν τῇ σῇ φιλανθρωπίᾳ· ὡς ἐκείνους ἀοιδίμους καὶ μακαρίους ἀπέδειξας Κύριε, καὶ ἡμᾶς προσπίπτοντάς σοι ἐλέησον· ὡς ἀνέστησας νεκροὺς σταυρωθείς, καὶ ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ διὰ τὴν πολλήν σου φιλανθρωπίαν ἀνάστησον, ἵνα ἀπολαύσωμεν μετὰ τῶν ἀπολυτρωσαμένων τῆς σῆς ἀναστάσεως. ταῦτα λέγοντες, ἐπιμείνωμεν, ἵνα καὶ πρὸς ἡμᾶς εἴπῃ ὁ Δεσπότης ἡμῶν Χριστός. κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ὑμεῖς δὲ οἱ μέλλοντες ἀπολαύειν τῆς τοῦ Βαπτίσματος δωρεᾶς, πάντα λογισμὸν ἀλλότριον ἀποῤῥίψαντες, καὶ τὰς ψυχὰς ὑμῶν εἰς τὸν οὐράνιον νυμφίον εὐθύναντες, τῆς τοῦ ἁγίου Πνεύματος χάριτος ἀπολαύσατε. ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε, ἐπὶ θύραις ὁ λυτρωτὴς ἐφέστηκεν, ὁ ἰατρὸς τοῖς πιστεύουσι πάρεστι, τὸ ἰατρεῖον ἀνέῳκται, τὰ φάρμακα πρόκειται, ἡ κολυμβήθρα πάντας προσδέχεται, ἡ χάρις ἐξήπλωται, ἡ πνευματικὴ στολὴ παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἐξυφαίνεται. μακάριοι οἱ καταξιούμενοι φορέσαι τὴν στολήν. μόνον ὑμεῖς τῆς πίστεως τὰς λαμπάδας ἀνάψατε, καὶ τὸ ἔλαιον τῆς εὐσεβείας δαψιλῶς ἐπιβάλλετε, ἵνα νυκτός, ὅταν γίνηται φωνὴ λέγουσα, ἰδοὺ ὁ Νυμφίος ἔρχεται, ἐξέλθητε εἰς ὑπάντησιν αὐτοῦ μετὰ φαιδρῶν τῶν λαμπάδων, χορεύοντες καὶ σκιρτῶντες καὶ βοῶντες· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΒΑΣΙΛΕΙΟΥ

# ΕΠΙΣΚΟΠΟΥ ΣΕΛΕΥΚΕΙΑΣ

## ΛΟΓΟΣ

### Εἰς τὸ, Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν Γῆν.

Ἅπας μὲν ὁ τῶν ἀνθρώπων βίος ἀρετῆς ἀγωνιστήριον πρόκειται, καὶ τὰ τῆς ζωῆς διαστήματα πρὸς τὰ τῆς εὐγνωσίας βλέπει διδάγματα. τί γὰρ ὄφελος ἄνθρωπον πλασθῆναι μὲν ὑπὸ τοῦ Θεοῦ, τὴν δὲ πλάττουσαν οὐκ ἐπίστασθαι χεῖρα; καὶ τῆς μὲν κτίσεως βασιλέα χειροτονεῖσθαι, τὸν δὲ παραγαγόντα τὴν κτίσιν ἀγνοεῖν ὡς οὐκ ὄντα; καὶ τῷ μὲν κάλλει τῆς κτίσεως τοὺς ὀφθαλμοὺς ἐπιβάλλειν, τυφλώττειν δὲ πρὸς τὸν τοῦ κόσμου παραίτιον; Ἀλλὰ καίπερ ὁ τῶν ἀνθρώπων βίος τὰς ἰδίας ἀνείληπται πρὸς τὰ θεῖα παιδεύματα· ἀλλά γε τῆς νηστείας ἡ σάλπιγξ τὸ κοινὸν ἐξαίρετον κέκτηται. τὸ γὰρ σεμνὸν ἑαυτῆς μέλος ταῖς τῆς ψυχῆς ἀκοαῖς ἀναβοῶσα, πρὸς τὸ τῶν ἀγωνισμάτων διανίστησι στάδιον, τοὺς τῶν θείων ἐραστὰς μαθημάτων φιλοπονωτέρους ἐξεργαζομένη· καὶ τῶν ἔνδον ὀφθαλμῶν περιαιροῦσα τὰς λήμας, τὰς τῆς θεογνωσίας ἀκτῖνας φανερωτέρας δείκνυσιν. ὅσῳ γὰρ ἀμβλύνει τὰ τοῦ σώματος πάθη, τοσούτῳ πρὸς τὸ θεῖον ἀκονᾷ τῆς ψυχῆς τὴν διάθεσιν· καὶ τὰ τῆς σαρκὸς κοιμίζουσα κύματα, τῇ ψυ-

χῇ

καὶ γαλήνην μνηστεύεται· ἐγχειρίζει δὲ αὐτῷ τοὺς καὶ τοῦ σώματος οἴακας, καὶ περικόπτει τὴν στάσιν· τὴν καὶ τῶν παθῶν ἐξουσίαν ὁρίζουσα, καὶ τὴν φιλοσώματον πυρκαϊὰν ἀποσβέσασα, τὴν φιλόθεον ἀνάπτει λαμπάδα. Δεῦρο δὴ οὖν καὶ ἡμεῖς οὐρανίῳ πειθόμενοι σάλπιγγι, φιλοσοφῶμεν τὰ θεῖα, καὶ πρὸς τὸν τῆς κτίσεως δεσπότην διὰ τῆς κτίσεως ἀναβαίνωμεν· κλίμακος γὰρ δίκην Θεὸς ἁρμόσας τὴν κτίσιν, δι' αὐτῆς πρὸς ἑαυτὸν τοῖς φιλοθέοις ἀνάβασιν ἐτεχνήσατο· χειραγωγεῖ δὲ ἡμᾶς πρὸς τὴν ἄνοδον χάρις Μωσαϊκῆς γλώττης ἐπιβαίνουσα προφητική. τί λέγουσα; τί βοῶσα; ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν, καὶ τὴν γῆν. ὁρᾷς, φησίν, οὐρανοῦ πλάτη, καὶ μεγέθη, καὶ κάλλη, τὰ τῶν ὀμμάτων ὑπερβαίνοντα μέτρα τῷ θαύματι; τοῦτον ὁ Θεὸς καὶ παρήγαγε νεύματι, καὶ συνέχει προστάγματι· οὐ κάτωθεν ὑπερεισμάτων προσαναβαινόντων τοῖς ὕψεσιν, οὔτε μὴν ἄνωθέν τις δεσμὸς τῆς οὐρανοῦ κορυφῆς ὑπερκείμενος, ἄνω μένειν βιάζεται· τὸ δὲ τῆς γῆς ἄχθος ἀπερείστοις τοῖς διαστήμασι, ποῦ κρέμαται; ἀλλὰ κἂν εὕρῃς θεμέλιον ὑποκείμενον, πάλιν ἐκείνου τὴν ῥίζαν ζητεῖς, καὶ μετ' ἐκεῖνο τὸ ὑπ' ἐκεῖνο, ἕως τῷ βάθει τῆς ἐρεύνης ὁ λογισμὸς παιδευθεὶς ἀνακράξῃ· δάκτυλος Θεοῦ τοῦτό ἐστι. καὶ τὸ δὴ τοῦ θαύματος θαῦμα διάδοχον. οὐρανὸς καὶ γῆ παρηγάγοντο κυοφοροῦντες τὴν ἄβυσσον, καὶ τὰ πελάγη βαστάζοντες ἵσταντο, μηδὲ τῷ βάρει πρὸς πτῶσιν ὀλισθαίνοντες. καὶ καθάπερ τις ἐγκύμων γαστήρ, ταῖς τῶν μηνῶν περιόδοις ἐξογκουμένη, τὰς ὠδῖνας γειτνιώσας κηρύττει, τὸν αὐτὸν δὴ τρόπον κρεμάμενος οὐρανὸς τὴν τοσαύτην τῶν ὑδάτων φύσιν ἀπεριτρέπτως ἐβάσταζεν. ἔμενε γὰρ ἄσειστος δημιουργοῦ σφιγγόμενος νεύματι. Ἀλλὰ γὰρ ὥσπερ οἶκον τέως ἀκόσμητον, παραγαγὼν ὁ Θεὸς τὸ σῶμα τῆς κτίσεως, μετὰ τοῦτο προσάγει τὴν διακόσμησιν, τῷ τοῦ μεγέθους θαύματι κάλλος ἀνάλογον μηχανώμενος. ὥσπερ γὰρ οἱ τῶν ζωγράφων παῖδες προλευκαίνοντες τοὺς τοίχους,

τὰ

τὰ τῶν χρωμάτων ἄνθη διὰ τῆς τέχνης φυτεύουσιν, οὕτως ὁ δημιουργὸς πρὸς τὴν τοῦ κόσμου διακόσμησιν ἐπειγόμενος, φωτὶ πρῶτον λευκαίνει τοὺς τοίχους τῆς κτίσεως. εἶπε γάρ, φησιν, ὁ Θεός· γενηθήτω φῶς. Πρώτη φωνὴ νῦν θεόθεν ἐπέμπετο, καὶ τὸ φῶς ἀπετίκτετο. ἠχεῖτο φωνή, καὶ παρήγετο φύσις. κλῆσις ἐγίνετο, καὶ ἡ κτίσις ἐπλάττετο. ἆρα γὰρ οὐκ ἴσχυε σιωπῇ πράττειν ἅπερ ἐβούλετο; οὐκ ἠκολούθει τὸ ἔργον τῷ νεύματι; ἀλλ' οὐρανὸς μὲν παρήχθη, καὶ γῆ σὺν τοῖς ὕδασι, μὴ προλαβούσης φωνῆς· φωτὸς δὲ παραγομένου, φωνὴ προμαρτύρεται; τίς οὖν ὁ λόγος, καὶ τίς ἡ αἰτία τοῦ φθέγματος; μάθωμεν, καὶ σιωπώσης ἀκούειν τῆς γραφῆς, καὶ φθεγγομένης παιδεύεσθαι. Ἐπειδὴ γὰρ ἄρτι πλασθεῖσαι τῶν Ἀγγέλων αἱ μυριάδες, ἑώρων μὲν τὰ γινόμενα, τὸν δὲ ποιοῦντα βλέπειν οὐκ ἴσχυον (ὑπερβαίνει γὰρ καὶ Ἀγγέλων ὀφθαλμοὺς τὸ τῆς θείας οὐσίας ἀθέατον) εἰκότως νῦν προλαμβάνει φωνήν, πρὸς αἴσθησιν, καὶ θαῦμα τοῦ γινομένου κινοῦσαν τῶν Ἀγγέλων τὰς δυνάμεις, ἵνα τῷ προστάγματι συνοδεῦον τὸ δημιουργούμενον βλέποντες, καὶ τὴν θέαν καταπληττόμενοι, πρὸς γνῶσιν, καὶ ὕμνον ξαπῶσι τοῦ κτίσαντος. τίς οὗτος; φησὶν αὐτὸς ὁ Θεὸς πρὸς τὸν οἰκεῖον ἀγωνιστὴν τὸν Ἰὼβ διαλεγόμενος, ὅτε ἐποίουν ἄστρα, ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες οἱ Ἄγγελοί μου. τῇ γὰρ καταπλήξει τῆς θέας κρατούμενοι, πρὸς ἕκαστον τῶν παραγομένων τὸν ποιητὴν ἀνευφήμουν. Ἐπὶ τούτοις μεταξὺ τῶν ὑδάτων ὁ δημιουργὸς παρατείνει στερέωμα, καθάπερ ὀροφὴν πρὸς ζωγραφίαν ἁρμόδιον. γυμνοῖ δὲ μετὰ τοῦτο τῶν ὑδάτων τῆς ἠπείρου τὰ νῶτα, ὥσπερ ἐν τισὶ ταμιείοις τὰ πελάγη συγκλείων, κλεῖθρον ἐπιθεὶς τῇ ἀβύσσῳ τὸ πρόσταγμα, καὶ ψάμμῳ χαλινώσας, ὡς φόβῳ, τὴν θάλατταν, ἀναυάγητον τοῖς πελάγεσι φυλάττων τὴν ἤπειρον. κἂν ἀνέμων ἐμβολαῖς ὠθῆται πρὸς τὴν χέρσον ἡ θάλαττα, φέρεται μὲν κορυφουμένη τοῖς κύμασι, ψαύουσα δὲ τῶν ὅρων ὑπονοστεῖ δραπετεύουσα. καὶ τὴν τοῦ

δε-

δεσπότου φωνὴν ἐν αἰγιαλοῖς γεγραμμένην ὁρῶσα, κυρτουμένη τοῖς κύμασι προσκυνεῖ τὸν ὁροθετήσαντα, καὶ πλήττουσα βίᾳ τὴν χέρσον, ἀντιπλήττεται πρὸς φυγὴν τῇ τοῦ προστάγματος μνήμῃ. Διὰ τοῦτο γαλήνῃ πορφυροῦσα περισαίνει τὴν γείτονα, καθάπερ ἀγκάλαις ἁπαλαῖς προσπλεκομένη τὴν ἤπειρον, τῷ τοῦ δεσπότου διαπαντὸς περιεχομένη προστάγματι, καὶ μονονουχὶ καθ' ἑκάστην ἀκούειν νομίζουσα· συναχθήτω δὴ τὰ ὕδατα εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ μένει τοῦ προστάγματος μνήμων δεδεμένη τῇ ψάμμῳ· τῷ φόβῳ τοῦ δήσαντος τὸν δεσμὸν οὐ βιάζεται, προφητικὴν βεβαιοῦσα φωνήν· ὅριον ἔθου, ὃ οὐ παρελεύσεται. Ἐπὶ τούτοις τῶν ἀστέρων ἐν οὐρανῷ διασπείρει τὰ φέγγη, καὶ τῷ στερεώματι τὰ τοῦ φωτὸς ἄνθη φυτεύει, χάριν, καὶ χρείαν τοῖς γῆς ἐπιτελοῦντα. Πρὸς τούτοις τὸ τῆς κτίσεως ἔδαφος ἀνθέσι λειμῶσιν ἐποίκιλε. ζώων δὲ γονὰς ἐκ τῆς γῆς ἀνελκύσας, μητέρα, καὶ τροφὸν τῶν πλαττομένων ἀπέδειξεν. οὕτω δὴ τὴν ξηρὰν στεφανώσας, οὐκ ἔδειξεν ἄγονον οὐδὲ πρὸς τεκνογονίαν τὴν θάλασσαν. Ἔδει γὰρ αὐτὴν μηδενὸς ὁρᾶσθαι τῆς γείτονος γῆς ἀτιμοτέραν πρὸς ὠδῖνας ὑπάρχουσαν. οὗ ἔπεμπε τὸ πρόσταγμα, καὶ νηκτοῖς μὲν εὐθὺς ἐπλήμμυρεν ἄβυσσος. Πτηνοῖς δὲ ἀὴρ ἐπολίζετο, καὶ κόσμος ἀπήρτιστο, τῷ θαύματι κράζων· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. Ἀλλ' ἡ μὲν κτίσις ἀπήρτισται, τὴν τοῦ ποιητοῦ σοφίαν καὶ δυναστείαν ἀσιγήτως κηρύττουσα, διαφόρως ἐξυφασμένη ταῖς φύσεσι. τὰ μὲν γὰρ θνητὰ, τὰ δὲ ἀθανασίᾳ κεκόσμηται· καὶ τὰ μὲν ὄψεως κρείττονα, τὰ δὲ αἰσθήσει μεζευγμένα. τὰ μὲν λόγῳ τετιμημένα, τὰ δὲ ἀλογίᾳ κρατούμενα. τὰ μὲν ἔμπνοά τε καὶ ἔμψυχα, τὰ δὲ ψυχῆς καὶ αἰσθήσεως ἄμοιρα. καὶ τὰ μὲν σκιρτῶντα ταῖς μεταβάσεσι, τὰ δὲ δεσμῷ φύσεως προσηλωμένα τῇ γῇ. ἔδει γὰρ τὸν πλοῦτον τῆς κτίσεως ἐν τοῖς κτιζομένοις ἐμφαίνεσθαι. Ὁ μὲν οὖν τῆς κτίσεως οἶκος, ὅπερ ἔφθην εἰπὼν, φιλοκάλως ἀπήρτιστο, καθάπερ τὶς

θρό-

θρόνος βασιλικὸς διακοσμηθεὶς περιμενόντων τὸν βασιλεύοντα. ἔδει δὲ ἄρα καὶ ἄνθρωπον παραχθῆναι τὸν τῷ βασιλικῷ θρόνῳ προσήκοντα. τί οὖν ὁ πάνσοφος δημιουργός; ἄμφω τὰ μέρη τῆς κτίσεως εἰς τ' αὐτὸ συνελκύσας, ἐκ γῆς μὲν αὐτοῦ συναρμόζει τὸ σῶμα, ἄρρητον δὲ καθάπερ ἐν ξοάνῳ καλλωπισθέντι τὴν ψυχὴν ἐμπνεύσας τῷ σώματι, ἔμψυχον ἔστησεν ἀνδριάντα, πᾶσαν ὁμοῦ τὴν κτίσιν ἐν ἑαυτῷ περισφίγγοντα. γνωρίζει γὰρ τοῦτον τῶν Ἀγγέλων ἡ πολιτεία, τῇ τῆς ψυχῆς συγγενείᾳ τοῖς ἐκεῖ δήμοις ἐγγραφέντα. περιπτύσσεται δὲ καὶ ὁ τῶν ὁρωμένων χορὸς, ἔργοις ὁμολογῶν τῆς φύσεως τὴν συγγένειαν, καὶ τὰς χεῖρας αὐτοῦ γεωργῶν, τὸ γένος μαρτύρεται. Διὰ τοῦτο καὶ μηδέπω πλασθεὶς ἄνθρωπος, σκέψει τιμᾶται τοῦ πλάττοντος, καὶ βουλεύματι θείοις σεμνύνεται· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· πρεσβυτέραν τῆς πλάσεως τὴν τιμὴν ὑποδέχεται· οὔπω ὁ πηλὸς συναρμόζεται, καὶ ὁ θρόνος παρασκευάζεται. ποιήσωμεν ἄνθρωπον Θεοῦ μονογενοῦς οἰκεῖον· ποιήσωμεν τὸν Ἀδὰμ, ἀφ' οὗπέρ τις δεύτερος Ἀδὰμ τῷ δημιουργῷ συγκαθεσθήσεται· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. ἐνταῦθά μοι σύντεινον, ἀγαπητὲ, τὴν ἀκοήν. τῆς γὰρ συγγενοῦς φύσεως τὸν θησαυρὸν μεταλλεύομεν. ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. μία μὲν εἰκὼν ἡ πλαττομένη, οὐχ ἑνὸς δὲ προσώπου μνήμη, ἀλλὰ τριῶν ὑποστάσεων. κοινὸν γὰρ τῆς θεότητος δημιούργημα τὸ πλαττόμενον, τριάδα μὲν ἐμφαίνει τὴν πλάττουσαν, μίαν δὲ εἰκόνα τῆς τριάδος ὑπάρχουσαν. εἰ δὲ μία τῆς τριάδος ἡ εἰκὼν, μία τῶν τριῶν ὑποστάσεων ἡ φύσις. τὸ γὰρ τ' αὐτὸν τῆς οὐσίας ἡ τῆς εἰκόνος ἑνότης κηρύττει. πῶς γὰρ ἐν εἰκόνι μιᾷ διαφορὰ τῆς ἀρχετύπου φύσεως ὁραθήσεται; μία Θεότης, μίαν ἑαυτῆς εἰκόνα κατὰ τὴν φύσιν ἀνέστησε· διὰ τοῦτο τὸν εἰκόνος ἀξίᾳ τιμηθέντα, καὶ αὐτῇ κατασκευῇ τῆς πλάσεως κατεκόσμησε· τὰ

μὲν γὰρ ἄλλα τῶν ζώων, ἢ τῷ ὅλῳ σώματι τὴν γῆν ἐπισύρεται, οὐ βαδίζειν, ἀλλ' ἕρπειν κληρωθέντα νόμῳ τῆς φύσεως, ἢ πρὸς τὴν γῆν κατακύπτει, τὸ μηδένα κλῆρον ἔχειν ἐν οὐρανῷ διὰ τοῦ σχήματος μαρτυρούμενα. ἄνθρωπος δὲ μόνος ἐμφαίνει διὰ τῆς πλάσεως τὴν συγγένειαν. ὄρθιος πρὸς οὐρανὸν ἀνατείνεται, ποσὶ μὲν ψαύων τῆς γῆς, ὡς ἐν αὐτῇ τέως στρεφόμενος· τῷ δὲ προσώπῳ πρὸς οὐρανίους ἁψῖδας αἰρόμενος, ἤδη δὲ καὶ χεῖρας ἐκτείνων, τὴν ἐν οὐρανῷ πατρίδα φαντάζεται, τὴν τοῦ Παύλου, πρὸ τοῦ Παύλου φωνὴν ἀνακράζων· ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. ὡς ἐν θρόνῳ καθεζόμενος δείκνυσιν ἔργοις διὰ τῆς ἀξίας τὴν εἰκόνα τοῦ κτίσαντος, τοῖς πράγμασιν ὡς χρώμασι τὸν πεποιηκότα μιμούμενος· κτίζειν γὰρ καὶ οὗτος ἐπιχειρεῖ, καὶ δημιουργεῖν ἐπιθυμεῖ, καὶ οἶκον συμπήγνυται, καὶ σκάφος τεκταίνεται, καὶ κλίνας ἁρμόζεται, καὶ τράπεζαν πήγνυται, καὶ παίζων ἐν τῇ κτίσει, τὰς χεῖρας μιμεῖται τοῦ πλάστου. πάλιν ἄνθρωπος πατὴρ γίνεται, καὶ υἱὸς ἀποτίκτεται τοῖς θείοις μόνος τετιμημένος ἀξιώμασι, καὶ ὀνόμασι, καὶ τὸν ἄχρονον πατέρα χρόνῳ, καὶ κλήσει μιμεῖται, καὶ υἱὸς μετ' ὠδῖνας ἐπονομάζεται, τὸν ἀπαθῶς υἱὸν εἰκονίζων ἐν πάθεσι. πάλιν Βασιλεὺς ἀληθὴς, καὶ νομοθέτης Θεὸς, ᾧ μύριαι μὲν μυριάδες λειτουργοῦσιν Ἀγγέλων, μύριαι δὲ μυριάδες πειθαρχοῦσι προστάττοντι. δείκνυσι δὲ καὶ οὗτος ἐν ὑπηκόοις κράτος, καὶ συνέχει νόμοις στρατόπεδον, καὶ δικάζει τοῖς ἀνθρώπων πλημμελήμασιν ἄνθρωπος, καὶ λόγον ἐκφέρει, καὶ ἀποφάσει σεμνύνεται, ἐν τῇ τῶν πραγμάτων σκιᾷ τὸν ἀληθῆ βασιλέα σχηματιζόμενος. ἀλλ' ὁ μὲν πλοῦτος τοῦ πλάσαντος περιρρέων τὴν ἀνθρωπότητα, κυμαίνει ταῖς χερσίν· ἡμῖν δὲ νῦν συστέλλει τὸν λόγον ὁ καιρός. αὖθις δὲ τὸ χρέος ὑμῖν ἀποτίσομεν, συνεργούσης τῆς χάριτος ἐν Χριστῷ Ἰησοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ

# ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΔΑΜ.

ΟΙ'δα χρεώστιν ἐμαυτὸν τῆς κατὰ τὸν Ἀδὰμ διδασκαλίας χειρογραφήσας, καὶ τὸ χρέος ἐπιγινώσκων, τῷ μεγέθει τοῦ χρέους παράττομαι. ἀλλ' ἐπειδήπερ σφοδροὶ μὲν ὑμεῖς ἐρασταὶ μαθημάτων, καὶ τῆς ὑποσχέσεως ἀπαιτηταὶ δεινοὶ καθεστήκατε, ἡμεῖς δὲ πρὸς καταβολὴν ἀσθενεῖς, φέρε τὸν Δεσπότην Χριστὸν συνεργὸν γενέσθαι πρὸς τὴν ἀπόδοσιν αὐτοῦ ἱκετεύσωμεν. εἰ γὰρ χαίρει τὰ τῶν ἁμαρτιῶν ἔγγραφα σχίζων, πολλῷ πλέον εὐφραίνεται τὰ τῆς διδασκαλίας συγκαταβάλλων ὀφλήματα. Δεῦρο δὴ οὖν Ἀγαπητὲ, τῇ κατὰ τὸν Ἀδὰμ συγγραφῇ τὸν νοῦν ἀσχολήσωμεν· εὔκαιρος γὰρ ἡ περὶ τούτου κατὰ νηστείαν διήγησις· ἐπειδὴ καὶ ταύτην ἐν παραδείσῳ μετὰ τῶν ἄλλων φυτῶν φυλάττειν ὁ Ἀδὰμ ὑπεδέξατο· καὶ τῇ τῆς ἀπολαύσεως ἐξουσίᾳ καὶ ὁ τῆς νηστείας νόμος πρὸς αὐτὸν ὑπεγράφετο. ἀπὸ παντὸς γὰρ ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. πρώτη Βασιλέως διάταξις, τρυφὴν χαριζομένη, καὶ νηστείαν νομοθετοῦσα· ἔχε φησὶ τῶν ὅλων τὴν ἐξουσίαν, ἑνὸς ἀφίστασο μόνου· ἡ χεὶρ ἐκτεινέσθω πρὸς ἅπαντα, καὶ συστελλέσθω πρὸς ἕν. οὐ φθονήσας ἐκώλυσα τὴν ἀπόλαυσιν, οὐδὲ ἐμαυτῷ τὴν βρῶσιν ταμιευόμενος· ἐμοὶ γὰρ φύσις ἀνενδεὴς καὶ πρὸς ἅπαν πάθος ἀχείρωτος. ἀλλ' ἵνα ἐννοῶν τὸν κωλύσαντα, γνωρίσῃς τὸν χορηγήσαντα. καὶ ἡ τοῦ ἑνὸς ἀποστέρησις, γένηταί σοι τοῦ τὰ ὅλα δεδωκότος ὑπόμνησις· ἵνα μὴ πανταχόθεν ἡ τρυφὴ περιρρέουσα, ληστεύσῃ τὴν μνήμην τῆς χάριτος, ἵνα μὴ τῇ ἀπληστίᾳ τῆς βρώσεως ὀλισθήσῃς πρὸς ἄγνοιαν. Τὰ μὲν οὖν ἄλλα τῶν ζώων ἔθνη καὶ γένη διαπλάττων ὁ δημιουργὸς, νόμοις ἀκινήτοις ἔδησε φύσεως, καὶ προαίρεσις οὐκ ἔστιν αὐτοῖς ἐπ' ἄμφω τὴν ἐξουσίαν μετ-

εἴξουσα, οὐδὲ λογισμοῦ διάκρισις ζυγοστατοῦσα τὴν πρακτέων τὴν αἵρεσιν. ἀλλ' ὁμοῦ τε κελεύει φύσις, καὶ εἰς τὸ πράττειν ἐπείγεται, μὴ πολυπραγμονοῦντα τὸ πρόσταγμα. ἄνθρωπος δὲ λόγῳ τετίμηται, καὶ προαιρέσει κεκόσμηται, καὶ αὐτεξουσίῳ γνώμῃ ἀστράπτει, βουλήματι ἀδούλωτον ἔχων τὸ φρόνημα, αὐτοδέσποτον ἔχων τὴν πρόθεσιν, ἀβίαστον δεικνὺς τὴν πρακτέων τὴν αἵρεσιν. ἐντεῦθεν τὸ μὲν ἐκλέγεται, τὸ δὲ πρὸς τὸ δοκοῦν παραπέμπεται. καὶ τὸ μὲν ἀποστρέφεται, τῷ δὲ προστίθεται. καὶ βασιλεύων αὐτεξουσίῳ βουλεύματι, πλουτεῖ ταῖς τῆς γνώμης αἱρέσεσι. Διὰ τοῦτο διδοὺς νόμον Θεός, οὐκ ἀνάγκην πρὸς τὸ πράττειν προστίθησιν, ἀλλ' ἐντέλλεται τὰ δοκοῦντα, καὶ τῷ θέλειν τὴν πρᾶξιν ἀφίησι. κἂν ὁ προσταττόμενος παραδράμῃ τὸ πρόσταγμα, οὐδ' οὕτως μεταλλάττει τὴν φύσιν, οὐδὲ νόμοις ἀνάγκης δεσμεύει τὸν παρακούσαντα, οὐδὲ ἀφαιρεῖ βίᾳ τὴν χάριν, οὐδὲ παρασπᾷ τὸ δῶρον ἀνάγκῃ, οὐδὲ νοθεύει τὴν γνώμην παραβλέπων τὴν φύσιν· ἀλλ' ἐῶν τὸ τῶν λογισμῶν αὐτοδέσποτον, σωφρονίζει τιμωρίαις τὸν πλημμελήσαντα. τῷ δὲ κρατοῦντι λογισμῷ τὰς τοῦ σώματος ἡνίας ἐπέτρεψε, καὶ καθάπερ ἅρματι τῷ σώματι τὴν ψυχὴν ἡνίοχον ἐπιστήσας, τὸν δρόμον τῆς ἀρετῆς ἐλαύνειν παρακελεύεται. ἐνταῦθα τοίνυν, εἰ μὲν νήφων ὁ λογισμὸς ἀνέχῃ τὰς ἡνίας τοῦ σώματος, τρέχει δρόμον προξενοῦντα τὸν στέφανον. ἐπινυστάξας δὲ καθάπερ ἵπποις τοῖς πάθεσιν, ἔλαθεν ἑαυτὸν κατὰ κρημνῶν, καὶ δυσχωρείας φερόμενος, καὶ τελευταῖον καταβληθεὶς, ἕλκεται κεκονισμένος, αἰχμάλωτος ἅρματος οἰκείου γινόμενος, καὶ συρόμενος κέκραγε· ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἀπὸ τοῦ σώματος τοῦ θανάτου τούτου; προδοὺς γὰρ ῥᾳθυμίᾳ τὴν δεσποτείαν, γίνεται δοῦλος παθῶν· καὶ πάθεσιν ἀλογίστοις ὁ λογισμὸς παραχωρήσας τὸν θρόνον, δοῦλος ἠλέγχθη τούτων, ὑφ' ὧν ἐπάχθη δουλεύεσθαι. πρὸς τοίνυν τοῖς ἄλλοις, οἷς Θεὸς τιμήσας τὸν ἄνθρωπον φαίνεται, καὶ

λογισμοῦ αὐτεξουσίου δωρεᾷ ἀμφιέσας, δέδωκε νόμον αὐτῷ, γυμνάζων τὴν αἵρεσιν. καὶ καθάπερ ἐν δέλτῳ, τῷ φυτῷ διαγράψας τὴν ἐντολὴν, τὴν ἔνδον κρυπτομένην διάγνωσιν ἀνεκίνησεν, ὑπακοῆς καὶ παρακοῆς διαφορὰν ἐπὶ τοῦ ξύλου προσγράψας· ἐντεῦθεν γνωστὸν καλοῦ καὶ πονηροῦ τὸ ξύλον ἐπονομάζεται. ἀφ' ὧν γὰρ οὗτος ἐδιδάχθη, ἀπὸ τούτων τὸ ξύλον ἐκλήθη, καὶ ἡ τούτου διδασκαλία τοῦ φυτοῦ προσηγορία. ἐκεῖ γὰρ, ὡς ἔφην, τῷ Ἀδὰμ ἡ γνῶσις ἐμελετᾶτο, καὶ τὸ λογικὸν ἐγυμνάζετο. ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ. ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. ἔχε τὴν ἀπόλαυσιν ἄμετρον, στῆσον μόνον τὴν χεῖρα πρὸς ἄτοπον βρῶσιν ἐπιγινομένην. δεῖξον τῇ τοῦ νόμου φυλακῇ τὴν τοῦ νομοθέτου τιμήν. ἴδω τὴν γνώμην, ἵνα θαυμάσω τὸ φίλτρον. δίδωμί σοι χάριν, τὴν χεῖρα συστείλας. τὸν ὅλου Παραδείσου δοτῆρα, ἑνὸς ξύλου μόνον προτίμησον. σὲ δικαστὴν τῆς ἐμῆς ἐποιησάμην τιμῆς. ἀμείβου τὸν εὐεργέτην περιφρονήσει τῆς γεύσεως. διὰ τοῦτό σοι τὸν θάνατον φόβον τῷ νόμῳ προσήνεγκα, βοηθοῦντά σοι πρὸς τὴν παράνομον ὄρεξιν. κἂν ὁ λογισμὸς πρὸς αὐτὴν ὀλισθαίνῃ, τῷ φόβῳ στηρίζεται. νεῦρον γὰρ πρὸς ἐγκράτειαν ὁ τῆς παραβάσεως φόβος. σὺ δὲ μὴ φόβῳ τὴν τιμὴν, ἀλλὰ πόθῳ προσένεγκε. φυτὸν δεῖξον μεῖζον τοῦ Παραδείσου λαμπρότερον. δρέψομαί σου κἀγὼ τὴν ὑπακοὴν, ὡς καρπὸν ἀγαθὸν τῆς προαιρέσεως. προσένεγκέ μοι δῶρον τὴν γνώμην. ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ. πλατύνον τῆς ἐπιθυμίας τοὺς ὅρους· νικᾷ γάρ σου τὴν χρείαν, ἡ τῆς χορηγείας δαψίλεια. ἀντὶ πλούτου ταῖς ἐπιθυμίαις Παράδεισος· ἀλλ' ὅπου τὸν νόμον γεγραμμένον ὁρᾷς, ἐκεῖ τὸν πόθον ἀνάστελλε. παραιτοῦ ἀφὴν τῆς τροφῆς, ὡς ζωῆς δηλητήριον· ἀπόστρεφε τὸ βλέμμα χειραγωγοῦν πρὸς παράβασιν· φεῦγε τὴν θέαν, ἵν' ἔχῃς τὸ σώζεσθαι. Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ. ἀκόλουθος ὁ νόμος τῷ

χρόνῳ, πρόσφορα τῷ καιρῷ τὰ ἐντάλματα. ποῖον γὰρ ἂν νόμον
ἥρμοσε; τὸ μὴ φονεύσῃς; τίνα; καὶ διατί; μὴ κλέψῃς; τὰ
τίνος; καὶ μὴ μοιχεύσῃς; τὴν τίνος; ποῖον γὰρ ἂν αὐτὸν κάλ-
λιον βέλος ἐτόξευσεν ἕτερον, ἵνα τὴν βολὴν φυλαξάμενος, φύ-
λαξ γένηται τοῦ προστάγματος; τέως μὲν οὖν ὁ Ἀδὰμ ἀκινδύ-
νως ἀπήλαυε, καὶ ἦν ἀβλαβὴς ἡ τρυφὴ, ἄμικτος ὀφιώδους ἰοῦ.
ἀλλ' ἤγειρεν ἡ θέα πρὸς βασκανίαν τὸν διάβολον. καὶ πλη-
γεὶς οἷς ἔβλεπεν, ἀντιπλήττειν πειρᾶται τὸν πλήττοντα.
Εἶδε πάσης κτίσεως ἐξουσίαν ἀμέριστον· εἶδε θαλάττης δε-
σποτείαν ἐγχειρισθεῖσαν, ζώων ὑποκυπτούσας ἀγέλας, Πα-
ράδεισον οἰκητήριον, νύμφην χειρὶ πλαττομένην Θεοῦ. προῖ-
κα διδομένην τὴν κτίσιν, νυμφοστολοῦντα Θεόν· καὶ φθόνῳ
βαλλόμενος, ὄφιν ὁ θηριώδης ἐνδύεται. ὄφεως ἡνίοχος, μετὰ
τὴν τοῦ ἀέρος ἡνιοχείαν καθίσταται, πράξεσιν ἀτίμοις ἐπισυ-
ρόμενος. ὁ γὰρ προσκρούων Θεῷ, καὶ πρὸ τῆς τιμωρίας, τιμω-
ρίαν ἔχει τὴν ἀτιμίαν. οὕτω τοίνυν ὄφεως ὑποκριτὴς γεγονὼς,
προσάσεισι τοῖς ἐπιβουλευομένοις, τὸν κηδεμόνα μιμούμενος, καὶ
τοῦ Ἀδὰμ τέως ἀφεὶς τὸ τῆς συζυγίας εὐχείρωτον, ἕτερον πε-
ριεξέρχεται μέρος. ἀπὸ τῆς πλευρᾶς τοιχωρυχεῖν τὸν ἄνθρω-
πον ἄρχεται. τί ὅτι εἶπεν ὁ Θεὸς, οὐ μὴ φάγητε ἀπὸ τοῦ ξύλου
τοῦ ἐν τῷ Παραδείσῳ; ὑποκρίνεται φιλανθρωπίαν ὁ πρὸς φό-
νον δραμὼν, καὶ συγκρούειν ἐπιχειρεῖ τὸν οἰκέτην πρὸς τὸν Δε-
σπότην, συμπαθείας προσχήματι. εἶδον ὑμᾶς, φησὶν, ὧν
ἀγαθῶν περιουσίᾳ τυχεῖν οὐ τολμῶντας, καὶ συμπαθήσας ἐλή-
λυθα. εἶδον ἐν μέσῳ Παραδείσου λιμώττοντας, καὶ τὴν λύ-
πην μεριζόμενος ἦλθον. τί γὰρ, εἰπέ μοι, βουλόμενος ὁ Θεὸς
τὴν βρῶσιν ἐκώλυσε; τί δείξας τὴν θέαν, τῆς πείρας ἐστέ-
ρησε; τίνι ταμιεύεται τὴν ἀπόλαυσιν; τίνι φυλάττει τὸ δῶ-
ρον, ὑμῶν ἀφαιρούμενος; ἄμεινον ἦν, εἰ μὴ ἐδεδώκει, ἢ δεδω-
κὼς ἐκώλυσε. Παράδεισον ἔδωκε, καὶ τὴν βρῶσιν οὐ συνεχώρη-
σε; Ταύταις ταῖς φωναῖς τὴν ἀκοὴν ὑπεργάζεται, καὶ πολιορκεῖ

τὸν λόγον, καὶ κυμαίνει τὴν γνώμην. ἔπληξε τὴν ἀκοὴν, ἵνα βλάψῃ συνείδησιν. ἀλλ᾽ ἀποκρίνεται πρὸς τὸν ἐπίβουλον ἡ γυνὴ, καὶ διορθοῦσθαι τὸν ἐπιβουλεύοντα βούλεται. τί σαυτὴν, ὦ γύναι, μολύνεις ταῖς ἀποκρίσεσιν; ἐφώρασας τὸ ψεῦδος; φεῦγε τὸν τοῦ ψεύδους ἐργάτην, ἀποστρέφου τὸν τοῦ ψεύδους πατέρα, ἀντίστησον αὐτοῦ ταῖς μηχαναῖς τὴν σιγὴν, ἄπρακτον αὐτῷ ποίει τὸ βέλος, τὴν ἀκοὴν ἀποφράξασα. ἀπὸ παντὸς, φησί. ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγόμεθα, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, εἶπεν ὁ Θεὸς, οὐ φαγόμεθα ἀπ᾽ αὐτοῦ· ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε. ἐγύμνωσας σαυτὴν, ὦ γύναι, τῶν ὅπλων, Θεοῦ φωνὴν τῷ διαβόλῳ καταπιστεύσασα. τί οὖν ἐκεῖνος; οὐ θανάτῳ φησὶν ἀποθανεῖσθε. ὢ γνώμης μιαρᾶς, καὶ φωνῆς τολμηρᾶς. Θεὸς τοῖς παραβᾶσι θάνατον ἀποφαίνεται, καὶ διάβολος ζωὴν τοῖς παρανομοῦσιν ἀντεπαγγέλλεται· οὐ θανάτῳ ἀποθανεῖσθε. κλέπτει τοῦ θανάτου τὸν φόβον, ἵνα ληστεύσῃ τῆς ἐντολῆς τὴν ἀσφάλειαν. νοθεύει τὴν τιμωρίαν, ἵνα πρὸς παρανομίαν προτρέψηται. σαλεύσας τὸν φόβον, γυμνώσας τῆς τιμωρίας, σαλπίζει τὸν κατὰ Θεοῦ πόλεμον. ᾔδει γὰρ ὁ Θεὸς ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. φθόνῳ, φησὶν, ὑμᾶς, οὐ πόθῳ τοῦ δένδρου κεκώλυκεν. ἀπεστέρησε βρώσεως, ἵνα κωλύσῃ θεότητος· τί οὖν φεύγεις, ὦ γύναι, φυτὸν, δι᾽ οὗ μιμήσῃ Θεόν; τί παραιτεῖσθε βρῶσιν, δι᾽ ἣν ἴσοι τῷ προστάξαντι γίνεσθε; ἀληθῶς ἀνθρωποκτόνος ἦν ἀπ᾽ ἀρχῆς· ἐπειδὴ γὰρ δυσὶ τούτοις τοὺς περὶ τὸν Ἀδὰμ ὁρῶν ὠχυρωμένους, θανάτου φόβῳ, καὶ ζωῆς ἐπαγγέλμασιν, οἷς αὐτοὺς ὁ Θεὸς προλαβὼν ἠσφαλίσατο, μιμεῖται τὰ αὐτὰ καὶ αὐτός· καὶ τῷ μὲν θανάτῳ τὸ, οὐκ ἀποθανεῖσθε, προβάλλεται, ἀντὶ δὲ τοῦ ξύλου τῆς ζωῆς, ἰσοθέοις ἐλπίσιν ἐπτέρωσεν, ἵνα λύσας τὸν φόβον, καὶ ταῖς ἐλπίσι φαντάσας, εὐκόλως συλλύσῃ τὸ πρόσταγ-

μα, ἐργαστήριον παραβάσεως τὸν Παράδεισον ἐργαζόμενος. Ἔσεσθε ὡς Θεοί. Ταύτην μοι παρατήρει τῆς λέξεως τὴν ἐπιβουλὴν, ἀδελφὲ, πάσης ἀσεβείας μητέρα καὶ ῥίζαν ὑπάρχουσαν. ἑλληνισμὸς γὰρ δι' αὐτῆς ἐβλάστησε, καὶ αἱ τῆς ἀσεβείας αἱρέσεις ἐντεῦθεν ἐτέχθησαν. τοῦτο γέγονεν αὐτῷ πρωτότοκον κατὰ τῆς ἀληθείας μηχάνημα, τὸ πεῖσαι δυνηθῆναι τοὺς ἀνθρώπους γενητὸν τὸ Θεῖον νομίζεσθαι. τοῦτο πρὸς τὴν τῶν εἰδώλων ταπείνωσιν τὴν τοῦ Θεοῦ κλῆσιν κατήνεγκε. Διὰ ταύτην τὴν φωνὴν τὴν κτίσιν εἶναι Θεὸν ἐφαντάσθησαν. διὰ ταύτην καὶ Ἄρειος τὴν φωνὴν κτίσμα τὸν Υἱὸν δογματίζειν ἐτόλμησε. διὰ ταύτην Εὐνόμιος τὸν Υἱὸν ἐξ οὐκ ὄντων ἀπεφήνατο. διὰ ταύτην Ἀπολλινάριος τὸν Θεὸν ἄνθρωπον γενέσθαι νενόμικεν. ἄνελε τὸ, ἔσεσθε ὡς Θεοὶ, καὶ πρόῤῥιζος ἑλληνισμὸς ἀναρπάζεται. ἄνελε κτίσμα τὸ Θεῖον νομίζεσθαι, καὶ πᾶσα πέπτωκεν αἵρεσις, ὑφ' ὧν πολεμοῦσα. ἐκεῖνον ἔχουσιν ἐργάτην οἱ γένεσιν καὶ σύνθεσιν καὶ πάθος τῷ Θείῳ προσάπτοντες· ἔσεσθε ὡς Θεοί· φαντάζει θεότητα, ἵνα καταδικάσῃ θνητότητι, καὶ εἶπεν ἃ ἤθελεν· εἶδε γὰρ, φησιν, ἡ γυνὴ, ὅτι ὡραῖον τὸ ξύλον εἰς βρῶσιν· καίτοι καὶ πρότερον ἔβλεπεν, ἀλλ' ἐκαθάρευε τοῦ πάθους τότε τὸ βλέμμα. ἀδούλωτον εἶχε τότε τὸν λογισμὸν καθαρότητι. τῆς δὲ ψυχῆς πεδηθείσης, ἐκοινώνει τοῦ πάθους ἡ θέα. οἷα γὰρ τῆς ψυχῆς τὰ βουλεύματα, τοιαῦτα τοῦ σώματος τὰ κινήματα. εἶδεν ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν. ὧν οὐκ εἶχε τὴν πεῖραν, τούτων θαυμάζει τὴν γεῦσιν. καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς. Τί ποιεῖς ὦ γύναι; θάλπειν ἐτάχθης, καὶ ἐπιβουλεύειν ἐπήχθης; κοινωνὸς τῆς ζωῆς ἐπλάσθης, καὶ θανάτου πρόξενος ἀπηλέγχθης; μέλος ἐλήφθης, καὶ ὡς βέλος ἐπέμφθης; τί οὖν τὸ τέλος; καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔῤῥαψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. ἤδη τὸν καρπὸν τῆς ἀπάτης ἐξήνεγκαν. ἔῤῥαψαν φύλλα συκῆς. αὐτοὶ γυμνωθέντες, γυμνοῦσι

τὰ δένδρα. περὶ φυτὸν πλημμελήσαντες, παρὰ φυτοῦ τὴν σκέ-
πην δανείζονται· ἐν τούτοις μὲν οὖν οἱ τοῦ γένους πατέρες· ἐγέλα
δὲ ἄρα ὁ Διάβολος, αἰσχύνῃ μολύνας τοῦ Θεοῦ τὴν εἰκόνα.
Τοιαῦτα γὰρ τοῦ Διαβόλου τὰ μηχανήματα. μεθ' ἡδονῆς τιτρώ-
σκει, καὶ μετ' αἰσχύνης ἐλέγχει· ὠθεῖ πρὸς πτῶσιν, καὶ στηλι-
τεύει πεσόντας. οἰκτείρας δὲ τὴν ἀπάτην Θεὸς, πρὸς διόρ-
θωσιν ἔτρεχεν. ἔτρεχε δὲ, οὐ τόπον ἀμείβων, ἀλλὰ διά τινος
φοβερᾶς ὄψεως τὴν παρουσίαν πιστούμενος. Οἱ δὲ τῷ φόβῳ
πληγέντες, ἑαυτοὺς κατηγόρους, καὶ μάρτυρας τῆς παραβάσεως
ἔχοντες, φυγὴν ἑαυτῶν καταψηφίζονται. φοβήσας δὲ τῷ τοῦ πε-
ριπάτου κτύπῳ Θεὸς, τῇ κλήσει φιλανθρωπεύεται, λέγων·
Ἀδὰμ, Ἀδὰμ, ποῦ εἶ; ὢ φιλανθρωπίας δεσπότου· ὡς ἀ-
γνοῶν ζητεῖ, ὃν αὐτὸς ἐφυγάδευσε, καὶ ὡς οὐχ ὁρῶν καλεῖ ὁ
τοῖς πᾶσι παρών. Ἀδὰμ, Ἀδὰμ, ποῦ εἶ; ποῦ μοι τῶν ἐμῶν
χειρῶν τὸ πλαστούργημα; ποῦ τῆς ἐμῆς ἀξίας ὁ ἔμψυχος ἀν-
δριάς; ποῦ τῆς ἐμῆς φυτουργίας ὁ φύλαξ; Ἀδὰμ, Ἀδὰμ, ποῦ
εἶ; θρηνώδης ἐκ φιλοστοργίας ἡ κλῆσις. ποῦ εἶ; ποῦ σοι τῆς
ἐμῆς ὁμιλίας ἡ παῤῥησία; ποῦ σοι τῆς πρὸς ἐμὲ συνηθείας τὸ
θάρσος; ποῦ σοι τὸ τῆς ἀξίας ὕψος; ἀντὶ φίλου δραπέτης; φά-
νηθι καλοῦντι· δεῖξον τῷ ἰατρῷ τὸ τῆς παραβάσεως ἕλκος.
δεῖξον τὴν πληγὴν τῆς γυμνώσεως. ἔχω γὰρ φάρμακα, τοῦ
τραύματος ἰσχυρότερα· ἔχω βοηθήματα, δι' ὧν θεραπεύσω
τὰ τοῦ ὄφεως δήγματα. τούτοις θαρσήσας τοῖς ῥήμασι, προκύ-
πτει κρυπτόμενος, καὶ τολμᾷ τὴν ἀπόκρισιν, τοιαῦτα καθ'
ἑαυτὸν βουλευσάμενος· ὅλως ἀξιοῖ με κλήσεως ὁ Θεὸς, καὶ φω-
νῇ μεταπέμπεται, καὶ οὐ σκηπτὸν ἐπαφίησιν, οὐκ ἐπάγει θά-
νατον, ὃν καὶ προηπείλησεν. οὐκοῦν ἐπακούσω βοῶντος, μὴ
προακούσας νομοθετοῦντος. τὴν φωνήν σου ἤκουσα περιπατοῦντος,
καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. οὐ χρεία μοι ῥημά-
των κατηγορούντων, αὐτοπρόσωπον φέρω τῆς ἁμαρτίας ἐν τῇ
γυμνώσει κατήγορον. Τί οὖν ὁ Θεός; τίς ἀνήγγειλέ σοι ὅτι
γυ-

γυμνὸς εἶ; εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; ὡς δικαστὴς ἦλθε, καὶ ὡς ἰατρὸς ἐρωτᾷ, καὶ δικάζειν ἐλθὼν, ὡς φίλῳ προσονειδίζει· αὗται λέγων, τῶν παρ' ἐμοῦ σοι δωρεῶν αἱ ἀμοιβαί; ταῦτα τῶν παρεσχημένων τὰ χαριστήρια; οὗτος μὲν οὖν ἀπολογίας ἀπορεῖ, καὶ πρὸς τὴν γυναῖκα μεταφέρει τὸ τόλμημα, τὴν τοῦ βίου κοινωνίαν τοῦ ἐγκλήματος ποιησάμενος αἴτιον. ἡ δὲ πρὸς τὸν ὄφιν μεταφέρει τὰ πταίσματα. Θεὸς δὲ σωφρονίζων τοὺς ἀπατηθέντας, κολάζει τὸν ἀπατήσαντα. Εἶπε γὰρ κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν τῆς γῆς· ἡ μὲν ἀπόφασις κατὰ τοῦ φαινομένου ὄφεως φέρεται, ἡ δὲ τῆς ἀποφάσεως κόλασις κατὰ τοῦ ὑπεναντίου ἐκπέμπεται· δι' οὗ γὰρ ἠπάτησε, διὰ τούτου κολάζεται. τῇ δὲ γυναικὶ εἶπεν· ἐν λύπαις τέξῃ τέκνα· ἡ τοῦ τῆς ἐντολῆς καρποῦ μὴ φεισαμένη, περὶ τοὺς ἑαυτῆς ἀνιάσῃ καρπούς. τῷ δὲ Ἀδὰμ εἶπεν· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· τρυφῆς ἐφάνης ἀνάξιος, τοῖς περὶ γῆν ἱδρῶσιν ὑπάρξεις κατάρατος, καὶ πόνοις μετρήσας τῆς ζωῆς σου τὸν χρόνον, τάφον εὑρήσεις τοῦ βίου διάδοχον. αὕτη τῆς κατὰ τῶν προγόνων καταδίκης ἀπόφασις. σὺ δὲ μὴ ῥίψῃς τὰς τῆς σωτηρίας ἐλπίδας· οὐ γὰρ ἔστησεν ὁ Θεὸς ἄχρι τῆς κατάρας τὰ πράγματα· οὐκ ἀφῆκε χρηστῆς ἐλπίδος ὁ Θεὸς τὴν φύσιν χηρεύσασαν. Χριστοῦ γὰρ παρουσία τῆς τοῦ πρωτοπλάστου λαιμαργίας ἰσχυροτέρα· διὰ τῆς τῶν ἀνθρώπων διὰ παρανόμου βρώσεως ἀπατηθείσης, τὴν τῶν ἀνθρώπων ἀπαρχὴν ὁ μονογενὴς ἐνεδύσατο, καὶ τὸν δεύτερον Ἀδὰμ περιβάλλεται, φαρμάκοις ἐναντίοις θεραπεύων τὰ τραύματα· ἀντέστησε Παραδείσῳ τὴν ἔρημον, τῇ τρυφῇ, τὴν νηστείαν, τῇ διὰ ὄφεως ἀπάτῃ, τὸ δι' ἀνθρώπου μετὰ τοῦ Διαβόλου τρόπαιον. ἀντὶ τῆς Εὔας, Παρθένον χωρὶς πείρας ὠδίνουσαν, καὶ τόκον παρθενικὸν λύπης ἀρχαίας ἐλεύθερον, καὶ κόρην ἀνύμφευτον, ἀθάνατον νυμφίον γεννήσασαν. οὕτως ὁ δεύτερος Ἀδὰμ ἀπε-

τύχ-

τέχθη, ἀντὶ Παραδείσου πρὸς Οὐρανὸν ἀνηνέχθη· ἐκεῖθεν τοξεύει τὸν ὄφιν, παρὰ τοῦ Πατρὸς ἐπακούων. κάθου ἐκ δεξιῶν μου, ἕως ἂν τεθῶσιν οἱ ἐχθροί σου ὑποπόδιον τῶν ποδῶν σου· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΝΩΕ.

Ὅσος ἔνεστι Θεῷ πρὸς μὲν δικαιοσύνην πόθος, πρὸς δὲ ἀδικίαν ἀπέχθεια, κηρύττει περιφανῶς ἡ κατὰ τὸν Νῶε διήγησις. ὁ μὲν γὰρ ὅτε μόνος ἐν ναυαγούσῃ τῇ κτίσει περιεσώζετο, συνέμπορον εἰς σωτηρίαν τὴν δικαιοσύνην εὑράμενος, τηνικάδε πολυάνθρωποι δῆμοι πελάγεσιν ἀφειδῶς κατεκλύζοντο, ταῖς τῆς ἀδικίας κολάσεσι βυθιζόμενοι. καί μοι δοκεῖ τῶν μελλόντων κριτηρίων, καὶ τῆς ἐσχάτης καὶ φρικώδους ἡμέρας εἰς τὴν πίστιν καὶ μνήμην ἀγαγεῖν ὁ Θεὸς τοὺς ἀνθρώπους βουλόμενος, τὸν πάνδημον ἐκεῖνον εἰργάσατο κίνδυνον, ἵν' ἡ ὄψις μαρτυροῦσα τοῖς πάθεσι, φυλάττῃ τὸν φόβον εἰς σωτηρίας ἐφόδιον· ἵνα τοσαύτης κολάσεως τὴν ἀσέβειαν μητέρα γινώσκοντες ἄνθρωποι, δέει τῆς τιμωρίας τὴν φυγὴν πραγματεύωνται. εἰ γὰρ ὁ τῶν ἀγώνων τέως καιρὸς, καὶ τοῦ βίου τὸ στάδιον, τοσοῦτον τοῖς πταίουσιν ἤνεγκε κίνδυνον, πόσην, ἢ ποίαν ἡ τῶν βεβιωμένων ἀντίδοσις, ἑκάστῳ προξενήσει τὴν κόλασιν; ὅταν γὰρ ὑπερβλήσῃ τῆς πονηρίας τὸ μέτρον, τότε πολλάκις καὶ τῆς τιμωρίας ὁ κριτὴς ἐντεῦθεν ἀπάρχεται· οὐκ ἀπανθρωπίᾳ κινούμενος ὁ φιλάνθρωπος, ἀλλὰ κακίαν αὐξηθεῖσαν ἀναστέλλειν βουλόμενος. ἁπάντων τοιγαροῦν ἀνθρώπων κατ' ἐκεῖνο καιροῦ πρὸς ἀσέβειαν ἐκνευσάντων, καὶ μίαν συμφωνίαν εἰς τὴν κατὰ τοῦ πεποιηκότος ἀναλαβόντων παράταξιν, οὐκ ἄλλη τις ἄτοπος, καὶ ἔκφυλος ἀπελέλειπτο τόλμα· ἀλλὰ πᾶσαι μὲν ἀνετέμνοντο πλεονεξίας ὁδοὶ, καὶ πονηρίας αὐτῆς

κεκαι-

κεκαινούργητο τρόπος. θρασύτητα δὲ, καὶ ὠμότητα καθάπερ ὅπλα τῇ ψυχῇ περιθέμενοι, τούτοις ὀργάνοις κατ' ἀλλήλων ἐκέχρηντο. ποῖον μὲν γὰρ ἀδικίας εἶδος; ποῖος δέ τις ἐν αὐτοῖς ἀκολασίας οὐκ ἐπολιτεύετο τρόπος; ποία παρανομία παρὰ τούτοις οὐκ ἐνομίζετο νόμος; τῇ τῶν σωμάτων πλουτοῦντες δυνάμει, τὸν τῆς ἰσχύος δοτῆρα δι' ἀπονοίας καθύβριζον. τότε φθορὰ τῆς γῆς, καὶ λοιμὸς ἔμψυχος, κατακλυσμοῦ πρὸς κάθαρσιν μόνον δεόμενος· ἅπαντας μιμητὰς ἀληθῶς εἶχε καὶ κληρονόμους ὁ **Κάϊν**. οὐδὲ ὁ τρόμος ἐκείνου τῷ σώματι περικείμενος τοὺς ὁρῶντας κατέστελλεν, ἀλλ' ἡ τῆς γνώμης ἀπόνοια καὶ τοῦ πάθους τὸν φόβον παρέβλεπεν. οὐδεὶς ἐν αὐτοῖς τὸν φιλόθεον Ἄβελ ἐζήλωσεν, ἀλλὰ νεκρὰν ἡγοῦντο τὴν ἀρετὴν, τὴν καὶ ἐν νεκρῷ φθεγγομένην τῷ σώματι. εἰδέ τι καὶ λείψανον ἀρετῆς ἐν αὐτοῖς κατελέλειπτο, καὶ τοῦτο ταχέως δι' ἐπιμιξίας ἐσβέννυτο, καὶ τῶν ἀτόπων ἡ μίμησις ἅπαν χρηστότητος ἴχνος ἀπήλειφε. τοιούτῳ δὲ φθοροποιῷ λοιμῷ κατεχομένης τῆς κτίσεως, καὶ λύθρῳ ψυχῶν καὶ σαρκῶν μολυνομένης, ἐδυσφόρουν μὲν τῶν Ἀγγέλων αἱ τάξεις, καὶ τῆς ἀνομίας τὴν πυρκαϊὰν ἐπωδύροντο. ἤσχαλλον δὲ κολάσεως βραδυνούσης, καὶ τὰς τῆς κτίσεως δουλείας ἀναχαιτίζειν ἐβούλοντο, κατὰ τὴν Παύλου φωνήν. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα. ὡς οὖν ἀνίατον ἦν τὸ δεινὸν, καὶ ἡ νόσος ηὐξάνετο, καὶ τὰ τῆς ἀσεβείας προέκοπτε, κινεῖται πρὸς κάθαρσιν τῶν πραττομένων τὸ θεῖον, καὶ προκηρύττει κατακλυσμὸν, τὰ ῥεύματα τῆς ἀσεβείας στῆσαι τῷ φόβῳ βουλόμενος. καὶ προορίζει τὸν χρόνον, καὶ μετανοίας πήγνυσι μέτρα, καὶ προλαμβάνει τὴν κόλασιν, ἰδεῖν τοῦ τρόπου τὴν μεταβολὴν μηχανώμενος. καὶ τί φησιν; οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. οὗτος τῆς τιμωρίας ὁ φόβος· ἐπάγει καὶ τῆς μετανοίας τὸν ὅρον, εἰπών· ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν. δίδωμι φησὶ τῆς μετανοίας τὸν χρόνον, ἵνα ἴδω τὸν τρόπον μεταβαλλόμενον, καὶ

συμπλατύνω τῇ προλαβούσῃ κακίᾳ τῆς ἐμῆς φιλανθρωπίας τὰ διαστήματα. ὅσῳ τὸ πάθος ἐσκλήρωται, τοσούτῳ τῆς μετανοίας φέρω τὸ φάρμακον· νόσημα πολυχρόνιον, πολυχρόνιος περιοδευέτω μετάνοια· ἐπέχω τοῦ κατακλυσμοῦ τὰς ὠδῖνας· προθεσμίᾳ τὴν κόλασιν ἀναβάλλομαι· ἑκούσιον γὰρ θεραπείαν ἐκδέχομαι. τοιαῦτα μὲν ἡ φιλάνθρωπος χάρις τῇ τῆς τιμωρίας μεταβολῇ τὴν μετάνοιαν ἕλκουσα· τὸ δὲ πάθος φιλανθρωπίας οὐκ ἔχρῃζεν. ἀνήλωτο οὖν ἅπας τῆς μετανοίας ὁ χρόνος, ἡ δὲ τῆς ἀσεβείας οὐκ ἐπαύετο νόσος. τοῖς μὲν οὖν Νινευΐταις ὕστερον τριήμερον μετανοίας διάστημα, γέγονε πρὸς σωτηρίαν ἐφόδιον, καὶ τὸ στενὸν τῆς προθεσμίας τῇ μεταβολῇ τοῦ τρόπου νικήσαντες, προφητικὴν ἀπόφασιν ἔδησαν, θείαν ἀπειλὴν τοῖς δάκρυσιν ἡμερώσαντες. οὗτοι δὲ τοσοῦτον πλῆθος τῶν εἰκῇ ῥεόντων ἐτῶν παρέβλεπον, αὐτὸν τῆς μετανοίας τὸν χρόνον συνεργὸν εἰς ἀσέβειαν ἐργαζόμενοι, τὴν τῆς πονηρίας ὑπέρθεσιν, τιμωρίας ὑπέρτασιν ἔχοντες; καὶ τότε δὴ ἀναλαμβάνει τὸν Νῶε, καθάπερ χρυσὸν ἐν βορβόρῳ θεωρήσας ἀστράπτοντα, καὶ θησαυρὸν ἀρετῶν ἐν δυσώδεσι τάφοις κρυπτόμενον· κιβωτὸν πηγνύναι παρακελεύεται, καὶ τῶν ἀσεβούντων ὁρώντων, κατακλυσμοῦ σκευάζει ἐφόδια. ἦν δ' ἄρα καὶ τοῦτο θεῖον ὑπὲρ ἀνθρώπων μηχάνημα πρὸς μετάνοιαν ἐκκαλούμενον. ἦν γὰρ Θεῷ ῥᾴδιον καὶ ξύλου χωρὶς διασῶσαι τὸν Νῶε· ἀλλὰ καθίζει πρῶτον αὐτὸν δημιουργὸν κιβωτοῦ πολυχρόνιον, ἵνα κἂν ἡ θέα φοβήσασα τοὺς ὁρῶντας, πρὸς μετάνοιαν ἐπισπάσηται· ἐγίνετο δὲ τούτοις χλεύης ὑπόθεσις ἡ θέα, καὶ γέλωτος πρόφασις ὁ φόβος ηὑρίσκετο. ἐχλεύαζον κακοπαθοῦντα τὸν Νῶε, καὶ τοῖς θείοις ὑπηρετοῦντα προστάγμασι βλέποντες ἔσκωπτον. καί που τινὲς, καὶ τοιαῦτα διασύροντες, πρὸς ἀλλήλους ἐβόων· οὗτος ὁ τοῦ κατακλυσμοῦ Προφήτης ἡμῖν, καὶ τοῦ κατακλυσμοῦ παρασκευάζεται. καὶ ξύλοις ἀμύνασθαι τὸν κίνδυνον κατεπείγεται· καὶ κατακλυσμὸν ὑδάτων ἐλπίζων, κατακλυσμῷ συμφορῶν περιβέβληται;

καὶ

καὶ τοῖς ἱδρῶσι περικλύζεται, μαστιγούμενος καμάτῳ τὰ μέλη· καὶ προαπολαύει τῶν κακῶν ἐπαληθεύων τοῖς πάθεσιν, ἀνήνυτα μοχθῶν, καὶ κάμνων ἀπέραντα. πρόσθες ὦ πρεσβῦτα τὸ τάχος, μὴ φθάσῃ σου τὴν τέχνην ὁ κατακλυσμὸς ἐπειγόμενος. ἐν οἷς ἔβλεπον τῶν θηρίων τὰ διάφορα γένη πρὸς τὸν Νῶε συντρέχοντα, καὶ ὁ θηριώδης αὐτῶν οὐκ ἐπεστρέφετο τρόπος. πτηνῶν ἀγέλας ὡς πρός τινα κοινὸν ξενοδόχον καθιπταμένας, καὶ τὸ θαῦμα παρέβλεπον. ἀλλὰ πάντα μὲν ταραχῇ, καὶ φόβῳ συνείχετο, καὶ ἡ τοῦ κατακλυσμοῦ λοιπὸν ἀπόφασις ἔτρεχε. Θεὸς δὲ καὶ παρ' αὐτὰς τῶν κινδύνων τὰς ὥρας, ἑτέρας φιλανθρωπίας προβάλλεται συνθήκας, καὶ πάλιν μικρὸν ὑπερτίθεται λέγων· ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω τὸν κατακλυσμόν· ἄπληστον γὰρ πρὸς φιλανθρωπίαν τὸ θεῖον. καὶ πόσας προφάσεις ἐπινοεῖ σωτηρίας, εἴπου τὸν σώζεσθαι βουλόμενον εὕρῃ; ἔτι γὰρ ἡμερῶν ἑπτά· ἀρκεῖ μοι φησὶ καὶ βραχὺς χρόνος πρὸς ἁμαρτωλῶν σωτηρίαν· νεύσωσι μόνον πρὸς μετάγνωσιν, καὶ λύω τὴν ἀπόφασιν. ἀπαλείφω τὴν ἀπειλήν, εἰ τὴν γνώμην μετανοοῦσαν θεάσωμαι. ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω τὸν κατακλυσμόν. ἀνάλυσαι τὴν πλατεῖαν ὑπέρθεσιν, φεῖσαι κἂν τῆς στενῆς προθεσμίας, ἵνα φύγῃς τὸν κίνδυνον. τοσαύτη, καὶ ἐν τοσούτῳ καὶ δικαίῳ θυμῷ, φιλανθρωπίας ὑπερβολή. ὡς δὲ ἅπασα μὲν θεραπείας ἠλέγχετο τέχνη, ἡ δὲ τῆς γνώμης σηπεδὼν ἐπεβόσκετο, ἐπαφίει λοιπὸν τὰς τιμωρίας ὁ Θεὸς, ξένοις πελάγεσι, τὰ ξένα πελαγίζων νοσήματα. ἄνωθεν οὐρανὸς χειμάῤῥους ἠκόντιζε, κάτωθεν ἤπειρος ἀβύσσους ἀνέπεμπε, καὶ πρὸς τὴν ὕδατος φύσιν ἡ κτίσις ἐστοιχειοῦτο. οὐκ ἔτι ξηρᾶς, καὶ θαλάττης διάκρισις. ἐν ἑνὶ ῥείθρῳ τὰ πάντα συνείχετο· οὐκέτι πηγαὶ, καὶ λίμναι, καὶ κρῆναι, σὺν χάει τι ῥέουσαι, ἀλλ' ἀγελαίοις πελάγεσι κατεποντίζοντο τὰ σύμπαντα. οὐ βλαστημάτων κάλλη, οὐ δένδρων ἄνθη, οὐ πόλεις, οὐ πεδιάδες, οὐχ αἱ τῶν ὀρέων κορυφαὶ, ἀλλὰ πάντα τοῖς κύμασιν

ἐναυ-

ἐναυάγει, κοινῷ καλυπτόμενα τάφῳ· οἱ πολυάνθρωποι δῆμοι σὺν τῇ κακίᾳ τῆς γνώμης ἐκυβίστων ἐν μνήμασιν. ἣν γὰρ ζῶντες ἐμόλυναν, ἀποθνήσκειν ὑπ' αὐτῆς οὐκ ἠξιοῦντο. οὗτοι μὲν οὖν τῇ τοῦ κατακλυσμοῦ περιβληθέντες σαγήνῃ, ἐν ταῖς τῶν κυμάτων πληγαῖς σφενδονούμενοι πρὸς ἐλεεινὸν θανάτου τρόπον ὑπεφέροντο, ταῖς ἀλλήλων συμφοραῖς τιμωρούμενοι. οἱ μὲν ἀθρόον χωσθέντες τοῖς ὕδασι, νεκροὶ ταχεῖς ἀπεδείκνυντο. οἱ δὲ ἐμπνέοντες, αἰσθήσει τοῦ πάθους μακρὸν ὑπεδέχοντο θάνατον. ἄλλοι δὲ καὶ πρὸς βραχὺ προσκαρτερήσαντες, μακροτέραν τοῦ θανάτου τὴν τιμωρίαν ὑπέμειναν. πόσοι πρὸς τὰς τῶν ὀρέων κορυφὰς ἀναδραμόντες ἀκαίρῳ φυγῇ τὸν φόβον ἐξήλεγξαν; πόσοι πρὸς τὰς τῶν φυτῶν ἀκρωρείας ἀνέρποντες, κατελαμβάνοντο, καθάπερ πτερῷ τῷ τάχει τοῦ ῥεύματος; ἐπέκειτο διώκων ὁ κατακλυσμὸς προσαναβαίνων τοῖς ὕψεσι. κατόπιν ἔφερε τὰ σύμπαντα, ἕως ἅπαντας δήσας, ὁ αὐτὸς θάνατος ὁμοῦ, καὶ τάφος ἐγίνετο. ἑρπετὰ τοῖς ἀνθρώποις νεκρωθέντα συνεπεπόλαζε. ἄλογος φύσις μετὰ θάνατον τοῖς λογικοῖς συνείχετο. κύνες ἀνδράσιν ἑνὶ καλυπτόμενοι κύματι, καὶ πλησίον ἀλλήλων λοιπὸν περιδινούμενοι, κοινῇ τὸ ζῆν ἀπετίθεντο. Νῶε δὲ μόνος ἐν πανδήμῳ θανάτῳ, ζωὴν ἐκαρποῦτο παράδοξον, καθάπερ τις κυβερνήτης ἐν μέσῳ τῷ σκάφει τοὺς τῆς πίστεως μεταχειριζόμενος οἴακας, καὶ τῷ κατακλυσμῷ πάντοθεν πολιορκούμενος, ἀνάλωτος ἔμενεν ὁ τῶν τῆς κτίσεως λειψάνων ταμείας, ὁ φύλαξ τῶν τοῦ Θεοῦ δημιουργημάτων ταχθείς, ὁ καθάπερ ἐν ἀκροπόλει τῇ κιβωτῷ σταδιεύσας, ὁ τῆς κτίσεως ναυαγούσης μόνος γαληνῶς διαπλεύσας, ὁ πίστει, καὶ ξύλῳ τὸν κατακλυσμὸν βιασάμενος. ὢ παραδόξων πραγμάτων· πῶς ἡ κιβωτὸς οὐ προσερράγη τοῖς ὄρεσιν; ἐπεφέρετό φησιν ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος, ἐποχουμένη τοῖς κύμασιν, οὐκ ἀνατέμνουσα τῶν κυμάτων τὰ βάθη, ἀλλ' ἐπὶ τῶν κυμάτων ὡς ἐπ' ἐδάφους ἱππαζομένη, βάσιν τὸ πέλαγος ἔχουσα,

σα· καὶ καθάπερ λεωφόρος ὁ κατακλυσμὸς ὑπεστρώννυτο. τοῦτο πίστεως ὄχημα. τοῦτο φύσεως φυλακτήριον, ὦ κιβωτὸς παραδείσου βεβαιοτέρα· ἐκεῖ μὲν γὰρ ὄφις συνέπλεεν, ἐκεῖ ξύλον θανάτου γέγονεν ὄργανον· ἐνταῦθα ξύλον σωτηρίας πηδάλιον· ἐκεῖ τὸν Ἀδὰμ παραβάτην ἐδίδασκεν· ἐνταῦθα πρόσφυξ τοῦ Νῶε προήρχεται. ὦ πρόγονοι τοῦ γένους, τοῦ Ἀδὰμ τιμιώτερε· ὦ τῆς θείας εἰκόνος βεβαιότερε φύλαξ· ὦ τέλος ὁμοῦ καὶ ἀρχὴ τῇ φύσει γενόμενος· ὦ μεθόριον ἀγαθὸν ἀνθρωπότητος· ὦ τῆς θείας ἀγαθότητος ἐγγυητὴς φανεὶς ἀσφαλέστερος· ὦ στήσας κατάραν κατὰ τοῦ γένους ὁδεύουσαν· ὦ πέρας ἀσεβείας, καὶ ῥίζα γενόμενος πίστεως· ὦ τοὺς τῆς εἰκόνος χαρακτῆρας ἀπαλειφθέντας ἀνακτισάμενε· ὦ τῆς τοῦ Θεοῦ δημιουργίας τηρήσας τὰ σπέρματα· ὦ τὰς ἀφορμὰς τῆς φύσεως ἐν σαυτῷ κατασχών· ὦ σβεννύμενον ἀνάψας τὸν σπινθῆρα τῆς φύσεως· ὦ κατακλυσμοῦ βιαιότερε. ὦ πίστεως βεβαιότατε φύλαξ. σὺ γὰρ κατακλυσθείσης ἠπείρου, τὸ πέλαγος ὡς ἤπειρον ἔκτισας, ἔστησας διὰ θυσίαν κατακλυσμοῦ δευτέρου τὸν φόβον, ἐδέξω παρὰ Θεοῦ τῆς ὕστερον ἀσφαλείας ἐνέχυρα, ἔφθασας φθοροποιοὺ προσδοκίας τὴν κτίσιν, ἔδειξας Θεὸν ἐραστὴν εὐσεβείας, ἐφάνης Θεῷ διὰ πίστεως τιμιώτερος. ὦ παιδευτὴς ἀρετῆς τοῖς ἀνθρώποις γενόμενε· ὦ διδάξας ἀνθρώπους, ποίοις τὸ θεῖον δοξάζεται. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΑΒΡΑΑΜ.

Τῷ φιλοθέῳ, καὶ πνευματικῷ, τὰ τοῦ φιλοθέου σήμερον Ἀβραὰμ διηγησόμεθα κατορθώματα· ᾧ γέγονε τῆς φιλοθείας Θεὸς μὲν ἀγωνοθέτης, ἀντίπαλος δὲ φύσις πατρικοῖς κέντροις ὁπλιζομένη, σκάμμα δὲ ἡ τοῦ Ἰσαὰκ σφαγή, πρὸς φιλοστόργου ξιφήρη δεξιὰν ἀνημμένη. πρὸς τοσοῦτον

ἀγῶνα τὸν τῆς φιλοθεΐας ἀθλητὴν ὁ Θεὸς προκαλούμενος, ἐν μέσῳ τῆς οἰκουμένης σταδίῳ προβάλλεται, πολλαῖς μὲν πρότερον γυμνασίαις ἀρετῆς αὐτὸν καθάπερ ἐν παλαίστρᾳ παιδοτριβήσας. νυνὶ δὲ μετὰ τοὺς μυρίους ἱδρῶτας ὥσπερ ἐν πανδήμῳ θεάτρῳ προτρέπεται. ἵνα καὶ πρὸς τοῦτον ἀποδυσάμενος, ὁ μὲν μὲν στεφανίτης ἀνακηρύττηται, κοινωνὸν δὲ λάβῃ τῆς νίκης Θεὸν τὸν ἐπὶ τούτοις αὐτὸν ἐκλεξάμενον. ποῖον οὖν αὐτῷ πρῶτον ἐν παλαίστρᾳ προτείνει γυμνάσιον; ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω· γυμνός μοι φάνηθι τῶν οἰκείων δεσμῶν· συγγενείας ἀπόρρηξον· γῆς, ἐφ᾽ ἧς ἐτέχθης, ἀπόστηθι· πατρὸς καὶ πατρίδος ἀφίστασο· νίκησον ἄγκυραν φύσεως πρὸς ἀρετὴν γυμναζόμενος, καὶ δεῦρο εἰς τὴν γῆν ἣν ἄν σοι δείξω. κρύπτει τὸν τόπον, ἵνα γυμνάσῃ τὸν τόνον· καλύπτει τὸ πέρας, ἵνα συντείνῃ τὸν δρόμον. ἁρπάζει τὴν γνῶσιν, ἵνα πρὸς πόθον ἐγείρῃ τὸν ἐν τῇ γῇ δρόμον· ἐξ Οὐρανοῦ δέχου τὸ σύνθημα. οὐκ ἦν Ἀβραὰμ τῶν θείων προσταγμάτων ἀργότερος, ἀλλὰ συντρέχει σὺν προθυμίᾳ τοῖς ἐξ Οὐρανοῦ παραγγέλμασι. πάλιν περικλύζει τῷ πλούτῳ, καὶ κληρονόμον οὐδέπω χαρίζεται· ἀλλὰ κρεμᾷ ταῖς ἐλπίσιν, ἵνα βασανίσῃ τὴν πίστιν. περιέῤῥει μὲν οὖν πανταχόθεν τῶν χρημάτων ὁ πλοῦτος· πενία δὲ φύσεως τὸν τόκον ἠρνεῖτο, καὶ τῆς Σάῤῥας τὸ ἄγονον ἐσύλησε τὴν τῆς περιουσίας ἀπόλαυσιν. καὶ ὁ χρόνος ἔῤῥει, καὶ ὁ κληρονόμος οὐκ ἦν. ὁ πλοῦτος ηὐξάνετο, καὶ διάδοχος οὐκ ἠλπίζετο· γῆρας ἐπιὸν, τὰς τῆς παιδοποιΐας ἐλπίδας ἐθέριζε· πάθος στειρώσεως τοῦ τόκου τὴν προσδοκίαν ἐμάραινεν· ἀλλ᾽ ἡ πίστις ἐνέαζεν· ἐπελάθετο τοῦ πάθους ἡ στεῖρα, ἐπελάθετο τοῦ γήρως ἡ φύσις, ταῖς ἐλπίσι νεάζουσα. εἶχε πρὸ τοῦ παιδὸς τὸν παῖδα, λαβὼν τὴν ὑπόσχεσιν· καὶ πρὸ τῆς γαστρὸς ὁ Ἰσαὰκ, ὑπὸ τῆς ἐλπίδος ἐτίκτετο· ἐπίστευσε γάρ φησιν Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· οὐκ ἔτι φησὶν ὁρῶ τῆς Σάῤῥας τὴν στεί-

ρωσιν, οὐκ ἀποβλέπω πρὸς τὴν τοῦ σώματος νέκρωσιν, ἐδέξάμην φωνὴν ἑκατέρων ἰσχυροτέραν· ἐφθέγξω, καὶ κληρονόμος ἐγγύς· ἠκολούθει τοίνυν ταῖς ἐλπίσι τὰ πράγματα· ἔδωκεν ὁ Θεὸς τὸν πρὸ τοῦ τόκου ποθούμενον· ἔλαβεν, ἔχαιρε, τὴν δόσιν ἠσπάζετο. ἀγώνισμα πίστεως βρέφος ἐτίκτετο· καὶ φιλοθεΐας ἠνοίγετο στάδιον. ἠγνόει σκάμμασιν ἑτέροις μετὰ τὸν τόκον τηρούμενος. ἔμελλε γὰρ ὁ Θεὸς ὑπόθεσιν ἀθλητικὴν τῷ δικαίῳ τὴν γονὴν ἑτοιμάζειν, καὶ διὰ παιδὸς τὴν τοῦ ἀριστέως ἀνδρείαν ζυγοστατεῖν. ὡς γὰρ ηὐξήθη τὸ βρέφος, καὶ ψελλίσμασι τὸν τῶν γονέων πόθον ἐτίτρωσκε, συνηυξάνετο τῷ βρέφει τῶν γονέων τὸ φίλτρον, καὶ πᾶς τῶν τεκόντων ὁ πόθος ἀμέριστος εἰς μόνον ἐφέρετο· καὶ πᾶσαι αἱ τῆς φύσεως ἐλπίδες ἐφ' ἑνὸς ἐδεσμοῦντο τέκνου. Βλέπε μοι λοιπὸν ἐπὶ τοὺς ἀγῶνας τὸν πατέρα καλούμενον· καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζέ, φησί, τὸν Ἀβραάμ. Τί γάρ; ἠγνόει τὴν ἀρετὴν, ἵνα πειράσῃ τὸν ἀθλητήν; Θεὸς ἀνέμενε τὴν πεῖραν, ἵνα μάθῃ τὴν πρόθεσιν; πειράζει τοίνυν, οὐκ αὐτὸς ἀγνοῶν, ἀλλ' ἵνα δημοσιεύσῃ τὸν δίκαιον· ἵνα πολλοὺς τῆς τοῦ θεράποντος ἀρετῆς ἐπιστήσῃ τοὺς μάρτυρας. σμήχει τῷ πειρασμῷ τὸν τῆς ὑπομονῆς ἀνδριάντα, ἵνα δείξας τὸ ἔργον λαμπρότερον, πρὸς θαῦμα καλέσῃ τοὺς βλέποντας· δονεῖ τὸ σκάφος τοῖς πνεύμασιν, ἵνα τοῦ κυβερνήτου τὴν τέχνην θαυμάσῃς· ἐπεγείρει τῶν κυμάτων τὴν προσβολὴν, ἵνα ἐκπλαγῇς τὸ τῆς πείρας ἀκίνητον, προσάγει τὰ μηχανήματα, τὴν τοῦ τείχους ἐλέγχων στεῤῥότητα, ἐπανίστησι τῷ δικαίῳ τὰ τῆς φύσεως κύματα, ἵνα τῆς φιλοθεΐας θαυμάσῃς τὸν ἔμπορον. λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ· ὅπλα τὰ τῆς φύσεως ἠκόνησε, πάσας τοῦ φίλτρου τὰς ἀκίδας ἐκίνησεν· οὐκ εἶπεν ἁπλῶς, ἀπόδος ὃν ἔδωκα, ἢ θῦσον ὃν ἔλαβες· ἀλλὰ τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας. πλήττει τὴν ψυχὴν τοῖς τῆς φιλοστοργίας ὀνόμασι. πλατύνει τὰς κλήσεις, ἵνα πλεῖον ἀνάψῃ τὴν

φλό-

φλόγα· ὅλας ἐξέχεε κατ' αὐτοῦ τὰς νιφάδας τῆς φύσεως. καὶ ἀνήνεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. οὐδὲ γνώριμον αὐτῷ τὸν τοῦ φόνου τόπον ἐργάζεται· παρατείνει τὸν ἀριθμὸν, βασανίζων τὸν τρόπον· καὶ ἀνήνεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων. πῶς οὐκ ἔφριξε τὴν φωνήν; πῶς οὐ συνεστάλη τὴν ψυχὴν τῇ πληγῇ τῆς φωνῆς; πῶς οὐκ ἔφθασε τῇ τελευτῇ τὴν τοῦ τέκνου σφαγήν; ἀλλ' ὦ ψυχῆς καρτερᾶς· οὐκ ἐστέναξεν, οὐκ ἐδάκρυσεν, οὐκ εἶξε τῇ φύσει, οὐκ ἠμείφθη τοῖς βουλεύμασιν, οὐ τὸ πρόσωπον ἤμειψεν, οὐκ ἀφῆκε φωνὴν τὴν πατρικὴν, τέκνου σφαγὴν ἀπαιτούμενος, οὐκ εἶπεν ἅπερ ἡ φύσις ἐβούλετο· ὢ ξένων ἐπιταγμάτων· ὢ τῶν παρὰ φύσιν παραγγελμάτων· τέκνου σφαγὴν αἰτοῦμαι; καὶ γενέσθαι παιδὸς προστάττομαι δήμιος; Πατὴρ βραδὺς, καὶ τεκνοφόνος ταχύς; ὢ πόσαις καὶ ποίαις ἐλπίσιν ἐτήρουν τὸν φίλτατον· ὅτε μοι τῆς ἀτεκνίας ἐλύθη τὸ πάθος, τότε πάλιν ἀτεκνίαν ὀδύρομαι. οὐκ ἦν οὕτως ἀνιαρά μοι πρὸ τῆς πείρας ἡ τοῦ παιδὸς ἐρημία. οὔπω τῇ ἀπολαύσει τραφεὶς, ἠγνόουν, ὃν οὐκ εἶχον· νῦν δὲ τῇ φύσει δεθεὶς, καὶ τῷ πόθῳ προσηλωθεὶς, οὐ φέρω τὸν πόνον τῆς ἀφαιρέσεως. τί οὖν με καὶ πατέρα δείξας, παιδοκτόνον ἐργάζῃ; τί με τέρπεσθαι ταῖς ὠδῖσιν ἐδίδαξας, μεταδιδάξας ὀδύρεσθαι; τί μεταβάλλεις τὸν πόθον εἰς πένθος; τί μετασκευάζεις τὸ φίλτρον εἰς θρῆνον; μιανῶ δεξιὰν αἵμασι παιδὸς, ὑπὲρ οὗ πολλάκις σοι τὰς χεῖρας ἐξέτεινα; πατρικὰς ἱκεσίας δεξάμενος, ὁπλίζεις Πατέρα πρὸς τὴν τοῦ βρέφους ἀναίρεσιν; πρὸς τὰς σὰς ὑποσχέσεις ἀπόβλεψον Δέσποτα· κληρονόμον ἐπηγγείλω, καὶ παιδοκτόνον ἐργάζῃ; καὶ θυσίαν ἀπαιτεῖς, ὃν ἐχαρίσω διάδοχον; ἀλλ' ἐγὼ μέν σοι παστάδας προενόουν ὦ τέκνον, καὶ θάλαμον· ἠγνόουν δ' ἄρα πυρὶ καὶ σιδήρῳ τρέφων τὸν φίλτατον. ἀντὶ παστάδος, βωμός· ἀντὶ πυρὸς νυμφικοῦ, φλὸξ ἐπιβώμιος. εἴθε μήποτε πρὸς αἴτησιν ἦλθον γονῆς· εἴθε μοι γέγονεν ἄπρακτος ἡ τῆς παιδογονίας

 εὐχή.

εὐχή. εἴθε μὴ τόκον εἶδον παράδοξον, ἵνα μὴ πρὸς πόλεμον ἦλθον οὐκ ἐλπιζόμενον· ἀλλά μοι τὸ πάντων ἀνιαρώτατον, αὐτουργόν με γενέσθαι τοῦ φόνου κελεύει, καὶ σφαγέα τοῦ βρέφους ἰδεῖν ἐπιθυμεῖ τὸν γεννήσαντα. οὐκοῦν πολεμίων ἐνδιδόσθω χερσί. δυσμενεῖς τὴν σφαγὴν ἐνεργείτωσαν· πραττέτω τὸν φόνον δεξιὰ μὴ δεδεμένη τῷ πόθῳ. Πατὴρ δὲ ὢν, οὐ φέρω τὴν ἀκοήν, οὐχ ὑποφέρω τὴν σφαγήν. ἀποθεῖται τὸ ξίφος ἡ φύσις· ὀκλάζει πρὸς τὸ ἔργον ἡ δεξιά· ὀφθαλμοὶ τὴν θέαν ἀρνοῦνται. οἶδας αὐτὸς οἵοις πάθεσι τὴν φύσιν καθώπλισας. Οὐδὲν τούτων ὁ γενναῖος Ἀβραὰμ, οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ὡς ἀληθῶς προβάτῃ θυσίαν ἀπαιτούμενος, πρὸς τὴν σφαγὴν ηὐτρεπίζετο ὁ τοῖς θείοις ἐμμελετήσας προστάγμασι, καὶ οὐκ ἐπιστρέφεται πρὸς τὴν φύσιν τὸν δρόμον κωλύουσαν. συνεργὸν οὖν λαβὼν τὴν σιγὴν, ὅλος ἐγίνετο τοῦ προστάγματος. κρύπτει τὴν Σάρραν τὸ τόλμημα, οὐκ ἐκφαίνει τῇ τεκούσῃ τὸ πρόσταγμα· τίνος ἕνεκεν; Φιλόθεος μέν φησιν· ἐγὼ δὲ τὴν γνώμην θαυμάζων, αἰδοῦμαι τὴν φύσιν· ὁρῶν τὸ φιλόθεον, δέδοικα τὸ φιλόστοργον. φιλόθεος ἡ γυνή, ἀλλὰ μήτηρ ἐστί. δεινὸν αἱ μητέρες ἀσθενείᾳ κρατούμεναι φύσεως. δέδοικα μὴ κρύψασα τὸν παῖδα, κλέψῃ τὸ παράγγελμα, μὴ μολύνῃ τὴν θυσίαν δακρύσασα, μὴ τὸν παῖδα θρηνήσασα, καθυβρίσῃ τὸν ἐπιτάξαντα, μὴ τὴν ὄψιν ἀράξασα, ῥίψῃ τὴν θυσίαν, καὶ τὸν Θεὸν ἐκβιάσηται, μὴ τὴν γνώμην ὀκλάσασα, συλήσῃ τὴν χάριν τοῦ θαύματος· ἐγὼ μετὰ τὴν σφαγὴν θρηνοῦσαν παραμυθήσομαι, θεραπεύσω δακρύουσαν, τοιαῦτα πρὸς αὐτὴν ἀποφθεγγόμενος· παῦσαι θρηνοῦσα, μὴ κλαῖε τὸν παῖδα τὸν τῇ σφαγῇ τιμηθέντα. δῶρον ὁ τόκος ὠδῖνας χαρισάμενος. οὐκ ἀναιρεῖ τὸν παῖδα πατὴρ μεῖζον ὠφελῶν, οὐδὲ μάτην χωρεῖ μέσον τὸ ξίφος τῆς φύσεως. ἐγγυᾶται τὴν εὐεργεσίαν ἡ τὴν θυσίαν τολμήσασα δεξιά· ὃν ἐδάνεισεν ᾔτησεν, ὃν ἔπλασε πάλιν ἐζήτησεν. ἔλαβεν αἰτήσας, ὃν ἔδωκεν αἰτηθείς.

ἀπο-

ἀποδώσει πάλιν βεληθεὶς, ὑπ' ὐδενὸς κωλυόμενος. ὁ γὰρ ὐκ ὄντα δὺς, καὶ νεκρωθέντα χαρίσεται. ὁ νεκρωθεῖσάν σοι τὴν γαστέρα δείξας μητέρα, καὶ παῖδα σφαγέντα πρὸς ζωὴν μεταπέμψει. τὸ δὲ μέγιστον εἰς παραμυθίαν, ὦ γύναι, εἰς αἴτησιν ἦλθε θυσίας, ὁ τῦ βρέφους ἔχων τὴν ἐξουσίαν. μόσχον πολλάκις προσενήνοχας· Ἰσαὰκ προσενέγκασα, τί τῶν ἀγαθῶν ὐκ ἐλπίζεις; τοιούτοις νεανικοῖς λογισμοῖς ὁ πρεσβύτης ἐπιστομίσας τὴν φύσιν κακίζουσαν, καὶ παραθήξας τὴν φρένα, καὶ στομώσας τὴν χεῖρα, τὰ τῶν σπλάγχνων θῦμα λαβὼν, δρομαῖος ἐπὶ τὸ ὄρος ἀνέτρεχε, γηραιὸν πόδα διδάξας τῷ δρόμῳ νεάζοντα· ἐνίκα γὰρ φύσιν καὶ πάθος ὁ πόθος, καὶ γῆρας εὐσεβείας ὁ τόνος· καὶ πάντα ἠλέγχετο τῷ τῆς φιλοθεΐας παραχωρῦντα πυρί. ἀνεπήδα πρὸς τὸ ὄρος, συνεργὸν τῆς θυσίας αὐτὸ τὸ θῦμα λαβών. αὐτὸς τε γὰρ τὸ πῦρ καὶ τὸ ξίφος μετεχειρίζετο· τοῖς τῆς θυσίας δὲ ξύλοις, τὸ καλὸν ἱερεῖον τὸν Ἰσαὰκ ἐπεφόρτιζε. καὶ γέγονε συνεργὸν τῆς θυσίας τὸ θῦμα. συμπράττων δὲ τῷ πατρὶ τὴν θυσίαν ὁ Ἰσαὰκ, καὶ τῷ ἐπινήσαντι τὴν μέριμναν μεριζόμενος, πεῦσιν προσφέρει τὸν πατέρα τιτρώσκουσαν· ἰδὲ, φησὶ, τὸ πῦρ, καὶ τὰ ξύλα, πῦ τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; πάλιν ὑπομιμνήσκει τὸν πατέρα, ὡς τῇ λήθῃ κρατύμενον. ὅρα μή σοι τῆς προθυμίας τὸ τάχος, ὦ πάτερ, ἔκλεψε τῦ λειπομένυ τὴν αἴσθησιν. ὢ ῥήματος παιδὸς μὲν ἑτέρυ μέσην τὴν καρδίαν τοξεύοντος, τῦ δὲ Ἀβραὰμ ὐ προσψαύοντος. ἀδακρυτὶ γῦν πρὸς τὸν Ἰσαὰκ ἀποκρίνεται, καὶ φωνὴν Ἱερέως, ὐ Πατρὸς ἀπεφθέγξατο· ὁ Θεὸς, φησὶν, ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον· ἀγνοῶν προφητεύει τὸ μέλλον, καὶ τὸν παῖδα σοφιζόμενος, ἀληθεύει φθεγγόμενος· πρόβατον καλεῖ τὸν υἱὸν, ὃν ὡς πρόβατον προσάγειν ἐπείγεται. πῶς ἔρρηξε φωνήν; ποίοις ἀπεκρίνατο σπλάγχνοις; πῶς ὐκ ἐνάρκησε πρὸς τὸν λόγον ἡ γλῶσσα; πῶς ὐκ οἰμώξας, καὶ τὸν παῖδα περιπτυξάμενος,

ἔρριψε ποθῶν τῆς θυσίας τὰ σύμβολα; ἤδη μὲν οὖν ἐπὶ τῆς τοῦ ὄρους κορυφῆς καὶ θυσιαστήριον ἐσκευάζετο, τὰ ξύλα προσηγάγετο, ὁ Ἰσαὰκ ἐδεσμεύετο, τὸ ξίφος ἡρπάζετο. ὢ θεάματος φοβεροῦ· φιλοστοργία πρὸς φιλοθεΐαν δικάζεται· καὶ δικαστὴς Ἀβραὰμ ξιφηφόρος ἐφέστηκε, καὶ τὴν ψῆφον ἀπογράφει τῷ ξίφει, καὶ τὴν νίκην τῇ φιλοθεΐᾳ χαρίζεται, ἐπισφραγίζων τοῖς αἵμασι, μάρτυρα τῆς νίκης τὴν θυσίαν ποιούμενος, πῶς οὐκ ἐνάρκησεν ἡ χείρ; πῶς τὴν μάχαιραν λαβών, εἶτα συνάξας οὐκ ἔρριψεν; ὢ φιλοθεΐας ἰσχύς· ὢ πυρὸς ἀσβέστου, φύσεως φλόγα νικήσαντος. ἀλλ' ὁ μὲν ἀνδρικῶς ἀνατείνει τὴν δεξιὰν πρὸς τὴν τοῦ βρέφους σφαγήν· ἄνωθεν δὲ φωνὴ δεσμεύει τὴν χεῖρα. ἔφθασεν ἡ φωνὴ τὴν σφαγήν, γέγονεν ὀξυτέρα τοῦ ξίφους ἡ κλῆσις. λόγος ἐπέμπετο, καὶ χεὶρ ἐδεσμεύετο· ἄνω κατέχει τὴν δεξιὰν πρὸς σφαγὴν ἐπειγομένην· διπλασιάζει τὴν κλῆσιν, ἵνα συστείλῃ τὴν χεῖρα· ὅλον γὰρ πρὸς τὸ ἔργον ἐγκείμενον, καὶ μικροῦ τὸ ξίφος ἐν τῷ βρέφει βαπτίσαντα κατέχει, τῇ κλήσει ἐπιστρέφει, τῷ ῥήματι τὴν ὁρμὴν χαλινοῖ, καθάπερ δυσήνιον ἵππον πρὸς ἑαυτὸν ἐπισπώμενος. Ἀβραάμ, Ἀβραάμ· ὁ δὲ μόλις ἐπιστραφείς, ἰδοὺ ἐγώ φησιν. ἆρα μὴ τὴν θυσίαν τῇ βραδύτητι καθυβρίσας; τί οὖν ἡ φωνή; κατ' ἐμαυτοῦ ὤμοσα λέγει Κύριος· οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, ἐνευλογηθήσονται ἐν σοί, καὶ ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. σὺ ὃς ὑπερεῖδες; γίνου τῆς οἰκουμένης πατήρ. ἔχε μετὰ Ἰσαὰκ παῖδας τὰ ἔθνη, ἐν θύματι τὴν οἰκουμένην. γίνου πατὴρ ἐθνῶν· πατὴρ γάρ ἐστι Χριστοῦ, οὗ κτῆμα τὰ ἔθνη. ἀντὶ τοῦ σοῦ μονογενοῦς, θυέσθω τὸ πρόβατον. ἐμὸς Μονογενὴς τὸν φορούμενον ἀμνὸν ἐπιδώσει τῷ πάθει· μὴ ἁπτέσθω τοῦ μονογενοῦς σου τὸ ξίφος· οὐδὲ γὰρ σταυρὸς τῆς τοῦ μονογενοῦς μου θεότητος ἅψεται. περὶ τὸ πρόβατον ἡ θυσία, περὶ τὴν οἰκονομίαν τὸ πάθος· τὸ πρόβατον καὶ ἡ σάρξ προσηλούσθω.

λέγεσθω· μὴ παραιτήσῃς τὴν μίμησιν, παραβάλλων τῷ πάθει τὸν σὸν ὁμοούσιον. Τὸ πρόβατον σφαττέσθω, τοῦ ἐσταυρωμένου ἀμνοῦ φέρον τὴν μίμησιν. ὅρα τὸ πρόβατον ὡς ἐπὶ τοῦ σταυροῦ τῷ φυτῷ κρεμάμενον· τοῦτο τοὺς ἥλους ἐκδέχεται, τοῦτο γίνεται θυσία τοῦ κόσμου σωτήριος. πάσχει γὰρ ναὸς οἰκοῦντος Θεοῦ, καὶ τὴν αὐτοῦ τῷ Δεσπότῃ φωνήν. λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΠΑΓΚΑΛΟΝ ΙΩΣΗΦ.

ΤΟῖς μὲν τὰ μακρὰ πελάγη διαπερῶσιν, αἱ τῶν περιφανεστέρων κινήσεις ἄστρων πρὸς τὸν δρόμον γίνονται σύνθημα. καὶ κυβερνήτης ἐπιβάλλων τῷ πηδαλίῳ, τὸ βλέμμα τείνει πρὸς οὐρανόν, τοῖς τῶν ἀστέρων κινήμασιν ἡνιοχῶν τὴν ὁλκάδα, καὶ τὸν πελάγιον δρόμον τῷ κατ' οὐρανὸν φέγγει συντείνων πρὸς λιμένας ἐπείγεται. οἱ δὲ τοῦ βίου τὴν θάλατταν καλῶς σταδιεύειν ἐθέλοντες, καὶ πολιτείας εὐθεῖαν τέμνειν ποθοῦντες τὰ κύματα, οὐκ εἰς ἀστέρας ὁρῶσιν, ἀλλὰ πρὸς τὸν τῶν δικαίων ἀφορῶσι χορόν, καὶ τοῖς τούτων ἴχνεσι τοῖς τῆς πολιτείας ἐπερείδοντες βήμασι τὴν ἑαυτῶν ζωὴν ἀπευθύνουσιν. οὐ γὰρ τοσαῦται κινδύνων ἐπαναστάσεις πολιορκοῦσι τοὺς πλέοντας, ὡς αἱ τοῦ βίου περιστάσεις περιαντλοῦσι τοὺς τῆς ἀρετῆς ἐμπορίαν ἀνύοντας. τίς γὰρ τῶν δικαίων τὸν τῇδε πλοῦν διὰ γαλήνης παρέπλευσε; πρῶτος Ἄβελ πίστεως ἐραστὴς χειρὸς ἀδελφικῆς παρανάλωμα γέγονε. Νῶε μετὰ τὴν πολυχρόνιον τῶν ἀσεβούντων ἐπήρειαν, ἐνιαυτὸν ὅλον ἐπελαγίζετο. Ἀβραὰμ διὰ πόθον Θεοῦ, τὸν νόμον ὑπερεῖδε τῆς φύσεως, πείθων δεξιὰν μᾶλλον παιδοκτονεῖν, ἢ ἀπειθεῖν ἐπιτάττοντι Θεῷ. Ἰσαὰκ ὡς ἱερεῖον δεσμούμενον ἐφέρετο. Ἰακὼβ πόῤῥω τῶν γονέων ἔφυγα-

ἐφόνευε, ἀδελφικῷ φόνῳ τῶν τεκόντων ἀλλοτριούμενος. προήκει δὲ ἡμῖν ὁ λόγος εἰς τὸν καλὸν Ἰωσήφ, οὗ τὸ κάλλος ἡ γραφὴ θαυμάσασα, τοὺς ὑπὲρ ἀρετῆς ἱδρῶτας ἀνέγραψεν, ἵνα πρὸς τοῦτον ὁρῶντες ἐπιγράφωνται. περὶ οὗ καὶ ὁ μελῳδῶν Δαβὶδ ἀνεκρούετο, θαυμάζων τὴν σύνεσιν τοῦ παιδεῦσαι τοὺς ἄρχοντας Αἰγυπτίων ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους αὐτῶν σοφίσαι. πόσοις ὁ νέος ὑπὲρ ἀρετῆς κινδύνοις διεπάλαισε; πόσας κυμάτων προσβολὰς ἐτινάξατο; πόσους κρημνοὺς χωρὶς ὀλισθήματος διήλατο; καί τοι τινὲς τὴν σωφροσύνην τοῦ νέου μόνον θαυμάζοντες, περὶ μόνην αὐτὴν ἀσχολοῦσι τὸν ἔπαινον, σημεῖον ὅλον ἀγωνισμάτων περὶ μίαν ἀρετὴν τῷ λόγῳ στενοχωροῦντες. εἰ δέ τις ὁδῷ βαδίζειν ἐθέλῃ, καὶ τὴν ἀρχὴν τῶν ἄθλων πρὸ τοῦ τέλους φαντάζεσθαι, ἀπ' αὐτῆς αὐτὸν τῆς οἰκείας ἀρετῆς ἁπλούμενον εὑρήσει τὸ στάδιον, καὶ πρῶτος ὁ τῶν ἀδελφῶν πόλεμος προσερρήγνυτο. φθόνος γὰρ αὐτοῖς στρατηγῶν, μαίνεσθαι καθ' ἑαυτῶν τὴν φύσιν ἔπειθε. φθόνος ὁ τοῦ φόνου πατὴρ, ὁ τοῖς καλοῖς ἀεὶ τιτρωσκόμενος. καὶ τίνες αἱ τοῦ φθόνου προφάσεις; ἀγάπη πατρὸς περὶ παῖδα τοὺς παῖδας ἐκίνησε, καὶ στασιάζει τὰ φίλτατα καθ' ἑαυτῶν τῷ πάθει μεθύοντα. ἡ γραφὴ δὲ τὸ ὑπερβάλλον τοῦ φίλτρου θαυμάζουσα, τοῦ πάθους τὴν αἰτίαν ἐκήρυττεν. ἠγάπα γάρ φησιν Ἰακὼβ τὸν Ἰωσὴφ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ. καίτοι Βενιαμὶν τῶν τοῦ Ἰακὼβ παίδων ὁ ἔσχατος, καὶ γείτων τοῦ γήρως, καὶ τῶν ὠδίνων ὑπῆρχε τὸ πέρας. πῶς οὖν ὁ Ἰωσὴφ υἱὸς γήρως ἐπονομάζεται; ἀλλ' υἱὸς γήρως ἐστὶν ὁ τοῦ γήρως ἐπιμελούμενος, καὶ πατρικῆς ἡλικίας τὸν πόνον τῇ θεραπείᾳ κουφίζων. καὶ ταῖς περὶ τὸ γῆρας ἐλπίσι τὸ τῆς φύσεως ἐπεσπάσατο φίλτρον. καὶ πρὸς ἀγῶνα δαψιλέστερον τῇ θεραπείᾳ ἐτρύγα θερμοτέραν φιλοστοργίαν. ἀδελφοὶ δὲ φθόνῳ πληγέντες ἐπλήθησαν, οὐδὲ πρὸς τὴν ἐξ ὀνειράτων εὐπραγίαν τοῦ παιδὸς ἐκαρτέρουν. ἀλλὰ καὶ ἄχρις ὀνείρων τοῦ φθόνου τὸ κέντρον ἀνέτειναν. καὶ καιροῦ λαβόμενοι, μελετῶσι τὸν φόνον, καὶ τῶν πατρικῶν ἀγκαλῶν γυμνὸν

τὸν

τὸν παῖδα θηρεύσαντες, καθάπερ θανάτῳ κατάδικον ὀρειῷ λάκκῳ πιστεύουσιν. ὁ δὲ λάκκος ἀδελφικοῦ φθόνου φιλανθρωπότερος γέγονε· κενὸς γὰρ ὕδατος ὑπάρχων φυλάττει σῶον τὸν Ἰωσὴφ, καθάπερ τὸ κῆτος τὸν Ἰωνᾶν ἐν τοῖς κύμασι. διεδέχετο δὲ πρᾶσις τὰ τοῦ φόνου βουλεύματα, καὶ καθάπερ τοῦ φόνου λάφυρον, τὸν ἀδελφὸν ἀδελφοὶ ἀποδίδονται. καὶ φιλαργυρία τὸν φόνον νικήσασα, δοῦλον ἀντὶ νεκροῦ τὸν ἔμπορον ἤλεγξε. τοιαῦτα ὁ φθόνος οἶδε τοὺς φθονουμένους φιλανθρωπεύεσθαι. ἀλλ' ὢ τῆς θείας προνοίας. ἀληθὴς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. οἷς γὰρ φθονοῦσιν ὀνείρασι, τούτοις ὑπουργοῦντες οὐκ οἴδασιν. ἄκοντες τοῖς τοῦ Ἰωσὴφ ἐνυπνίοις συμπράττουσιν, ὁδὸν τῇ τούτων ἐκβάσει τὴν πρᾶσιν κατασκευάζοντες. ἐπειδὰν γὰρ τοῖς θείοις βουλεύμασιν ἀντιπράττειν ἐθέλωσιν ἄνθρωποι, συγχωρεῖ μὲν πράττειν Θεὸς ἃ προῄρηνται, ἐνδιδοὺς δὲ φαυλίσαι τὴν γνώμην, στηλιτεύει τὸν τρόπον· ὑπηκόους αὐτοὺς ἄκοντας τῆς ἑαυτοῦ ποιεῖται προθέσεως, ἵνα ἃ κωλύειν ἐθέλουσιν, ἀνύοντες φαίνωνται, καὶ δι' ὧν ἐπέχειν βιάζονται, διὰ τούτων συνεργοῦντες δείκνυνται. ἵνα καὶ πολεμοῦντες ὁμοῦ, καὶ δουλεύοντες ἀπελέγχωνται. οὕτως οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ ἄχεις αἱμάτων κατ' ὀνείρων ἀποδιαπαττόμενοι, τῇ πράσει τοὺς ὀνείρους εἰς πρᾶξιν ἐγείρουσι, καὶ τῆς φύσεως ἔμποροι καταστάντες ἀνηλεεῖς, μετ' ὀλίγον ἔμποροι τροφῆς ἐλεούμενοι γίνονται. καὶ τῶν ὀνείρων μισοῦντες τὰ δράγματα, μετ' οὐ πολὺ τῶν ἀληθινῶν δραγμάτων ἱκέται καθίστανται. οἱ μὲν οὖν τὴν φύσιν καπηλεύοντες, ὡς ἐνόμιζον, νενοθευμένοι δουλείᾳ τὸν παῖδα καταδικάζουσιν. εἰκόνι δὲ φόνου τὸν χιτῶνα διατιθέμενοι, ὥσπερ οὐ δυνάμενοι σβέσαι χωρὶς αἱμάτων τὸν φόνον, χερσὶ προσάγουσι πατρικαῖς, καταψευδόμενοι θανάτου πρὸς ἀληθινὸν πένθος τὸν πρεσβύτην ἀνάπτοντες, δίκας ἀπαιτοῦντες τοῦ φίλου τὸν φύσαντα. τοῦτο τῶν Ἰωσὴφ ἀθλημάτων τὸ προοίμιον. φέρων δὲ τῶν κινδύνων ὁ νέος τὰς ἀπαρχὰς εἰς

χα-

χαρίσῳ προθέσει, τὴν ἀγωνοθέτην τιμᾷ. Διαπλεύσας δὲ τοῦ φθόνου τὰ κύματα, καταλαμβάνει τὴν Αἴγυπτον, καὶ γίνεται δοῦλος τῷ σώματι ὁ ἀδούλωτος τῷ φρονήματι. οὐ συναποβάλλων τῷ σχήματι τῆς ψυχῆς τὴν ἐλευθερίαν, οὐδὲ περιστάσεσι βιαίοις τὴν ἐλευθερίαν ἐνόθευεν. οὐ γὰρ συμμετέβαλε τὴν γνώμην τοῖς πράγμασιν· οὐδὲ δουλείας συνήθεια κατὰ μικρὸν τὴν ἐλευθερίαν ἐσύλησεν· ἀλλ' ἦν καὶ δουλεύων τῆς Ἀβραὰμ ἐλευθερίας ἀπόγονος· διεδέχετο δὲ τῶν ἀδελφῶν τὸ μῖσος, δεσποίνης ἐκχύσης ἀκόλαστον φίλτρον τοῦ μίσους τραχύτερον. καὶ πάλιν ἀγῶνες, καὶ σκάμματα, καὶ Ἰωσὴφ στεφανούμενος. ὁ μὲν οὖν ἀγὼν τοιοῦτος, ὁ δὲ παλαίων, μειράκιον ἡλικίᾳ, σωφροσύνης προδότις, πρὸς ἡδονῆς βίαν εὐάλωτος. δουλείας ταπείνωσις, γυναικὸς καταστέλλουσα φρόνημα. δεσποίνης συνεχεῖς κολακεῖαι ταῖς ἐλπίσι τὸν τόνον ἐκλύουσαι, καὶ σιωπῶ τὰς ἔξωθεν, ὡς γυναικὸς, μηχανὰς χρωμάτων, ῥημάτων, σχημάτων, τὰς δι' ὀμμάτων ἀπάτας, τὰς δι' ὀσφρήσεως ληκύθους, τὰς δι' ἀκοῶν τῆς ψυχῆς πολιορκίας, τὰς διὰ φύσεως κλάσεις τοῦ σώματος. δι' ὅλων γὰρ ὁδοὺς τῶν αἰσθητηρίων τὰ θέλγειν ἰσχύοντα. πάντα δὲ πρὸς ἕνα σκοπὸν, τὸν νέον ἐφέροντο. ἀλλ' ὁ τοσούτοις οὕτω πανταχόθεν βαλλόμενος, ὅπλον εἶχε πρὸς πάντα τὴν μνήμην τοῦ πλάσαντος. ἡ μὲν οὖν εἶχεν ἄγρυπνον τὸ βλέμμα, τὴν τοῦ Ἰωσὴφ σωφροσύνην λῃστεύειν ἐλπίζουσα, λοχῶσα τοὺς χρόνους, ἐπιτηροῦσα καιροὺς, παρακαλοῦσα συνεχῶς. τῷ γὰρ πάθει πραθεῖσα, συγκατασπᾶν τῇ τῆς ἀκολασίας δουλείᾳ προσεδόκα τὸν σώφρονα. συμπράττων δὲ ταῖς τῆς γυναικὸς ἐπιβουλαῖς ὁ διάβολος, ἐρημίαν τῶν παρόντων, ἐξ ἑορτῆς δαιμονικῆς κατεσκεύασεν· ἐγένετο γάρ, φησι, τοιαύτη τις ἡμέρα, καὶ ἦν οὐδεὶς ἐν τῇ οἰκίᾳ ἔσω. εἰσῆλθε δὲ Ἰωσὴφ ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐδεὶς ἦν ἐν τῇ οἰκίᾳ ἔσω· καὶ ἐπεσπάσατο τοῦ Ἰωσὴφ τῶν ἱματίων, λέγουσα αὐτῷ· κοιμήθητι μετ' ἐμοῦ. ὢ πόση ἡ τῆς σωφροσύνης ἀξία,

ὢ πηλίκος ὁ τῆς σεμνότητος στέφανος. ὡς δοῦλος ἐπράθη, καὶ
ὡς δεσπότης παρὰ δεσποίνης ἱκετεύεται. ὢ πόση τῆς ἀκολα-
σίας ἡ πτῶσις· τοῦ γὰρ δούλου τὴν δέσποιναν ἔδειξε δούλην· ἡ
γὰρ τὴν ψυχὴν τῷ πάθει πωλήσασα, καὶ τὴν ἔξωθεν ἀξίαν
ἀπώλεσε. κοιμήθητι μετ' ἐμοῦ· ὢ τῆς ἀκολάστου τυραννίδος.
δεσμώτην κατέχει τὸν σώφρονα, καὶ κολακείᾳ ῥημάτων χειρῶν
βίαν ἀνέμιξεν. ὢ τῶν ἀμηχάνων κακῶν. ὢ τῆς ἀλύτου συμ-
φορᾶς. ἐν μεσοδικτύοις ἀπήλειπτο θήραμα δίκαιον. ὁ δὲ
δίκαιος τί ἐποίησεν; εἴδωμεν τῆς σωφροσύνης ἐν κινδύνοις
τὰς τέχνας, καὶ μετ' αὐτῆς τὸ νικᾶν διδασκώμεθα. πρῶτον
ἐπιστομίζειν πειρᾶται τὸ πάθος, καὶ τρόπον ἀκόλαστον χαλινοῦν
ῥημάτων σεμνότητι. εἰ ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν,
καὶ τὰ ἑξῆς. ἐπιμελητήν με τῆς οἰκίας ὁ δεσπότης κατέστησεν,
οἰκέτας ὑπέταξεν, ἐνεχείρισε χρήματα, τὰς ἐμὰς φροντί-
δας τοῖς οἰκείοις ἥπλωσε κτήμασι. τί οὖν; ὁ χρημάτων φρον-
τίζων, τὴν κοίτην συλήσω; ὁ τὴν κτῆσιν φυλάττων, τὴν εὐ-
νὴν καθυβρίσω; ὁ κτήμασιν εὔνους, περὶ τὸ μέρος πολέμιος;
καὶ πῶς πρὸς τὸν Θεὸν ἀναβλέψω; ποίοις ὀφθαλμοῖς τὸν εὐερ-
γέτην θεάσωμαι; πῶς ποιήσω τὸ ῥῆμα τοῦτο; φρίττω, γύναι,
τὴν φωνήν· σὺ τὴν πρᾶξιν αἰτεῖς; πέπλημαι ἐγὼ τὴν ἀ-
κοὴν, καθάπερ ξίφει, τῷ ῥήματι. πῶς ποιήσω; πῶς ἀκοὰς
μολυνθείσας ἰάσωμαι; πῶς τὸν σῶν ῥημάτων ἀποσμήξω τὸν
βόρβορον; τοιαύταις ἐπῳδαῖς σωφροσύνης ὁ δίκαιος χρώμε-
νος, ἀκόλαστον θυελὸν οὐκ ἔπειθεν. ἀλλὰ καὶ χεῖρας ἐπέβα-
λεν ὡπλισμένας τοῖς πάθεσι. παρῆν καὶ συναγωνιστὴς τῇ γυ-
ναικὶ διάβολος, ὁ τῆς μοιχείας ἀγωνοθέτης, καὶ τῆς ἀκολασίας
νυμφαγωγός. ἠγνόει δὲ ἄρα πρὸς ἀθλητὴν σωφροσύνης πα-
λαίων. τῇ κρατίστῃ χειρὶ τὸν κρατούμενον χιτῶνα προσρίψας,
τὰς ἀκολάστους διαδιδράσκει λαβὰς, ὅπλῳ τῇ φυγῇ πρὸς ἀρι-
στείαν χρησάμενος. καὶ γίνεται τοῦ χιτῶνος προδότης, ἵνα φύλαξ
γένηται σωφροσύνης. καὶ τρέχει γυμνὸς ἀεισδὺς τὸν ὑπὲρ ἀρε-
τῆς

τῆς ἀγῶνα δραμών. καὶ γυμνοῦται χιτῶνος, ἵνα μὴ γυμνωθῇ σωφροσύνης. τῷ δὲ γενναίῳ συνηττηθεὶς ὁ στρατηγὸς τῆς ἀκολασίας διάβολος, ἑτέρως πάλιν ὁπλίζεται, καὶ πρὸς θυμὸν μετασκευάζει τὸ φίλτρον, καὶ χαλκεύει τὸν πόθον εἰς ὅπλον, καὶ γλῶτταν ἐγείρει κατήγορον, καὶ χιτῶνα δεικνῦσα πιστεύεται. ὢ παραδόξου συκοφαντίας, καὶ ἀνοίας βαρβαρικῆς. χιτῶνα φέρουσα τῶν χειρῶν τὸν κατήγορον, γλώττῃ κατηγορούσῃ πιστεύεται. καὶ τὸ δεσμωτήριον εἶχεν ὁ Ἰωσὴφ οἰκέτης ὁμοῦ καὶ δεσμώτης γενόμενος. ἀλλὰ τοσούτοις πειρασέως κύμασιν ὁ νέος ἀντλούμενος, τὴν ψυχὴν ἀνάλωτος ἔμεινεν· οὐ γὰρ ἀφῆκε φωνὴν δυσχερῆ, τὴν θείαν κηδεμονίαν καταμεμφόμενος. αὗται, λέγων, τῆς ἀρετῆς αἱ ἀμοιβαί; οὗτος ὁ τῆς σωφροσύνης καρπός; οὗτός μοι τῆς εἰς πατέρα θεραπείας μισθός; βασκανία, καὶ πρᾶσις, καὶ παρὰ βαρβάροις δουλεία; καὶ οἶκος τὸ δεσμωτήριον, καὶ σιδήρῳ καταδίκος; καὶ τῆς μοιχείας τὴν πρᾶξιν νικήσαντες, τῇ τῆς μοιχείας τιμωρίᾳ κρινόμεθα; τούτων οὐδὲν διὰ γλώττης ἐφθέγγετο, ἀλλὰ πᾶσιν ὑπομονὴν ἀντιτάξας, εὐχαρίστῳ γνώμῃ τοὺς κινδύνους ὑπέφερε. καὶ σιωπῶν κατεδικάζετο, τῷ δικαίῳ κριτῇ τὴν κρίσιν ταμιευόμενος· καὶ σιωπῶν ἔπειθε γλῶτταν, ὀφθαλμοῖς ἀθανάτοις τὴν δίκην πιστεύσας. εἰ τοῦτο θαυμάζεις, ἀγαπητέ, τὸ μεῖζον ἐκπλάγηθι. ὅρα γὰρ τοῦ νέου μακροθυμίαν· ὅρα φιλοσοφίας ἑτέρας ἀκρότητα, ἵνα καὶ σὺ τὴν γνώμην μιμούμενος ἀρέσῃς τῷ κτίσαντι. τοιαῦτα γὰρ πεπονθώς, οὐδὲ ῥήματι τοὺς ἠδικηκότας ἠμύνατο, οὐδὲ φωνὴν ἀφῆκε πικρὰν, κατὰ τῶν συμφοραῖς αὐτὸν περιβαλλόντων πικραῖς. τοῖς γὰρ παρὰ τοῦ Βασιλέως μὲν δεσμώταις ἐν τῷ δεσμωτηρίῳ συνδιέτριβεν· οἷς λύσας τὸ τῶν ὀνείρων ἀμήχανον, διηγεῖσθαι τὰ καθ' ἑαυτὸν ἠναγκάζετο, καὶ τῶν οἰκείων δεσμῶν τὴν αἰτίαν ἐκτίθεσθαι. καί φησιν, ὅτι κλοπῇ ἐκλάπην ἐκ τῆς Ἑβραίων, καὶ ὧδε ἐποίησα οὐδέν. ποία γλῶττα πρὸς ἀξίαν τοὺς λόγους ὑμνήσειεν; ὁ καὶ μᾶλλον λόγου

πρὸς πολεμοῦντας φιλάνθρωπος· οὐ τοῦ φθόνου μνησθεὶς, οὐ τῆς ἀδελφικῆς κατηγορήσας ὠμότητος, οὐ τὴν πρᾶξιν διηγησάμενος, οὐ τοῦ φθόνου τὴν μελέτην ἐκθέμενος, οὐ τῆς γυναικὸς τὸν ἀκόλαστον ἔρωτα, οὐ τὴν ἑαυτοῦ σωφροσύνην, οὐ τὴν ἐκείνης ἐπήρειαν. ὢ γλῶττα τοῦ Δαβὶδ ἐν φυλακῇ μελετῶσα τοῦτο. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. ἀλλὰ γὰρ οὕτω διὰ πασῶν ὀδεύσας τὴν ἀρετὴν, καὶ καθάπερ ἐν πυρὶ τοῖς πειρασμοῖς χωνευθεὶς, καὶ φανεὶς ἀθλητὴς δοκιμώτατος, ἆθλον ἀρετῆς τὴν βασιλείαν κομίζεται. διαδέχεται θρόνος τὸ δεσμωτήριον, καὶ γίνεται τῆς Αἰγύπτου Δεσπότης, ὁ τῆς μοιχαλίδος δεσμώτης, φύλαξ εὐθηνίας, καὶ λιμοῦ κυβερνήτης. ἀδελφικοῦ γὰρ φθόνου γίνεται δήμιος, καὶ δικαστής. καὶ φέρει τροφῆς ἱκέτας, τοὺς τῇ πράσει τραφέντας. καὶ τῶν ὀνείρων ὀρθοῦται τὰ δράγματα. λαβὼν τοίνυν τὴν τοῦ ἀμύνασθαι δύναμιν, εἴδωμεν οἷος ἐγένετο. ἆρα μὴ τοὺς λάμποντας τῆς ἀρετῆς χαρακτῆρας ἠμαύρωσε; ἆρα μὴ γέγονεν ἡ τῆς ἀξίας ὑπόθεσις, κατορθωμάτων ὑποπτώσεώς τε, καὶ ὑφαίρεσις; οὐδαμῶς. λαβὼν γὰρ ὑπὸ χεῖρα τοὺς ἀδικήσαντας, καὶ κολάζειν οὐκ ἀδελφοὺς, ἀλλὰ πολεμίους δυνάμενος, τί ποιεῖ; ὅρα τὸν παράδοξον ἐκδικήσεως τρόπον. φθόνον, καὶ πρᾶσιν, καὶ θηριώδη μανίαν διὰ φιλανθρωπίας ἀμύνεται· παίζει τὸν φόβον, καὶ ἀπειλὴν δραματουργεῖ, καὶ ὀργὴν ὑποκρίνεται. οὐκ ἐνεγκὼν δὲ οὐδὲ τοῦ θυμοῦ τὴν ὑπόκρισιν, δάκρυσιν ἀληθινοῖς τὸ πρᾶγμα διέλυσε. καὶ τῷ πόθῳ νικηθεὶς ἐξαγγέλλει τὰ πλάσματα. ἀπολογίαν ὑπὲρ τῶν ἀδικησάντων, ὁ ἀδικούμενος ζητεῖ. καὶ τὴν ψυχὴν ἐκκαλύψας, εἰλικρινῶς τοὺς ἀδελφοὺς περιπτύσσεται. καὶ χείλεσι γνησίοις ἀσπάζεται τοὺς ἀνηλεῶς τοῖς ὀδοῦσι σπαράξαντας. ἔχεις τοῦ Ἰωσὴφ τὴν ζωὴν, ἀρετῆς παντοίας διδάσκαλον. εἶδες πατρικοῦ γήρως θεραπευτὴν, προστάγμασι θείοις ἀκόλουθον, ἀγαπῶντα μισοῦντας, τῆς νέας διαθήκης τὸ πολίτευμα προγρά-

φων.

φωνοῦντα, ἥμερον πολεμούμενον καὶ ὑπομένοντα, δουλεύοντα καὶ μὴ τὴν ἐλευθερίαν ἀποτιθέμενον, ὀφθαλμοῖς δεσποίνης βαλλόμενον καὶ τῷ τῆς σωφροσύνης πόθῳ νικῶντα πόθον ἀκόλαστον, συκοφαντούμενον καὶ σιωπῶντα, ἐν ἐξουσίαις φιλάνθρωπον, καὶ ἐν δυνάμει πρᾳότατον, μιμητὴν τῆς θείας ἀγαθότητος· ὧν γένοιτο μαθητὰς γενομένους, τῶν ἐπουρανίων ἀγαθῶν ἀξιωθῆναι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΜΩΥΣΗΝ.

ΠΟλλὰ τὰ πρὸς ὕμνον κινοῦντα τοῦ Θεοῦ τοὺς ἀνθρώπους, πολλὰ τὰ πρὸς εὐχαριστίαν τοὺς εὐγνώμονας ἄγοντα· ὅποι γάρ τις περιενέγκοι ἂν τὸ βλέμμα, εὐεργεσίας πηγὰς ἀεὶ χεομένας ὁρᾷ. ἥλιος μὲν ἐπιτάγματι τρέχων, καὶ τοῖς ἐν γῇ βαδίζουσι τὰς ἀκτῖνας ἐκχέων· σελήνη δὲ διαδεχοῦσα τὸ φέγγος, καὶ τῆς νυκτὸς ἡμεροῦσα τὸ πάθος· αὐξήσει δὲ, καὶ μειώσει ποικιλομένη, τὰς τοῦ ἀέρος εὐκράτους ἀπεργάζεται κράσεις. ἀστέρες τὸν οὐρανὸν σταδιεύοντες, καιρῶν σημεῖα τοῖς ἀνθρώποις ὑπάρχουσι· γῆ ποσὶ μὲν ὑποβέβηκε χρῆμα, χερσὶ δὲ καὶ χρείαις ἀνθρώπων ὑπέστρωται, τὰς δὲ τῶν καρπῶν ὠδῖνας ἀνθρώπῳ μόνῳ προσφέρει. εἰ γὰρ καὶ τῶν ἀλόγων ἡ φύσις συναπολαύει τῆς δωρεᾶς, ἀλλ᾽ ἀνθρώπῳ κυρίως ἡ τῆς γῆς παρεσκεύασται τράπεζα. καὶ τοῦτο σαφῶς ὁ λυρῳδὸς Προφήτης ἀνακρουόμενος οἶδεν· ἐξανατέλλων γὰρ, φησὶ, χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. ὡς ἀνθρώπου θεράποντας τρέφει τῶν ἀλόγων τὰ γένη, ὡς τῆς τούτων τροφῆς, ἀνθρώπου γινομένης τιμῆς. τοιγαροῦν, τῆς ὑπὲρ τούτων εὐχαριστίας, μόνος ὀφειλέτης καθέστηκεν ἄνθρωπος, καὶ μόνος εὐγνωμοσύνης τῷ Δεσπότῃ χρεώστης. πολλὰ μὲν οὖν, ὡς ἔφην, τὰ πρὸς ὑμνῳδίαν

κινοῦνται τοῦ κτίσαντος· μοχθηρίᾳ δὲ γνώμης ἄνθρωποι πολλάκις κινούμενοι τὸν εὐεργέτην ὡς ἐπίβουλον μέμφονται· ἕτεροι δὲ τὰς τῆς εὐεργεσίας προφάσεις εἰδώλοις ἀνάπτουσιν· ἄλλοι πρὸς βλασφημίαν τὴν γλῶτταν ἐγείρουσιν· ἕτεροι ταῖς θείαις οἰκονομίαις πολεμοῦσιν, οὐκ αἰσχυνόμενοι· ἕτεροι μηχαναῖς λογισμῶν τῶν θείων βουλευμάτων κρατῆσαι βιάζονται· φερέσθω μάρτυς ἡμῖν τῶν εἰρημένων, τὰ κατ' Αἴγυπτον πράγματα, ἡ Φαραὼ πρὸς Θεὸν φιλονεικία, Μωϋσέως ἡ γέννησις, ἣν καὶ πολεμοῦντες πεπτώκασιν οἱ Αἰγύπτιοι· θαυμάσας γάρ ποτε Θεὸς τοῦ Ἀβραὰμ τὸ τῆς γνώμης φιλόθεον, εὐγενείᾳ φύσεως τὸν τρόπον ἀμείβεται· καὶ Πατέρα πολλῶν ἀναγράψας, ψάμμῳ θαλάττης, καὶ ἄστροις Οὐρανοῦ συνέτεινε τοῦ γένους τὸν ἀριθμόν· ὑποσχόμενος, τοῖς ἔργοις ἐκύρου τὰ ἐπαγγέλματα· εἴκουσα δὲ ἡ φύσις τῷ πλάστῃ, πλουσίας τοῦ γένους τὰς ἀντιδόσεις εἰργάζετο. ἀλλ' Αἴγυπτος ἀντεστρατήγει Θεῷ, καὶ Φαραὼ φιλονεικῶν τῷ Θεῷ, τὴν τοῦ γένους αὔξησιν κολούειν ἐπεχείρει· δεῦτε γάρ, φησι, κατασοφισώμεθα αὐτούς, καὶ ἐὰν μὲν ᾖ ἄῤῥεν, εἰς τὸν ποταμὸν ῥίψατε αὐτό· ἐὰν δὲ θῆλυ, ζωοποιήσατε. καὶ τὴν ἄῤῥενα γονὴν καταδικάζει τῷ φιλανθρώπῳ, κείρων μὲν τὰς τῆς φύσεως ἀφορμάς, δρόμον δὲ γαστρὸς ἐπέχων τοῖς ἐπιτάγμασι. καὶ πᾶσιν γράμμα βασιλέως ἐπολιόρκει τὴν φύσιν· καὶ ἦν δρᾶμα παράδοξον. τοῦ δημιουργοῦ μὲν ἔπλαττον χεῖρες, βασιλέως δὲ χεῖρες τοῖς ὕδασι τὴν πλάσιν ἀπήλειφον, καὶ πανταχοῦ τῶν ὠδίνων ἦσαν κατάσκοποι, καὶ ποταμὸς τῶν τικτομένων ἐχειροτονεῖτο δήμιος. νόμος ἐγράφετο, καὶ φύσις ηὐθύνετο, καὶ πράσις ἐκρίνετο, ὠδῖνες κατεδικάζοντο, καὶ τόκος ἐδοκιμάζετο, καὶ φύσεως παῤῥησία σεσύλητο. ἐλόχα δὲ ποταμὸς τὰ τικτόμενα, καὶ διεδέχετο τὰς τῶν μητέρων γαστέρας, ἡ τῶν ῥευμάτων γαστήρ. ἄρτι βρέφος ἐτίκτετο, καὶ μήπω τὰς ἡλιακὰς ἀκτῖνας θεώμενον, πρὸς τὰς τοῦ ποταμοῦ ὠδῖνας ἐπέμπετο. πρᾶγμα πάντων ἐλεεινότατον.

φο-

φονεὺς ὁμοῦ, καὶ τάφος ὁ ποταμὸς τῶν τικτομένων ἐγίνετο, καὶ τόκος τοῦ θανάτου σύγχρονος. ἀναίρεσις τῇ γεννήσει συνέβαινε, καὶ μητέρες ἄχει τῶν ὠδίνων ἐρχόμεναι, γενέσθαι μητέρες ἀπηύχοντο, ἀγνοίᾳ τοῦ τικτομένου εἶναι τὰς ὠδῖνας δεχόμεναι, προλαβεῖν ἐπιθυμοῦσαι τοῦ θανάτου τὸν τόκον, ἵνα μὴ τοῦ ποταμοῦ μητέρες ὑπάρξωσι. πένθος ἦν αὐταῖς πρὸ τοῦ τόκου τὸ τικτόμενον· καὶ γαστέρες ἄκαρποι μετὰ γόνον καὶ τόκον ηὑρίσκοντο· καὶ τῶν ὠδίνων τὰ βέλη δεχόμεναι, δεῖξαι τῶν πόνων τοὺς καρποὺς οὐκ ἠδύναντο. τὰς ὠδῖνας ὑπέμενον, καὶ τῶν ὠδίνων τὸν καρπὸν οὐκ ἐδέχοντο· ἄωροι βότρυες ἐτρυγῶντο τῆς φύσεως. τοιαύτη μὲν ἡ τῶν ἀνθρώπων πρὸς τὸν Θεὸν φιλονεικία. ἠνείχετο δὲ τέως Θεὸς ὑπὸ ἀνθρώπων ἐμποδιζόμενος, καὶ τὴν ὑπόσχεσιν ἀδικουμένην ὁρῶν, ἐκαρτέρει, μετανοίας ἐλπίδι τὴν τιμωρίαν ἀναβαλλόμενος· ἐπέχων τὴν κόλασιν, ἵνα ἐνέγκῃ πρὸς αἴσθησιν. ὁρῶν δὲ μένον τὸ τῆς γνώμης ἀνένδοτον, περιτρέπει τὰ μηχανήματα· καὶ Μωϋσέα τεχθέντα τρέφειν αὐτὸν τὸν τῆς γεννήσεως κωλύοντα παρεσκεύαζε. φοβούμενοι γὰρ μετὰ τόκον τὸν ἔλεγχον οἱ γεννήσαντες, φόβῳ καὶ πόθῳ τὸ βρέφος μερίζουσι, καὶ μετὰ τῆς κιβωτοῦ τοῖς τοῦ ποταμοῦ ῥείθροις πιστεύουσι, τῇ τῆς ἐπινοίας περιβολῇ τὸ βρέφος τειχίσαντες. ὁ δὲ φέρεται μὲν ἀκινδύνως τῷ ῥεύματι, κατὰ τοῦ πολεμοῦντος νόμου σωζόμενος. ἐφείδετο γὰρ βρέφους ὁ ποταμὸς κελευόμενος, οὗ τῇ ῥάβδῳ μετ' οὐ πολὺ καὶ τὸ πέλαγος ἀνεκόπτετο. ἐφείδετο τοῦ βρέφους ὁ ποταμὸς, οὗ τῇ ῥάβδῳ καὶ αὐτὸς πληττόμενος εἰς αἷμα τὸ νᾶμα μετέβαλλε. πλέοντος οὖν παραδόξως τοῦ βρέφους, θεωρὸς ἡ τοῦ καινοῦ νομοθέτου θυγάτηρ ἐπέμπετο· καὶ ἁλοῦσα τῇ θέᾳ, τῷ πόθῳ μήτηρ ἐγίνετο, καὶ Φαραὼ συνοικεῖ τὸ βρέφος μηκέτι φοβούμενον τὸν κίνδυνον. ἀληθὴς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· ὁ τῷ νόμῳ σφαγεὺς, ὁ τὰς τικτούσας οὐκ εἶναι μητέρας, τὴν μὴ τεκοῦσαν συνεχώρει γενέσθαι μητέρα· καὶ βρέφος ἐσώζετο, καὶ νόμος ἐλύετο, παιδίου κρατεῖν οὐ δυ-

νόμενος· ὦ τῆς ἀπορρήτου, καὶ θείας ὄντως οἰκονομίας· ἕτερος νομοθέτης φιλανθρωπίας κατ᾽ Αἰγυπτίων ἐτρέφετο. φόβος ἔξω, καὶ δικαστήρια κατὰ τῆς φύσεως. καὶ ὁ τικτόμενος ἐκολάζετο, ἔγκλημα φέρων τὴν γέννησιν, ὅτι προῆλθε τῆς μήτρας τιμωρούμενος, καὶ νόμος Αἰγύπτιος κατὰ τοῦ νόμου τῆς φύσεως ἐστρατεύετο· ἔνδον δὲ Μωϋσῆς ἐν ταῖς τῶν φθονούντων ἀγκάλαις ἐτρέφετο, τῷ παιδοκτόνῳ νόμῳ ζωὴν δεικνύων ἀντίπαλον· καὶ τὴν τοῦ Φαραὼ τυραννίδα πατῶν, ὑπὸ τὴν πατουμένην ἐστέργετο. αὐξηθεὶς δὲ τὸ βρέφος γίνεται πρὸς τὸ γένος αὐτόμολον, καὶ βασιλικῆς ἀξίας τὰς ἐλπίδας ἀποσειόμενον, τὴν ἐξ Ἀβραὰμ ἐπόθει συγγένειαν· καὶ ἀσεβοῦς πλούτου τὴν μετ᾽ εὐσεβείας πενίαν προτιμοτέραν ἐνόμιζε. καὶ οὔτε τροφὴ τὴν γνώμην μετέβαλεν, οὔτε χρόνος τὸν τρόπον μετέστησεν· ἀλλὰ τῆς θείας ἦν ἐραστὴς θεραπείας, διδοὺς τῷ Παύλῳ περὶ αὐτοῦ μετ᾽ αὐτὸν ἀναφθέγγεσθαι· μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν. ὀργὴ τοῦ Βασιλέως ἐντεῦθεν, ὑπόθεσιν ἔχουσα τὴν εὐσέβειαν· ὁ δὲ Μωϋσῆς, ἦν ἐν φυγῇ, μεταβαίνων ἀντὶ τρόπου τὸν τόπον. ἐπιφαίνεται Θεὸς ἐν τῷ ὄρει ποιμαίνοντι. συγχωρεῖ γὰρ αὐτῷ καὶ ποιμαίνειν Θεὸς, ἵνα ἐκ ποιμένος προβάτων, ποιμένα τοῦ Ἰσραὴλ ἀναδείξῃ, καὶ ποιμαντικὴν ἐν μικροῖς μελετήσαντι, τὴν τῶν ὁμοφύλων ἡγεμονίαν πιστεύσειεν. ἐν τούτοις δὲ ὄντι Θεὸς ἐπιφαίνεται, ἆθλον τὴν ἀθέατον θέαν ὑπὲρ εὐσεβείας πόνων δωρούμενος. καὶ δείκνυσι πῦρ ἐπὶ βάτου φλεγόμενον, καὶ τὰ πυρὸς οὐκ ἐργαζόμενον, ἄνθος πυρὶ στεφανούμενον, καὶ φυτὸν εὐτελὲς φλογὸς ἀναπτομένης ἀντίπαλον. καὶ φωνὴ φερομένη, τὸν Μωϋσέα κατ᾽ Αἰγυπτίων καθώπλιζε, στρατηγικὸν ὑπὲρ τοῦ λαοῦ διδοῦσα τὸ σύνθημα. τούτοις παρορμηθεὶς ὁ Μωϋσῆς τὸν λαὸν ἐξῄτειτο· ἀντιπράττοντος δὲ πάλιν τοῦ Φαραὼ, θεηλάτοις Αἴγυπτος ἐτιτρώσκετο μάστιξιν. ἐκεῖ ποταμὸς ῥάβδῳ τυπτόμενος ἐφοινίσσετο· ἐκεῖ βατράχων ἔνυδρος κατ᾽ Αἰγυπτίων

στρατόπεδα· ἐξ ἀέρος ἀκρίδες νέφη τῇ πτήσει μιμούμεναι· πάλιν σκότος ἐπεκράτει τὸ φῶς, καὶ τὴν τῆς ἡμέρας ὁ χρόνος νυκτὸς παρεκάλυμμα· ἐκεῖ χάλαζα τῷ πυρὶ συνεφράττετο, καὶ παρὰ φύσιν ὁμονοεῖ τὰ τῇ φύσει μαχόμενα, τὸν τῆς φύσεως πόλεμον κατ' Αἰγυπτίων μετάγοντα· ἐκεῖ θάνατος τῶν πρωτοτόκων τῶν πρωτολόντων ὠδίνων κατεβόσκετο, καὶ τῶν τόκων ἡ τάξις θανάτου κλῆσις ἐγίνετο· καὶ τῶν μαστίγων ὁ δρόμος ἐφέρετο, ἕως ἡ θάλαττα πληγεῖσα τῇ ῥάβδῳ, τοῖς μὲν ὁδὸς, τοῖς δὲ τάφος ἐγίνετο· καὶ πέλαγος τοῖς μὲν ἐξ Ἀβραὰμ πρὸς ἤπειρον μετεπήγνυτο, τοὺς δὲ τοῖς κύμασιν ἐναγκαλίζετο. τὸ πλεόμενον ἐπεζεύετο, καὶ πόδες ἀνθρώπων κεκονιμένοι τὸν βυθὸν ἐβάδιζον. οὕτως ἀντιπράττοντας φέρειν μὲν οἶδε διὰ μακροθυμίαν Θεὸς, τῇ τῆς τιμωρίας ὑπερθέσει προθεσμίαν διδοὺς εἰς μετάγνωσιν· ὁρῶν δὲ πρὸς τὸ τῆς φιλανθρωπίας οὐχ ὑπείκοντας φάρμακον, πρὸς δικαστὴν τὸν ἰατρὸν μεταβάλλει, καὶ σωφρονίζει κολάσεσι τοὺς τὰς συμβουλὰς ἀτιμάσαντας. Αἰγυπτίους μὲν οὖν οὕτω κολάζει Θεός. Μωϋσῆς δὲ τοῦ λαοῦ παιδευτὴς καταστὰς, τὸ τῆς θεογνωσίας παραδίδωσι μάθημα. ἐβούλετο γὰρ ἐξελθόντας Αἰγύπτου, μηδὲν ἐπάγεσθαι τῆς Αἰγυπτιακῆς ἀσεβείας ἐφόδιον. οὗτος γίνεται τῶν τῆς κτίσεως ἀπορρήτων συγγραφεὺς, ὁ τοῦ κόσμου τὴν ποίησιν, βιβλίον ἀπεργασάμενος· ὁ τὴν πολυπλάνητον στήσας ἀσέβειαν διὰ τῆς κοσμοποιΐας διδάξεως· ὁ λύσας κατηγορίαν τῆς κτίσεως. ὁ πρῶτος ἐμβοήσας ἀνθρώποις Θεὸν εἶναι τοῦ παντὸς ποιητὴν, καὶ πείσας μὴ μεταφέρειν ἀπὸ τοῦ κτίσαντος πρὸς τὰ κτισθέντα τὸ σέβας· ὁ διδάξας μὴ προσκυνεῖν τὴν ὁμόδουλον, εἰπών· ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν. εἰ θαυμάζεις, ἀγαπητὲ, τὰ κτισθέντα, προσκύνει τὸν ἐργασάμενον· εἰ χαίρεις τοῖς κτίσμασι, μὴ ἀτιμάσῃς τὸν κτίσαντα, μηδὲ τοῦ δημιουργοῦ τὴν δόξαν τοῖς γεγονόσι περιβάλλε· ἀρνεῖται γὰρ τὸ τοῦ κτίσαντος ἡ κτίσις ὑποδέχεσθαι σέβας· φο-

βεῖ

βεῖται τὴν τιμὴν ὡς ἀπωλείας ὑπόθεσιν. προσκυνεῖν πέφυκεν, οὐ προσκυνεῖσθαι μεμάθηκε. καὶ πάλιν ἑτέρωθι· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. πρόῤῥιζος εἰδωλολατρείας ἀναίρεσις· πολυπλανοῦς δουλείας ἐλευθερία· πρὸς ποικίλας δαιμόνων θεραπείας τὴν ψυχὴν ἐῤῥιμμένην ἀνίστησι. τί γὰρ τῶν τῆς κτίσεως μερῶν ὑπῆρχε τοῖς ἀνθρώποις ἀθρήσκευτον; οἵγε ἄχρις ἑρπετῶν, καὶ κτηνῶν, τὸ τοῦ κτίσαντος κατεβίβασαν σέβας, καὶ φύσις ἄλογος ὑπὸ τῶν λογικῶν ἐθρησκεύετο. παρ' Αἰγυπτίοις δὲ τὸ πάθος εἶχεν ἐπίτασιν. οὐκ ἠρκοῦντο γὰρ τοῖς ἠπειρώταις, ἀλλὰ καὶ παρὰ τοῦ ὕδατος θεοὺς ἐδανείζοντο· καὶ πάντα θεὸς παρ' ἐκείνοις· ταύτην καὶ παρ' Ἑβραίοις τὴν νόσον ὁρῶν ὁ Μωϋσῆς ἐμφωλεύουσαν, ἐκμοχλεύων τὸ πάθος ἐβόα· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. οὔπω γὰρ τὴν Τριάδα κηρύττειν καιρὸς, οὔπω τὰς ὑποστάσεις κηρύττειν ἠδύνατο· ἔτι γάλακτι τρέφει θεογνωσίας τοὺς νηπιώδεις τὴν ἔννοιαν· ἠρκέσθη μόνῃ τῇ τῆς θεογνωσίας διδασκαλίᾳ, μίαν αὐτοῖς φύσιν ὑπαγορεύων εἶναι θεότητος, ἵνα δῆμον ὅλον θεῶν τῆς ψυχῆς ἐξορίσῃ· ἤρκει γὰρ τοῖς ἐκ τοιαύτης πλάνης ἀποσωζομένοις τὰ πρῶτα τῆς θεογνωσίας μαθήματα. διὰ τοῦτο διδάξας τὴν Μονάδα τῆς φύσεως, τὴν Τριάδα τῶν ὑποστάσεων διδάσκειν κατὰ καιρὸν ὑπερέθετο· τὸ γὰρ τῆς ψυχῆς δυσπαθὲς, ἐπισφαλὲς πρὸς ἐπίγνωσιν. φοβεῖται γὰρ μὴ Τριάδα διδάσκων θεότητος, πολλούς τινας θεοὺς παρ' Ἰουδαίοις κηρύττειν νομίζηται. αἰνίγμασι δὲ μόνοις τέως χειραγωγεῖ τοὺς ἀκούοντας, καὶ μικρὸν τῆς αὐγῆς ὑπανοίγων ἐπαύετο. καθάπερ οἱ τοὺς ἄρτι τοῦ νοσεῖν ὀφθαλμοὺς παυσαμένους πρὸς τὸ φέγγος γυμνάζοντες, τοῦ μὲν ἡλίου τὰς ἀκτῖνας τοῖς πεπονθόσιν ἀποτειχίζουσι, διά τινος δὲ παραπετάσματος τοὺς ὀφθαλμοὺς τῷ φωτὶ ἀποκναίουσι. τοῦτο ποιῶν ὁ μακάριος Μωϋσῆς, καὶ τυφλώττοντα τῷ τῆς εἰδωλολατρείας πάθει τὸν λαὸν διὰ θεογνωσίας ἰώμενος, οὔπω θαῤῥεῖ τὴν ἅπασαν τῆς γνώσεως αὐγὴν

ἐκπετάσαι· ἀμυδροῖς δὲ φέγγεσι τοῖς αἰνίγμασι χρώμενος, ὑπανοίγει τῆς Τριάδος τὸ φῶς. τί γάρ φησι; Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν. ἓν ἀμινύει, καὶ τρίτον ἐπονομάζει. περὶ ἑνὸς διαλέγεται, καὶ τριπλασιάζει τὴν φωνὴν, ἵνα τὰς ὑποστάσεις μαρτύρηται· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. μονονουχὶ λέγων, εἷς τὴν οὐσίαν, ἀλλ' ἐν τρισὶν ὑποστάσεσι. καὶ πάλιν ἑτέρωθι· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· τῇ τῆς φωνῆς προφορᾷ τὰς ὑποστάσεις αἰνίττεται. καὶ πάλιν· δεῦτε καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. καὶ πολλαχοῦ τῆς θείας Γραφῆς τοὺς τοιούτους διασπείρει σπινθῆρας, οὕτω μὲν τοῖς ἀσθενέσιν ὀφθαλμοῖς ἐξαπλώσας τὸ φέγγος, τοῖς δὲ τελείοις τῆς στερεᾶς τροφῆς ταμιευόμενος τὴν ἀπόλαυσιν. καὶ μὴ θαυμάσῃς ὁρῶν Ἰουδαῖον ἐναπομένοντα τῇ πολυετεῖ νηπιότητι, ὁπότε μετὰ Μωσέα, καὶ Προφήτας, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, μετὰ τὴν τῶν μυστηρίων ἐπίγνωσιν, αἱρετικῶν ξίφος τῷ κτίσαντι μάχεται, τὸν δημιουργὸν ὑπουργὸν ὀνομάζοντες, καὶ δοῦλον τὸν Δεσπότην προσαγορεύοντες. οἱ δὲ ἕτεροι τὸν πρὸς τὸ πνεῦμα πόλεμον ἀνεδέξαντο, καὶ φέρουσιν ὄνομα τῆς μάχης τὸ σύμβολον. ἕτεροι γίνεσθαι Θεὸν ἐφαντάσθησαν ἄνθρωπον, δι' ἑτέρας ὁδοῦ πρὸς κτίσματος φύσιν τὸν κτίστιν κατάγοντες, τὴν τῆς σαρκὸς λῆψιν, γένεσιν τοῦ λαβόντος ὑπολαμβάνοντες, καὶ πάθεσιν ἀνθρωπίνοις τὸν ἀπαθῆ καταδικάζοντες. ἀλλ' ἡμεῖς τὴν τοῦ μακαρίου Παύλου σαφῶς πρὸς αὐτοὺς ἀναβοῶμεν φωνήν. ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. λαβὼν δι' ἡμῶν, οὐ γενόμενος καθ' ἡμᾶς. μεμένηκε γὰρ ὃ ἦν, λαβὼν ὃ οὐκ ἦν. τοῦ Εὐαγγελίου λέγοντος· καὶ ὁ λόγος σὰρξ ἐγένετο· δηλονότι, ὃ οὐκ ἦν ἐγένετο, μείνας ὅπερ ἦν. καὶ οὕτω δογματίζεται τοῖς θεοφόροις κατὰ τὸν εἰπόντα Προφήτην· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΒΑΣΙΛΕΙΟΥ

## ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας,

## ΛΟΓΟΣ

### Εἰς Βαρλαὰμ Μάρτυρα.

10366

Πρότερον μὲν τῶν Ἁγίων οἱ θάνατοι κοπετοῖς ἐκοσμοῦντο καὶ δάκρυσιν. ἔκλαυσε σφοδρῶς τὸν Ἰακὼβ Ἰωσὴφ τεθνεῶτα. ἐκόψαντο καὶ τὴν Μωϋσέως τελευτὴν οὐ μικρῶς Ἰουδαῖοι. πολλοῖς καὶ τὸν Σαμουὴλ τετιμήκασι δάκρυσι. νῦν δὲ ἐπὶ ταῖς τῶν Ὁσίων τελευταῖς σκιρτῶμεν· ἡ γὰρ τῶν λυπηρῶν μετὰ τὸν σταυρὸν μεταβέβληται φύσις. οὐκ ἔτι θρήνοις τοὺς τῶν Ἁγίων δορυφοροῦμεν θανάτους, ἀλλ' ἐνθέοις χορείαις, τοῖς ἐκείνων ἐπορχούμεθα τάφοις· ὕπνος δὲ τοῖς δικαίοις ὁ θάνατος· μᾶλλον δὲ πρὸς κρείττω ζωὴν ἐκδημία. ἐντεῦθεν σκιρτῶσι σφαττόμενοι Μάρτυρες. ὁ γὰρ τῆς μακαριωτέρας ζωῆς πόθος τὴν τῆς σφαγῆς ὀδύνην νεκρὰν ἀπεργάζεται· οὐ βλέπει τοὺς κινδύνους, ἀλλὰ τοὺς στεφάνους ὁ Μάρτυς· οὐ φρίττει τὰς πληγὰς, ἀλλ' ἀριθμεῖ τὰ βραβεῖα· οὐχ ὁρᾷ τοὺς κάτω μαστιγοῦντας δημίους, ἀλλὰ τοὺς ἄνωθεν Ἀγγέλους εὐφημοῦντας φαντάζεται· οὐ σκοπεῖ τῶν κινδύνων τὸ πρόσκαιρον, ἀλλὰ τὸ τῶν ἐπάθλων αἰώνιον. λαμπρὸν καὶ παρ' ἡμῖν ἤδη τὸν ἀῤῥαβῶνα καρποῦται, ταῖς παρὰ πάντων ἐνθέοις εὐφημίαις προπεμπόμενος, καὶ μυρίους ἐκ τάφων σαγηνεύων δεσμίους. τοῦτο δὴ τὸ τῶν [illegible],

[illegible]

σήμερον Βαρλαὰμ πεπραγμένον. ἤχησε γὰρ ἡ πολεμικὴ τοῦ Μάρτυρος σάλπιγξ, καὶ τοὺς τῆς εὐσεβείας ὁπλίτας ὡς ὁρᾶτε συνήγαγεν. ὁ τοῦ Χριστοῦ κείμενος ἀθλητὴς ἐκηρύχθη, καὶ τὸ τῆς Ἐκκλησίας ἀνεπτέρωσε θέατρον. καὶ (ὡς ἔλεγε τῶν πιστῶν ὁ Δεσπότης, ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται) τέθνηκεν ὁ γενναῖος Βαρλαάμ, καὶ συγκροτεῖ πανηγύρεις· κατηνάλωται τάφῳ, καὶ συγκαλεῖ πρὸς ἑστίασιν. νῦν ἡμῖν ἀναβοῆσαι καιρός· ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; ἄγροικος ἡμῖν σήμερον ἡ ἀήττητος τῆς εὐσεβείας διδασκαλία. ὃν εἷλκε μὲν τύραννος ὡς εὐάλωτον θήραμα, ἔγνω δὲ μετὰ τὴν θήραν ὁπλίτην ἀχείρωτον· ὃν ἐγέλα μὲν παρακεκομμένα φθεγγόμενον, ἔφριξε δὲ Ἀγγελικὰ νεανιευόμενον· οὐ γὰρ συνεβαρβάριζεν ὁ τρόπος τῷ τῆς γλώττης ὀργάνῳ, οὐδὲ ταῖς συλλαβαῖς συγχωλεύων ὁ λογισμὸς ἑωρᾶτο· ἀλλ' ἦν δεύτερος Παῦλος, καὶ Παύλου φθεγγόμενος, εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. ἐνάρκησαν μαστίζοντες δήμιοι, ἀλλ' ἀκμαιότερος ὁ Μάρτυς εὑρίσκετο. αἱ τῶν ξεόντων ἐξενευρίζοντο χεῖρες, ἀλλ' ὁ τοῦ ξεομένου λογισμὸς οὐκ ἐκάμπτετο. τὰς τῶν νεύρων αἱ μάστιγες ἁρμονίας παρέλυσαν, ἀλλ' ὁ τῆς πίστεως ἀκριβέστερον ἐπεσφίγγετο τόνος. διασκαπτόμεναι πλευραὶ δεδαπάνηντο, ἀλλ' ἡ τοῦ φρονήματος ἤνθει φιλοσοφία. τῆς σαρκὸς αὐτοῦ τὸ πλέον νενέκρωτο, ἀλλ' ὡς μήπω τῶν ἀγώνων ἀρξάμενος ἤκμαζεν. ὅταν γὰρ ὁ τῆς εὐσεβείας ἔρως τὴν ψυχὴν προκατάσχῃ, ἅπαν αὐτῇ πολέμιον καταγέλαστον εἶδος, καὶ πάντες αὐτὴν ὑπὲρ τοῦ ποθουμένου καταξέοντες τέρπουσι μᾶλλον, ἢ πλήττουσι. μαρτυρεῖ μοι τῶν Ἀποστόλων ὁ πόθος, τερπνὰς αὐτοῖς ποτὲ τὰς παρὰ Ἰουδαίων ἐργαζόμενος μάστιγας. ἐπορεύοντο γάρ, φησι, χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι. τοιοῦτος καὶ σήμερον ἡμῖν ὁ πλίτης ἡμέτερος(?)

*μνημενος, εὐφροσύνην τὰς κολάσεις ἡγούμενος, ῥόδοις

πισὶ βάλλεσθαι νομίζων· ταῖς μάστιξι, τὰς τῆς ἀσεβείας σκιὰς δραπετεύων, ὡς βέλη· καπνοῦ σκιὰν τὸν δικαστικὸν θυμὸν λογιζόμενος, πήγματα δορυφόρων ἀπηγριωμένα γελῶν, ὡς ἐπὶ στεφάνοις, τοῖς κινδύνοις χορεύων· ταῖς πληγαῖς ὡς τιμαῖς εὐφραινόμενος, ταῖς σφοδροτέραις τιμωρίαις, ὡς βραβείοις ἐνσκιρτῶν λαμπροτέροις. ξίφη διαπτύων γυμνούμενα· χεῖρας δημίων ὡς κηροῦ μαλακωτέρας δεχόμενος. κολαστήριον ξύλον ὡς σωτήριον ἀσπαζόμενος· κλείσμασι δεσμωτηρίων, ὡς λειμῶσι τερπόμενος· βασάνων ἐπινοίαις, ὡς ἀνθέων ποικιλίαις ἡδόμενος. πυρὸς εὐτονωτέραν δεξιὰν κεκτημένος· (ὃ δὴ τελευταῖον αὐτῷ παρὰ τῶν πολεμούντων προσήχθη μηχάνημα.) βωμὸν γὰρ πρὸς τὴν τῶν δαιμόνων συνήθειαν ἀνακαύσαντες, ἱστᾶσι παρ' αὐτῷ ἀγαγόντες τὸν Μάρτυρα, καὶ τοῦ βωμοῦ τὴν δεξιὰν ὑπτίαν ἐπαιωρῆσαι κελεύσαντες, ὡς χαλκῷ θυσιαστηρίῳ τῇ χειρὶ κατεχρήσαντο, λιβανωτὸν αὐτῇ κακούργως ἐνθέντες φλεγόμενον· ἤλπιζον γὰρ τῇ τοῦ πυρὸς βίᾳ τὴν χεῖρα καταπαλαισθεῖσαν, ἀνάγκῃ τοῦ βωμοῦ ταχέως λιβανωτὸν ἐπαφήσειν· φεῦ τῆς πολυπλόκου τῶν ἀσεβῶν μαγγανείας· ἐπειδὴ μυρίοις, φησὶ, τὴν γνώμην οὐκ ἐκάμψαμεν τραύμασι, κάμψωμεν ἐν φλογὶ τοῦ φιλονείκου παλαιστοῦ κἂν τὴν χεῖρα. ἐπειδὴ ποικίλαις μηχαναῖς τὴν ψυχὴν οὐκ ἐσείσαμεν, τὴν δεξιὰν γοῦν πυρὶ προσαγαγόντες σαλεύσωμεν. ἀλλ' οὐδὲ ταύτης οἱ δείλαιοι τῆς ἐλπίδος ἀπώναντο· ἡ μὲν γὰρ φλὸξ τὴν χεῖρα διέτραινεν. ἔμενε δὲ ἡ χεὶρ, ὡς τέφραν τὴν φλόγα βαστάζουσα· οὐκ ἔδωκε τῷ πολεμοῦντι πυρὶ καὶ τοὺς φυγάδας τὰ νῶτα, ἀλλ' ἄτρεπτος ἑστήκει καὶ φλογὸς ἀριστεύουσα, καὶ τὰς τοῦ Προφήτου λέγειν τῷ Μάρτυρι διδοῦσα φωνάς· εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, καὶ τοὺς δακτύλους μου εἰς πόλεμον. πῦρ χειρὶ συνεπλέκετο, καὶ τοῦ πυρὸς τὰ τῆς ἥττης εὑρίσκετο· φλογὶ καὶ μάρτυρος δεξιᾷ συνεκροτεῖτο πάλη, ἀλλ' ἦν τῆς δεξιᾶς καινή τις τῶν παλαισμάτων ἡ νίκη· τῆς μὲν φλο-

γὸς διὰ μέσου τῆς χειρὸς ἐκπιπτούσης, τῆς χειρὸς δὲ ἔτι τεταμένης πρὸς πάλην. ὢ χειρὸς φιλονεικοτέρας πυρός· ὢ χειρὸς, κάμπτεσθαι ὑπὸ πυρὸς μὴ μαθούσης. ὢ πυρὸς ἡττᾶσθαι χειρὶ διδαχθέντος· σίδηρος τῇ τοῦ πυρὸς εἴκει τυραννίδι χαυνούμενος· χαλκὸς τῇ τοῦ πυρὸς παραχωρεῖ δυναστείᾳ. οἶδε τούτῳ καὶ λίθων ἀντιτυπία νικᾶσθαι. ἀλλ' ὁ πάντα τοῦ πυρὸς βιαζόμενος τόνος, Μάρτυρος νῦν δεξιὰν τεταμένην οὐκ ἔκαμψε καπκαίων. εἰκότως ἂν ὁ Μάρτυς ἐπὶ τούτῳ πρὸς τὸν δεσπότην βοήσειεν. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με. τί σε ὦ γενναῖε τοῦ Χριστοῦ στρατιῶτα προσείπω; ἀνδριάντα καλέσω; πολύ σε τῆς καρτερίας ἠλάττωσα. τὸν μὲν γὰρ πῦρ μαλάττει δεξάμενον· σοῦ δὲ τὴν δεξιὰν ὀφθῆναι μόνον κινουμένην οὐκ ἔπεισεν. ἀλλὰ σίδηρον ὀνομάσω, καὶ τὴν τοιαύτην τῆς σῆς ἀνδρείας εὑρίσκω λειπομένην εἰκόνα· σὺ γὰρ μόνος ἔπεισας φλόγα μὴ βιάζεσθαι χεῖρα· σὺ μόνος ἐκτίσω θυσιαστήριον δεξιάν. σὺ μόνος δεξιᾷ φλεγομένῃ τὰ τῶν δαιμόνων ἐρράπισας πρόσωπα, καὶ τότε μὲν ἀπηνθρακωμένῃ χειρὶ τὰς ἐκείνων κεφαλὰς συγκατέτηξας· νῦν δὲ τεφρωθείσῃ ταύτῃ τὰς αὐτῶν στρατιὰς ἀποτυφλοῖς καταπάττων. ἀλλὰ τί παιδικοῖς ἐλαττῶ τὸν ἀριστέα ψελλίσμασι; ταῖς μεγαλοπρεπεστέραις τῶν εἰς αὐτὸν ὑμνῶν παραχωρήσωμεν γλώτταις. τὰς μεγαλοφωνοτέρας τῶν διδασκάλων ἐπ' αὐτὸν καλέσωμεν σάλπιγγας. ἀνάστητέ μοι νῦν, ὦ λαμπροὶ τῶν ἀθλητικῶν κατορθωμάτων ζωγράφοι· τὴν τοῦ στρατηγοῦ κολοβωθεῖσαν εἰκόνα ταῖς ὑμετέραις μεγαλύνατε τέχναις· ἀμαυρότερον παρ' ἐμοῦ τὸν στεφανίτην γραφέντα τοῖς τῆς ὑμετέρας σοφίας περιλάμψατε χρώμασιν. ἀπέλθω τῇ τῶν ἀριστευμάτων τοῦ Μάρτυρος παρ' ὑμῶν νενικημένος γραφῇ. χαίρω τῇ τοιαύτῃ τῆς ὑμετέρας ἰσχύος σήμερον νίκῃ ἡττώμενος. ἴδω τῆς χειρὸς πρὸς τὸ πῦρ ἀκριβέστερον παρ' ὑμῶν γραφομένην τὴν πάλην. ἴδω φαιδρότερον ἐπὶ τῆς ὑμετέρας τὸν παλαιστὴν

γε-

γεγραμμένον εἰκόνος. κλαυσάτωσαν δαίμονες, καὶ νῦν ταῖς τοῦ Μάρτυρος ἐν ἡμῖν ἀριστείαις πληττόμενοι. φλεγομένη πάλιν αὐτοῖς ἡ χεὶρ καὶ νικῶσα δεικνύσθω· ἐγγραφέσθω τῷ πίνακι, καὶ ὁ τῶν παλαισμάτων ἀγωνοθέτης Χριστός, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ εἰς τοὺς ΑΓΙΟΥΣ Τεσσαράκοντα Μάρτυρας.

ΜΑρτύρων μνήμης τίς ἂν γένοιτο κόρος τῷ φιλομάρτυρι; διότι ἡ πρὸς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας· δῆλον γάρ, ὅτι ὁ τοὺς γενναίους ἄνδρας ἀποδεχόμενος, ἐν τοῖς ὁμοίοις καιροῖς οὐκ ἀπολειφθήσεται τῆς μιμήσεως. μακάρισον γνησίως τὸν μαρτυρήσαντα, ἵνα γένῃ μάρτυς τῇ προαιρέσει, καὶ ἐκβῇς χωρὶς διωγμοῦ, χωρὶς πυρός, χωρὶς μαστίγων, τῶν αὐτῶν ἐκείνοις μισθῶν ἠξιωμένος. ἡμῖν δέ, οὐχ ἕνα πρόκειται θαυμάζειν, οὐδὲ δύο μόνους, οὐδὲ μέχρι δεκάδος ὁ ἀριθμὸς πρόεισι τῶν μακαριζομένων, ἀλλὰ Τεσσαράκοντα ἄνδρες, ὡς μίαν ψυχὴν ἐν διῃρημένοις σώμασιν ἔχοντες, ἐν μιᾷ συμπνοίᾳ καὶ ὁμονοίᾳ τῆς πίστεως, μίαν καὶ τὴν πρὸς τὰ δεινὰ καρτερίαν, τὴν ὑπὲρ τῆς εὐσεβείας ἔνστασιν ἐπεδείξαντο. πάντες παραπλήσιοι ἀλλήλοις, ἴσοι τὴν γνώμην, ἴσοι τὴν ἄθλησιν· διὸ καὶ ὁμοτίμων τῶν στεφάνων τῆς δόξης κατηξιώθησαν. τίς ἂν οὖν ἐφίκοιτο λόγος τῆς τούτων ἀξίας; οὐδὲ τεσσαράκοντα γλῶσσαι ἐξήρκεσαν ἂν τοσούτων ἀνδρῶν ἀρετὴν ἀνυμνῆσαι· καίτοι εἰ καὶ εἷς ἦν ὁ θαυμαζόμενος, τήν γε τῶν ἡμετέρων λόγων δύναμιν ἐξήρκει καταπαλαῖσαι, μὴ ὅτι πλῆθος τοσοῦτον, φάλαγξ στρατιωτική, σύστημα δυσκαταγώνιστον, ὁμοίως οὔτε πολέμοις ἀήττητον, καὶ ἐν ἐπαίνοις ἀπρόσιτον. δεῦρο δὴ οὖν εἰς μέσον αὐτοὺς

ἀγα-

ἀναγαγόντες διὰ τῆς ὑπομνήσεως, κοινὴν ἀπ' αὐτῶν τὴν ὠφέλειαν τοῖς παροῦσι καταστησώμεθα, προδείξαντες πᾶσιν, ὥσπερ ἐν γραφῇ, τὰς τῶν ἀνδρῶν ἀριστείας. ἐπεὶ καὶ πολέμων ἀνδραγαθήματα καὶ λογογράφοι πολλάκις, καὶ ζωγράφοι διασημαίνουσιν, οἱ μὲν τῷ λόγῳ κοσμοῦντες, οἱ δὲ τοῖς πίναξιν ἐγχαράττοντες, καὶ πολλοὺς ἐπήγειραν πρὸς ἀνδρείαν ἑκάτεροι. ἃ γὰρ ὁ λόγος τῆς ἱστορίας διὰ τῆς ἀκοῆς παρίστησι, ταῦτα γραφικὴ σιωπῶσα διὰ μιμήσεως δείκνυσιν. οὕτω δὴ καὶ ἡμεῖς ἀναμνήσωμεν τῆς ἀρετῆς τῶν ἀνδρῶν τοὺς παρόντας· καὶ οἱονεὶ ὑπ' ὄψιν αὐτῶν ἀγαγόντες τὰς πράξεις, κινήσωμεν πρὸς τὴν μίμησιν τοὺς γενναιοτέρους, καὶ οἰκειοτέρους αὐτοῖς τὴν προαίρεσιν. τοῦτο γάρ ἐστι Μαρτύρων ἐγκώμιον, ἡ πρὸς ἀρετὴν παράκλησις τῶν συνειλεγμένων· οὐδὲ γὰρ καταδέχονται νόμοις ἐγκωμίων δουλεύειν οἱ περὶ τῶν Ἁγίων λόγοι. διότι οἱ εὐφημοῦντες, ἐκ τῶν τοῦ κόσμου ἀφορμῶν τὰς ἀρχὰς τῶν εὐφημιῶν λαμβάνουσιν. οἷς δὲ ὁ κόσμος ἐσταύρωται, πῶς δύναταί τι τῶν ἐν αὐτῷ ἀφορμὴν παρέχειν εἰς περιφάνειαν; οὐκ ἦν μία πατρὶς τοῖς ἁγίοις· ἄλλος γὰρ ἀλλαχόθεν ὥρμητο· τί οὖν; ἀπόλιδας αὐτοὺς εἴπωμεν, ἢ τῆς οἰκουμένης πολίτας; ὥσπερ γὰρ ἐν ταῖς τῶν ἐράνων συνεισφοραῖς, τὰ παρ' ἑκάστου καταβληθέντα, κοινὰ τῶν εἰσενεγκάντων γίνεται, οὕτω καὶ ἐπὶ τῶν μακαρίων τούτων ἡ ἑκάστου πατρὶς, κοινὴ πάντων ἐστί. καὶ πάντες εἰσὶ πανταχόθεν, ἀντιδόντες ἀλλήλοις τὰς ἐνεγκούσας. μᾶλλον δὲ, τί δεῖ τὰς χαμαὶ κειμένας περιζητεῖν, ἐξὸν τὴν νῦν αὐτῶν πόλιν ἥτις ἐστὶν ἐννοεῖν; πόλις τοίνυν Μαρτύρων ἡ πόλις ἐστὶ τοῦ Θεοῦ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεὸς, ἡ ἄνω Ἱερουσαλὴμ, ἡ ἐλευθέρα, ἡ μήτηρ Παύλου, καὶ τῶν ἐκείνῳ παραπλησίων. γένος δὲ, τὸ μὲν ἀνθρώπινον, ἄλλο ἄλλου· τὸ δὲ πνευματικὸν, ἓν ἁπάντων· κοινὸς γὰρ πατὴρ αὐτῶν ὁ Θεός· καὶ ἀδελφοὶ πάντες, οὐκ ἀπὸ ἑνὸς καὶ μιᾶς γεννηθέντες, ἀλλ' ἐκ τῆς υἱοθεσίας τοῦ πνεύματος, εἰς τὴν διὰ τῆς ἀγάπης ὁμόνοιαν ἀλλήλοις συν-

ναρ-

ναρμοσθέντες. χορὸς ἕτοιμος, προσθήκη μεγάλη τῶν ἀπ' αἰῶνος δοξαζόντων τὸν Κύριον· οὐ καθ' ἕνα συναθροισθέντες, ἀλλ' ἀθρόως μετατεθέντες. τίς δὲ ὁ τρόπος τῆς μεταθέσεως; οὗτοι, μεγέθει σώματος, καὶ ἡλικίας ἀκμῇ, καὶ δυνάμει τῶν καθ' ἑαυτοὺς ἁπάντων διενεγκόντες, εἰς τοὺς στρατιωτικοὺς πλεῖον ἐτάχθησαν καταλόγους. καὶ δι' ἐμπειρίαν πολεμικὴν καὶ ἀνδρείαν ψυχῆς, ἤδη τὰς πρώτας εἶχον παρὰ βασιλέων τιμὰς, ὀνομαστοὶ παρὰ πᾶσιν ὄντες δι' ἀρετήν. Ἐπειδὴ δὲ περιηγγέλθη τὸ ἄθεον ἐκεῖνο καὶ ἀσεβὲς κήρυγμα, μὴ ὁμολογεῖν τὸν Χριστὸν, ἢ κινδύνους ἐκδέχεσθαι· ἠπείλητο δὲ πᾶν εἶδος κολάσεως, καὶ πολὺς ὁ θυμὸς καὶ θηριώδης παρὰ τῶν κριτῶν τῆς ἀδικίας κατὰ τῶν εὐσεβούντων ἐκεκίνητο. ἐπιβουλαὶ δὲ καὶ δόλοι κατ' αὐτῶν συνερράπτοντο, καὶ ποικίλα εἴδη βασάνων ἐπετηδεύετο· καὶ οἱ αἰκιζόμενοι ἀπαραίτητοι, τὸ πῦρ ἕτοιμον, τὸ ξίφος ἠκόνητο, ὁ σταυρὸς ἐπεπήγει, ὁ βόθρος, ὁ τροχὸς, αἱ μάστιγες· οἱ μὲν ἔφευγον· οἱ δὲ ὑπέκυπτον· οἱ δὲ ἐσαλεύοντο. τινὲς δὲ πρὸ τῆς πείρας, μόνην τὴν ἀπειλὴν κατεπλάγησαν. ἕτεροι δὲ ἐγγὺς γενόμενοι τῶν δεινῶν ἰλιγγίασαν· ἄλλοι δὲ τοῖς ἀγῶσιν ἐμβάντες, εἶτα διαρκέσαι πρὸς τὸ πέρας τῶν πόνων ἀδυνατήσαντες, περὶ τὰ μέσα πως τῆς ἀθλήσεως ἀπειπόντες, ὥσπερ οἱ ἐν πελάγει χειμαζόμενοι, καὶ ἃ εἶχον ἤδη ἀγώγιμα τῆς ὑπομονῆς ἐναυάγησαν. τότε δὴ οὗτοι οἱ ἀήττητοι καὶ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, παρελθόντες εἰς μέσους, ἐπιδεικνύντος τοῦ ἄρχοντος τὰ Βασιλέως γράμματα, καὶ τὴν ὑπακοὴν ἀπαιτοῦντος, ἐλευθέρᾳ τῇ φωνῇ, διαθαρσῶς καὶ ἀδεῶς, οὐδὲν ὑποπτήξαντες τῶν ὁρωμένων, οὐδὲ καταπλαγέντες τὰ ἀπειλούμενα, εἰς μέσους παρελθόντες, Χριστιανοὺς ἑαυτοὺς ἀνεκήρυξαν. ὢ μακάριαι γλῶσσαι, ὅσαι τὴν ἱερὰν ἐκείνην ἀφῆκαν φωνήν, ἣν ἀὴρ μὲν δεξάμενος ἡγιάσθη, Ἄγγελοι δὲ ἀκούσαντες ἐπεκρότησαν, διάβολος δὲ μετὰ δαιμόνων ἐτραυματίσθη, Κύριος δὲ ἐν Οὐρανοῖς ἀπεγράψατο. εἶπον τοίνυν ἕκαστος εἰς

τὸ

τὸ μέσον παρελθών· Χριστιανός εἰμι. καὶ ὥσπερ οἱ ἐν τοῖς σταδίοις οἱ ἐπ᾽ ἄθλησιν παροδεύοντες, ὁμοῦ τε λέγουσιν ἑαυτῶν τὰ ὀνόματα, καὶ ἐπὶ τὸν τύπον τῆς ἀγωνίας μεθίστανται, οὕτω δὴ καὶ οὗτοι τότε, ῥίψαντες τὰς ἀπὸ γενέσεως αὐτοῖς ἐπιφημισθείσας προσηγορίας, ἀπὸ τοῦ κοινοῦ Σωτῆρος ἕκαστος ἑαυτὸν ἀνηγόρευον. τοῦτο ἐποίουν ἅπαντες, τῷ προλαβόντι ἑαυτὸν συνάπτων ὁ ἐφεξῆς· ὥστε ἐγένετο πάντων προσηγορία μία. οὐκ ἔτι γὰρ ὁ δεῖνα, ἢ ὁ δεῖνα, ἀλλὰ Χριστιανοὶ πάντες ἀνεκηρύττοντο. τί οὖν ὁ κρατῶν τότε; (δεινὸς γὰρ ἦν καὶ ποικίλος, τὰ μὲν θωπείαις ὑπελθεῖν, τὰ δὲ ἀπειλαῖς καταστρέψαι) πρῶτον μὲν αὐτοὺς κατεγοήτευε ταῖς θωπείαις, τὸν τόνον τῆς εὐσεβείας ἐκλύειν πειρώμενος. μὴ προδῶτε ὑμῶν, λέγων, τὴν νεότητα, μηδὲ θάνατον ἄωρον τῆς ἡδείας ταύτης ζωῆς διαμείψητε. ἄτοπον γὰρ τοὺς ἐν τοῖς πολέμοις ἀριστεύειν συνειθισμένους, τὸν τῶν κακούργων θάνατον ἀποθνήσκειν. πρὸς τούτοις χρήματα, τὰ μὲν ὑπισχνεῖτο, τὰ δὲ ἐδίδου. τιμὰς ἐκ βασιλέως, καὶ ἀξιωμάτων διανομάς. καὶ μυρίαις αὐτοὺς ἐπινοίαις κατεστρατήγει. ὡς δὲ οὐκ ἐνεδίδοσαν πρὸς τὴν πεῖραν ταύτην, ἐπὶ τὸ ἕτερον εἶδος τῆς μηχανῆς μετῄει, πληγὰς αὐτοῖς καὶ θανάτους καὶ κολάσεων ἀνηκέστων πεῖραν ἐπανετείνετο. καὶ ὁ μὲν τοιαῦτα· τὰ δὲ τῶν Μαρτύρων ὁποῖα; Τί, φησί, δελεάζεις ἡμᾶς, ὦ θεομάχε, ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος, καὶ δουλεύειν δαιμονίοις ὀλεθρίοις, προτεινόμενος ἡμῖν τὰ σὰ ἀγαθά; τί τοσοῦτον δίδως, ὅσον ἀφελέσθαι σπουδάζεις; μισῶ δωρεὰν, ζημίας πρόξενον. οὐ δέχομαι τιμὴν ἀτιμίας μητέρα. χρήματα δίδως τὰ ἀπολλύμενα, δόξαν τὴν ἀπανθοῦσαν, γνώριμον ποιεῖς Βασιλεῖ· ἀλλὰ τοῦ ὄντως Βασιλέως ἀλλοτριοῖς. τί μικρολογῶν ὀλίγα τῶν ἐκ τοῦ κόσμου προτείνεις; ὅλος ἡμῖν ὁ κόσμος καταπεφρόνηται· οὐκ ἔστιν ἡμῖν τῆς ἐπιθυμουμένης ἐλπίδος ἀντάξια τὰ ὁρώμενα. ὁρᾷς τὸν Οὐρανὸν τοῦτον; ὡς καλὸς ἰδεῖν, ὡς δὲ μέγας; καὶ τὴν γῆν ἡλίκη; καὶ

τὰ ἐν αὐτῇ θαύματα; οὐδὲν τούτων ἀξιοῦται τῇ μακαριότητι τῶν δικαίων. ταῦτα μὲν γὰρ παρέρχεται, τὰ δὲ ἡμέτερα μένει. μιᾶς ἐπιθυμῶ δωρεᾶς, τοῦ στεφάνου τῆς δικαιοσύνης· περὶ μίαν δόξαν ἐπτόημαι, τὴν ἐν τῇ βασιλείᾳ τῶν Οὐρανῶν· φιλότιμός εἰμι πρὸς τὴν ἄνω τιμήν. κόλασιν δέδοικα τὴν ἐν τῇ γεέννῃ. πῦρ, ἐκεῖνό μοι φοβερόν. τὸ δὲ παρ' ὑμῶν ἀπειλούμενον, ὁμόδουλόν ἐστιν. οἶδεν αἰδεῖσθαι τοὺς εἰδώλων καταφρονοῦντας. βέλη νηπίων λογίζομαι τὰς πληγὰς ὑμῶν. σῶμα γὰρ τύπτεις, ὅπερ, ἂν ἐπὶ πλεῖον ἀντίσχῃ, λαμπρότερον στεφανοῦται· ἂν δὲ θᾶττον ἀπαγορεύσῃ, οἴχεται ἀπαλλαγὲν δικαστῶν οὕτω βιαίων, οἳ σωμάτων ὑπηρεσίαν παραλαβόντες, ἔτι καὶ τῶν ψυχῶν κατάρχειν φιλονεικεῖτε. οἵγε εἰ μὴ καὶ τοῦ Θεοῦ ἡμῶν προτιμηθείητε, ὡς τὰ ἔσχατα ὑβρισμένοι παρ' ἡμῶν, χαλεπαίνετε, καὶ τὰς φοβερὰς ταύτας κολάσεις ἐπανατείνεσθε, ἔγκλημα ἡμῖν ἐπάγοντες, τὴν εὐσέβειαν. ἀλλὰ γὰρ οὐ δειλοῖς, οὐδὲ φιλοζώοις, οὐδ' εὐκαταπλήκτοις ἐντεύξεσθε. ὑπὲρ τῆς εἰς Θεὸν ἀγάπης, οἵδε ἡμεῖς καὶ τροχίζεσθαι, καὶ στρεβλοῦσθαι, καὶ καταπίμπρασθαι, καὶ πᾶν εἶδος βασανιστηρίων ἕτοιμοι καταδέχεσθαι. ἐπειδὴ τούτων ἤκουσεν ὁ ἀλαζὼν ἐκεῖνος καὶ βάρβαρος, οὐκ ἐνεγκὼν τῶν ἀνδρῶν τὴν παῤῥησίαν, ὑπερζέσας τῷ θυμῷ, ἐσκόπει τίνα ἂν ἐξεύροι μηχανήν, ὥστε μακρόν τε αὐτοῖς καὶ πικρὸν ὁμοῦ κατασκευάσαι τὸν θάνατον. εὗρε δὴ οὖν ἐπίνοιαν, καὶ σκοπεῖτε ὡς χαλεπήν. περισκεψάμενος γὰρ τὴν φύσιν τῆς χώρας, ὅτι κρυμώδης, καὶ τὴν ὥραν τοῦ ἔτους ὅτι χειμέριος, νύκτα ἐπιτηρήσας, ἐν ᾗ μάλιστα τὸ δεινὸν ἐπιτείνεται. ἄλλως τε καὶ τότε βορέου αὐτὴν ἐπιπνέοντος, ἐκέλευσε πάντας γυμνωθέντας, ὑπὸ τὸ αἴθριον, ἐν μέσῃ τῇ λίμνῃ πηγνυμένους ἀποθανεῖν. πάντες δὲ ἴστε, οἱ πεπειραμένοι χειμῶνος, ὡς ἀφόρητόν ἐστι τῆς βασάνου τὸ εἶδος· οὐδὲ γὰρ δυνατὸν ἄλλοις ἐνδείξασθαι, τοῖς προαποκείμενα ἔχουσιν ἐκ τῆς πείρας αὐτῆς τῶν λεγομένων τὰ ὑποδείγματα. σῶμα γὰρ κρυεῖ παραπεσόν, πρῶτον μέν,

ὅλον

ὅλον ἐστὶ πελιδνὸν, πηγνυμένου τοῦ αἵματος· ἔπειτα, κλονεῖται καὶ ἀναβράσσεται, ὀδόντων ἀρασσομένων, σπωμένων δὲ τῶν ἰνῶν, καὶ παντὸς τοῦ ὄγκου ἀπροαιρέτως συνελκομένου. ὀδύνη δέ τις δριμεῖα, καὶ πόνος ἄρρητος αὐτῶν καθικνούμενος τῶν μυελῶν, δυσφορωτάτην ποιεῖται τοῖς πηγνυμένοις τὴν αἴσθησιν. ἔπειτα ἀκρωτηριάζεται, ὥσπερ ἀπὸ πυρὸς, καιομένων τῶν ἄκρων. ἀποδιωκόμενον γὰρ τὸ θερμὸν ἀπὸ τῶν περάτων τοῦ σώματος, καὶ συμφεῦγον ἐπὶ τὸ βάθος, τὰ μὲν ὅθεν ἀπέστη, νεκρὰ καταλείπει· τὰ δὲ ἐφ᾽ ἃ συνωθεῖται, ὀδύναις δίδωσι, κατὰ μικρὸν τοῦ θανάτου διὰ τῆς πήξεως προσιόντος. τότε τοίνυν αἴθριοι διανυκτερεύειν κατεδικάσθησαν, ὅτε λίμνη μὲν, περὶ ἣν ἡ πόλις κατῴκισται, ἐν ᾗ ταῦτα διήθλουν οἱ Ἅγιοι, οἱονεί τι πεδίον ἱππήλατον ἦν, μεταποιήσαντος αὐτὴν τοῦ κρυστάλλου, καὶ ἠπειρωθεῖσα τῷ κρύει, ἀσφαλῶς ὑπὲρ νώτων πεζεύειν παρείχετο τοῖς περιοίκοις. ποταμοὶ δὲ ἀέναα ῥέοντες, τῷ κρυστάλλῳ δεθέντες, τῶν ῥείθρων ἔστησαν. ἥ τε ἁπαλὴ τοῦ ὕδατος φύσις, πρὸς τὴν τῶν λίθων ἀντιτυπίαν μετεποιήθη. βορέου δὲ δριμεῖαι πνοαὶ τὸ ἔμψυχον ἅπαν ἐπὶ τὸν θάνατον ἤπειγον. τότε τοίνυν ἀκούσαντες τοῦ προστάγματος, (καὶ σκόπει ἐνταῦθα τῶν ἀνδρῶν τὸ ἀήττητον) μετὰ χαρᾶς ἀπορρίψαντες ἕκαστος καὶ τὸν τελευταῖον χιτῶνα, πρὸς τὸν διὰ τοῦ κρύους ἐχώρουν θάνατον, ὥσπερ ἐν σκύλων διαρπαγῇ ἀλλήλοις ἐγκελευόμενοι· μὴ τὸ ἱμάτιον, φησὶν, ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· εὐχαριστοῦμεν Κύριε, τῷ ἱματίῳ τούτῳ τὴν ἁμαρτίαν συναποβάλλοντες. ἐπειδὴ διὰ τὸν ὄφιν ἐνεδυσάμεθα, διὰ τὸν Χριστὸν ἐκδυσώμεθα. μὴ ἀντεχώμεθα ἱματίων διὰ τὸν Παράδεισον, ὃν ἀπωλέσαμεν. τί ἀνταποδῶμεν τῷ Κυρίῳ; ἐξεδύθη ἡμῶν ὁ Κύριος· τί μέγα δούλῳ παρὰ τοῦ Δεσπότου παθεῖν; μᾶλλον δὲ καὶ αὐτὸν τὸν Κύριον ἡμεῖς ἐσμὲν οἱ ἐκδύσαντες· στρατιωτῶν γὰρ ἐκεῖνο τὸ τόλμημα, ἐκεῖνοι ἐξέδυσαν καὶ διε-

διημείψαντο τὰ ἱμάτια· ἀναγκαῖον οὖν ἡμῶν κατηγορίαν δι' ἑαυτῶν ἀπαλείψωμεν. δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ Παράδεισος· ἀλγεινὴ ἡ πῆξις, ἀλλ' ἡδεῖα ἡ ἀπόλαυσις· μικρὸν ἀναμείνωμεν, καὶ ὁ κόλπος ἡμᾶς θάλψει τοῦ Πατριάρχου· μιᾶς νυκτὸς ὅλον αἰῶνα ἀνταλλαξώμεθα. καυθήτω ὁ πούς, ἵνα διηνεκῶς μετ' Ἀγγέλων χορεύῃ. ἀποῤῥυήτω ἡ χείρ, ἵνα ἔχῃ παῤῥησίαν πρὸς τὸν Δεσπότην ἐπαίρεσθαι. πόσοι τῶν στρατιωτῶν τῶν ἡμετέρων ἐπὶ παρατάξεως ἔπεσον, Βασιλεῖ φθαρτῷ τὴν πίστιν φυλάξαντες; ἡμεῖς δὲ ὑπὲρ τῆς εἰς τὸν ἀληθινὸν Βασιλέα πίστεως τὴν ζωὴν ταύτην οὐ προησόμεθα; πόσοι τὸν τῶν κακούργων ὑπέστησαν θάνατον ἁλόντες ἐπ' ἀδικήμασιν; ἡμεῖς δὲ ὑπὲρ δικαιοσύνης τὸν θάνατον οὐχ ὑποισόμεθα; μὴ ἐκκλίνωμεν, ὦ συστρατιῶται, μὴ δῶμεν τόπον τῷ διαβόλῳ· σάρκες εἰσί. μὴ φεισώμεθα· ἐπειδὴ δεῖ πάντως ἀποθανεῖν, ἀποθάνωμεν ἵνα ζήσωμεν. γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου Κύριε, καὶ προσδεχθείημεν ὡς θυσία ζῶσα εὐάρεστός σοι, τῷ κρύει τούτῳ ὁλοκαυτούμενοι. καλὴ ἡ προσφορά· καινὸν τὸ ὁλοκαύτωμα, οὐ διὰ πυρός, ἀλλὰ διὰ κρύους ὁλοκαρπούμενον. Τούτους τοὺς παρακλητικοὺς ἐνδιδόντες ἀλλήλοις, καὶ ἄλλος ἄλλῳ ἐγκελευόμενοι, ὥσπερ τινὰ προφυλακὴν ἐν πολέμῳ πληροῦντες, τὴν νύκτα παρέπεμπον, φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις, καταγελῶντες τοῦ ἀντιπάλου. μία δὲ ἦν πάντων εὐχή. Τεσσαράκοντα εἰσήλθομεν εἰς τὸ στάδιον, οἱ τεσσαράκοντα στεφανωθείημεν Δέσποτα· μὴ λείψῃ τῷ ἀριθμῷ μηδὲ εἷς· τίμιος οὗτος, ὃν ἐτίμησας τῇ νηστείᾳ τῶν τεσσαράκοντα ἡμερῶν, δι' οὗ νομοθεσία εἰσῆλθεν εἰς τὸν κόσμον. τεσσαράκοντα ἡμέραις ἐν νηστείᾳ Ἠλίας ἐκζητήσας τὸν Κύριον, τῆς θέας ἔτυχε. καὶ ἡ μὲν ἐκείνων εὐχή, τοιαύτη. Εἷς δὲ τοῦ ἀριθμοῦ ὀκλάσας πρὸς τὰ δεινά, λειποτακτήσας ᾤχετο, πένθος ἀπαραμύθητον τοῖς Ἁγίοις καταλιπών· ἀλλ' οὐδὲ ἀφῆκεν αὐτῶν ἀτελῆ

δέχεσθαι τὰς δεήσεις ὁ Κύριος. ὁ γὰρ τὴν φυλακὴν τῶν Μαρτύρων πεπιστευμένος, ἐγγύθεν ἀπό τινος γυμνασίου διαθαλπόμενος, ἀπεσκόπει τὸ μέλλον, ἕτοιμος προσδέχεσθαι τῶν στρατιωτῶν τοὺς προσφεύγοντας. καὶ γὰρ αὖ καὶ τοῦτο ἐγγύθεν εἶναι λουτρὸν ἐπενοήθη, ὀξεῖαν τὴν βοήθειαν τοῖς μεταβαλλομένοις ἐπαγγελλόμενον· ὅπερ μέντοι τοῖς ἐναντίοις κακούργως ἐπενοήθη, τοιοῦτον ἐξευρεῖν τῆς ἀθλήσεως τόπον, ἐν ᾧ τὸ ἕτοιμον τῆς παραμυθίας ἐκλύειν ἔμελλε τῶν ἀγωνιζομένων τὴν ἔνστασιν, τοῦτο λαμπροτέραν ἐδείκνυε τὴν ὑπομονὴν τῶν Μαρτύρων· οὐ γὰρ ὁ ἀπορῶν τῶν ἀναγκαίων, καρτερικός, ἀλλ' ὁ ἐν ἀφθονίᾳ τῆς ἀπολαύσεως ἐγκαρτερῶν τοῖς δεινοῖς. ὡς δὲ οἱ μὲν ἠγωνίζοντο, ὁ δὲ ἐπετήρει τὸ ἐκβησόμενον, εἶδε θέαμα ξένον, Δυνάμεις τινὰς ἐξ Οὐρανῶν κατιούσας, καὶ οἷον παρὰ Βασιλέως δωρεὰς μεγάλας διανεμούσας τοῖς στρατιώταις. αἳ τοῖς μὲν ἄλλοις πᾶσι διῄρουν τὰ δῶρα, ἕνα δὲ μόνον ἀφῆκαν ἀγέραστον, ἀνάξιον κρίνασαι τῶν οὐρανίων τιμῶν. ὃς εὐθὺς πρὸς τοὺς πόνους ἀπαγορεύσας, πρὸς τοὺς ἐναντίους ἀπηυτομόλησεν· ἐλεεινὸν θέαμα τοῖς δικαίοις, ὁ στρατιώτης φυγάς, ὁ ἀριστεὺς αἰχμάλωτος, τὸ τοῦ Χριστοῦ πρόβατον θηριάλωτον. καὶ τό γε ἐλεεινότερον, ὅτι καὶ τῆς οὐρανίου ζωῆς διήμαρτε, καὶ οὐδὲ ταύτης ἀπήλαυσεν, εὐθὺς αὐτῷ τῆς σαρκὸς ἐν τῇ προσβολῇ τῆς θέρμης διαλυθείσης· καὶ ὁ μὲν φιλόζωος ἔπεσεν ἀνομήσας διακενῆς· ὁ δὲ δήμιος, ὡς εἶδεν αὐτὸν ἐκκλίναντα, καὶ τὴν πρὸς τὸ βαλανεῖον ἀποδρομόντα, ἑαυτὸν εἰς τὴν τοῦ λειποτακτήσαντος χώραν ἀντικατέστησε. καὶ ῥίψας τὰ περιβόλαια, τοῖς γυμνοῖς ἑαυτὸν συνεγκατέμιξε, κράζων τὴν αὐτὴν βοὴν τοῖς Ἁγίοις, Χριστιανός εἰμι. καὶ τῷ ἀθρόῳ τῆς μεταβολῆς ἐκπλήξας τοὺς συμπαρόντας, τόν τε ἀριθμὸν ἀνεπλήρωσε, καὶ τὴν ἐπὶ τῷ καταμαλακισθέντι λύπην τῇ παρ' ἑαυτοῦ προσθήκῃ παρεμυθήσατο· μιμησάμενος τοὺς ἐπὶ παρατάξεως, οἳ τοῦ κατὰ τὴν πρώτην ἀσπίδα πεσόντος, εὐθὺς ἀναπληροῦσι τὴν φά-

λαγ-

λαγγα, ὡς μὴ τὸν συνασπισμὸν αὐτοῖς διακοπῆναι τῷ λείποντι. τοιοῦτον δή τι καὶ αὐτὸς ἐποίησεν· εἶδε τὰ οὐράνια θαύματα, ἐπέγνω τὴν ἀλήθειαν, προσέφυγε τῷ Δεσπότῃ, συνηριθμήθη τοῖς Μάρτυσι· τὰ τῶν Μαθητῶν ἀνενεώσατο· ἀπῆλθεν Ἰούδας, καὶ ἀντεισήχθη Ματθίας· μιμητὴς ἐγένετο Παύλου, ὁ χθὲς διώκτης, σήμερον εὐαγγελιζόμενος· ἄνωθεν ἔσχε καὶ αὐτὸς τὴν κλῆσιν, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων· ἐπίστευσεν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐβαπτίσθη εἰς αὐτὸν, οὐχ ὑπ' ἄλλου, ἀλλ' ὑπὸ τῆς οἰκείας πίστεως· οὐκ ἐν ὕδατι, ἀλλ' ἐν τῷ ἰδίῳ αἵματι. καὶ οὕτως ἡμέρας ἀρχομένης, ἔτι ἐμπνέοντες, τῷ πυρὶ παρεδόθησαν· καὶ τὰ τοῦ πυρὸς λείψανα, ἐπὶ τὸν ποταμὸν ἀπερρίφη· ὥστε διὰ πάσης τῆς κτίσεως, διεξελθεῖν τῶν Μακαρίων τὴν ἄθλησιν· ἐπὶ τῆς γῆς ἠγωνίσαντο, τῷ ἀέρι ἐνεκαρτέρησαν, τῷ πυρὶ παρεδόθησαν, τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο. ἐκείνων ἐστὶν ἡ φωνή· Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. οὗτοί εἰσιν οἱ τὴν καθ' ἡμᾶς χώραν διαλαβόντες, οἱονεὶ πύργοι τινὲς συνεχεῖς, ἀσφάλειαν ἐκ τῆς τῶν ἐναντίων καταδρομῆς παρεχόμενοι. οὐχ ἐν ἑνὶ τόπῳ ἑαυτοὺς κατακλείσαντες, ἀλλὰ πολλοῖς ἤδη ἐπιξενωθέντες χωρίοις, καὶ πολλὰς πατρίδας κατακοσμήσαντες. καὶ τὸ παράδοξον, οὐ καθ' ἕνα διαμερισθέντες τοῖς δεχομένοις ἐπιφοιτῶσιν, ἀλλ' ἀναμιχθέντες ἀλλήλοις, ἡνωμένως χορεύουσιν. ὢ τοῦ θαύματος· οὔτε ἐλλείπουσι τῷ ἀριθμῷ, οὔτε πλεονασμὸν ἐπιδέχονται. ἐὰν εἰς ἕκαστον αὐτοὺς διέλῃς, τὸν οἰκεῖον ἀριθμὸν οὐκ ἐκβαίνουσιν· ἐὰν εἰς ἓν συναγάγῃς, τεσσαράκοντα καὶ οὕτω μένουσι, κατὰ τὴν τοῦ πυρὸς φύσιν· καὶ γὰρ ἐκεῖνο καὶ πρὸς τὸν ἐξάπτοντα μεταβαίνει, καὶ ὅλον ἐστὶ παρὰ τῷ ἔχοντι. καὶ οἱ τεσσαράκοντα, καὶ πάντες εἰσὶν ὁμοῦ, καὶ πάντες εἰσὶ παρ' ἑκάστῳ. ἡ ἄφθονος εὐεργεσία, ἡ μὴ δαπανωμένη χάρις, ἑτοίμη βοήθεια Χριστιανοῖς, Ἐκκλησία Μαρτύρων, στρατὸς τροπαιοφόρων,

γίων, χορὸς δοξολογούντων τὸν Κύριον. πόσα ἂν ἔκαμες, ἵνα ἕνα που εὕρῃς ὑπὲρ σοῦ δυσωποῦντα τὸν Κύριον; τεσσαράκοντά εἰσι, σύμφωνον ἀναπέμποντες προσευχήν. ὅπου δύο, ἢ τρεῖς εἰσι συνηγμένοι ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου, ἐκεῖ ἐστιν ὁ Θεὸς ἐν μέσῳ αὐτῶν. ὅπου δὲ τεσσαράκοντα, τίς ἀμφιβάλλει Θεοῦ παρουσίαν; ὁ θλιβόμενος, ἐπὶ τοὺς τεσσαράκοντα καταφεύγει, ὁ εὐφραινόμενος, ἐπ' αὐτοὺς ἀποτρέχει· ὁ μὲν, ἵνα εὕρῃ λύσιν τῶν δυσχερῶν. ὁ δὲ, ἵνα φυλαχθῇ αὐτῷ τὰ χρηστότερα. ἐνταῦθα γυνὴ εὐσεβὴς ὑπὲρ τέκνων εὐχομένη καταλαμβάνεται, ἀποδημοῦντι ἀνδρὶ τὴν ἐπάνοδον αἰτουμένη, ἀρρωστοῦντι τὴν σωτηρίαν. μετὰ Μαρτύρων γινέσθω τὰ αἰτήματα ὑμῶν. οἱ νεανίσκοι τοὺς ἡλικιώτας μιμείσθωσαν. οἱ Πατέρες, τοιούτων εἶναι παίδων Πατέρες εὐχέσθωσαν. αἱ Μητέρες, καλῆς Μητρὸς διήγημα διδαχθήτωσαν. Μήτηρ ἑνὸς τῶν μακαρίων ἐκείνων, θεασαμένη τοὺς ἄλλους ἤδη τῷ κρύει τελειωθέντας, τὸν δὲ ἑαυτῆς υἱὸν ἔτι ἐμπνέοντα ὑπὸ τῆς ῥώμης καὶ τῆς πρὸς τὰ δεινὰ καρτερίας, καταλιμπανόντων αὐτὸν τῶν δημίων ὡς δυνάμενόν τι μεταβουλεύσασθαι, αὐτὴ ταῖς οἰκείαις χερσὶν ἀραμένη, ἐπέθηκε τῇ ἁμάξῃ, ἐφ' ἧς οἱ λοιποὶ συγκείμενοι πρὸς τὴν πυρὰν ἤγοντο. Μάρτυρος ὄντως μήτηρ· οὐ γὰρ δάκρυον ἀφῆκεν ἀγεννές, οὐδ' ἐφθέγξατο ταπεινόν τι καὶ ἀνάξιον τοῦ καιροῦ. ἀλλ' ἄπιθι, φησὶν, ὦ παῖ, τὴν ἀγαθὴν πορείαν μετὰ τῶν ἡλικιωτῶν, μετὰ τῶν συσκήνων. μὴ ἀπολειφθῇς τῆς χορείας. μὴ δεύτερος τῶν ἄλλων ἐμφανισθῇς τῷ Δεσπότῃ. ὄντως ἀγαθῆς ῥίζης ἀγαθὸν βλάστημα. ἔδειξεν ἡ γενναία μήτηρ, ὅτι δόγμασιν εὐσεβείας ἐξέθρεψεν αὐτὸν μᾶλλον, ἢ γάλακτι. καὶ ὁ μὲν, οὕτω τραφεὶς, οὕτω προεπέμφθη παρὰ μητρὸς εὐσεβοῦς. ὁ δὲ διάβολος ἀπῆλθε κατῃσχυμμένος. ἅπασαν γὰρ ἐπ' αὐτοὺς κινήσας τὴν κτίσιν, πάντα εὗρεν ἡττώμενα τῆς τῶν ἀνδρῶν ἀρετῆς, νύκτα δυσχείμερον, πατρίδα χειμέριον, τὴν ὥραν τοῦ ἔτους, τῶν σωμάτων τὴν γύμνωσιν. Ὦ χορὸς Ἅγιος. ὦ σύν-

ταγ-

ταγμα ἱερόν. ὦ συνασπισμὸς ἀῤῥαγής· ὦ κοινοὶ φύλακες τοῦ γένους τῶν ἀνθρώπων. ἀγαθοὶ κοινωνοὶ φροντίδων, δεήσεως συνεργοί, πρεσβευταὶ δυνατώτατοι, ἀστέρες τῆς οἰκουμένης, ἄνθη τῶν Ἐκκλησιῶν, ἐγὼ δέ φημι νοητά τε καὶ αἰσθητά. ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ᾽ Οὐρανὸς ὑπεδέξατο. ἠνοίγησαν ὑμῖν Παραδείσου πύλαι, ἄξιον θέαμα τῆς στρατιᾶς τῶν Ἀγγέλων, ἄξιον Πατριάρχαις, Προφήταις, Δικαίοις. ἄνδρες ἐν αὐτῷ τῷ ἄνθει τῆς νεότητος, τοῦ βίου καταφρονήσαντες, ὑπὲρ γονεῖς, ὑπὲρ τέκνα τὸν Κύριον ἀγαπήσαντες. αὐτὸ τῆς ἡλικίας ἄγοντες τὸ βιώσιμον, ὑπερεῖδον τῆς προσκαίρου ζωῆς, ἵνα δοξάσωσι τὸν Θεὸν ἐν τοῖς μέλεσιν ἑαυτῶν, θέατρον γενόμενοι τῷ κόσμῳ, καὶ Ἀγγέλοις, καὶ ἀνθρώποις. τοὺς πεπτωκότας ἤγειραν, τοὺς ἀμφιβόλους ἐβεβαιώσαντο, τοῖς εὐσεβέσι τὴν ἐπιθυμίαν ἐδιπλασίασαν, οἱ ὑπὲρ τῆς εὐσεβείας ἅπαντες ἀναστήσαντες τρόπαιον, οἳ καὶ τῷ στεφάνῳ τῆς δικαιοσύνης κατεκοσμήθησαν. ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ ΚΑΤΑ ΤΩΝ Ὀργιζομένων.

Ὥσπερ ἐπὶ τῶν ἰατρικῶν παραγγελμάτων, ὅταν εὐστόχως, καὶ κατὰ τὸν λόγον τῆς τέχνης γίγνηται, μετὰ τὴν πεῖραν μάλιστα τὸ ἀπ᾽ αὐτῶν ὠφέλιμον διαδείκνυται. οὕτως ἐπὶ τῶν πνευματικῶν παραινέσεων, ἐπειδὰν μάλιστα τὴν ἔκβασιν μαρτυροῦσαν λάβῃ τὰ παραγγέλματα, τότε τὸ σοφὸν αὐτῶν καὶ ὠφέλιμον πρὸς τὴν ἐπανόρθωσιν τοῦ βίου, καὶ τὴν τῶν πειθομένων τελείωσιν ἀναφαίνεται. ἀκούοντες μὲν γὰρ τῶν παροιμιῶν διαῤῥήδην ἀποφαινομένων, ὅτι ὀργὴ ἀπόλλυσι καὶ

φρονίμους· ἀκούσαντες δὲ καὶ Ἀποστολικῶν παραινέσεων· πᾶσα ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ· καὶ τοῦ Κυρίου λέγοντος, τὸν ὀργιζόμενον εἰκῇ τῷ ἀδελφῷ αὐτοῦ ἔνοχον εἶναι τῇ κρίσει. νῦν ὅτε εἰς πεῖραν ἤλθομεν τοῦ πάθους οὐκ ἐν ἡμῖν γενομένου, ἀλλ' ἔξωθεν ἡμῖν προσπεσόντος, ὥσπερ καταιγίδος τινὸς ἀδοκήτου, τότε μάλιστα τὸ θαυμαστὸν τῶν θείων παραγγελμάτων ἐπέγνωμεν. δόντες μὲν αὐτοὶ τῇ ὀργῇ τόπον ὥσπερ ῥεύματι βιαίῳ διέξοδον, καταμανθάνοντες δὲ ἐν ἡσυχίᾳ τὴν ἀσχήμονα ταραχὴν τῶν ὑπὸ τοῦ πάθους κατεχομένων, ἐπέγνωμεν ἐπὶ τῶν ἔργων τὴν εὐστοχίαν τοῦ ῥήματος· ὅτι ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. ἐπειδὰν γὰρ ἅπαξ παρωσάμενος τοὺς λογισμοὺς τὸ πάθος αὐτὸ τὴν δυναστείαν τῆς ψυχῆς περιλάβῃ, ἀποθηριοῖ παντελῶς τὸν ἄνθρωπον, καὶ οὐδὲ ἄνθρωπον εἶναι συγχωρεῖ, οὐκέτι ἔχοντα τὴν ἐκ τοῦ λόγου βοήθειαν. ὅπερ γὰρ τοῖς ἰοβόλοις ἐστὶν ὁ ἰὸς, τοῦτο τοῖς παροξυνθεῖσιν ὁ θυμὸς γίνεται· ὁρμῶσι, πηδῶσι, λυσσῶσιν ὥσπερ οἱ κύνες, ἵπτουσιν ὥσπερ οἱ σκορπίοι, δάκνουσιν ὥσπερ οἱ ὄφεις. οἶδε καὶ ἡ γραφὴ τοὺς ὑπὸ τοῦ πάθους κεκρατημένους ταῖς τῶν θηρίων προσηγορίαις ἀποκαλεῖν, οἷς ἑαυτοὺς διὰ τῆς πονηρίας ᾠκείωσαν. κύνας γὰρ ἐνεοὺς, καὶ ὄφεις, γεννήματα ἐχιδνῶν, καὶ τὰ τοιαῦτα προσαγορεύει. οἱ γὰρ ἕτοιμοι πρὸς τὴν κατ' ἀλλήλων φθορὰν, καὶ τὴν κατὰ τῶν ὁμοφύλων βλάβην, εἰκότως ἂν θηρίοις καὶ ἰοβόλοις συναριθμοῖντο· οἷς ἀδιάλλακτον ἐκ φύσεως ἐνυπάρχει πρὸς ἀνθρώπους τὸ μῖσος. διὰ θυμὸν ἀχάλινοι γλῶσσαι, καὶ ἀπύλωτα στόματα, χεῖρες ἀκρατεῖς, ὕβρεις, ὀνείδη, κακηγορίαι, πληγαί, καὶ τὰ ἄλλα ὅσα οὐδ' ἂν ἐξαριθμήσαιτό τις, ὀργῆς καὶ θυμοῦ ἔκγονά ἐστι πάθη. διὰ θυμὸν καὶ ξίφος ἀκονᾶται, θάνατος ἀνθρώπου ἐκ χειρὸς ἀνθρωπείας τολμᾶται. διὰ τοῦτον ἀδελφοὶ μὲν ἀλλήλους ἠγνόησαν, γονεῖς δὲ καὶ τέκνα τῆς φύσεως ἐπελάθοντο. ἀγνοοῦσι μὲν γὰρ ἑαυτοὺς πρῶτον οἱ ὀργι-

ζόμενοι, ἔπειτα καὶ πάντας τοὺς ἐπιτηδείους. ὥσπερ γὰρ αἱ χαράδραι πρὸς τὰ κοῖλα συρρέουσαι τὸ προστυχὸν παρασύρουσιν, οὕτως αἱ τῶν ὀργιζομένων ὁρμαὶ βίαιοι καὶ ἀκατάσχετοι διὰ πάντων ὁμοίως χωροῦσιν. οὐ πολιὰ τοῖς θυμουμένοις αἰδέσιμος, οὐκ ἀρετὴ βίου, οὐκ οἰκειότης γένους, οὐ προειλημμέναι χάριτες, οὐκ ἄλλο τι τῶν τιμίων. μανία τίς ἐστιν ὀλιγοχρόνιος ὁ θυμός, ὅγε καὶ εἰς πρόδηλον κακὸν ἑαυτοὺς πολλάκις ἐμβάλλουσι, τῇ πρὸς τὴν ἄμυναν σπουδῇ τοῦ καθ' ἑαυτοὺς ἀμελήσαντες. οἱονεὶ γὰρ οἴστρῳ, τῇ μνήμῃ τῶν λελυπηκότων παρακεντούμενοι, σφαδάζοντος αὐτοῖς τοῦ θυμοῦ καὶ πηδῶντος, οὐ πρότερον ἀπολήγουσι, πρὶν ἢ κακόν τι δοῦναι τῷ παροξύναντι, ἤ τι καὶ προσλαβεῖν, ἐὰν τύχῃ. ὥσπερ οὖν πολλάκις τὰ βιαίως καταρρηγνύμενα ἔπαθέ τι πλέον, ἢ ἔδρασε τοῖς ἀντιτύποις προσθραυσθέντα· τίς ἂν ἐφίκοιτο τοῦ κακοῦ; ὅπως οἱ ὀξύρροποι πρὸς θυμὸν ὑπὸ τῆς τυχούσης προφάσεως ἐξαπτόμενοι, καὶ βοῶντες καὶ ἀγριαίνοντες, καὶ τίνος οὐχὶ τῶν ἰοβόλων ἀναιδέστερον ἐφορμῶντες; οὐ πρότερον ἵστανται, πρὶν ἢ διὰ μεγάλου καὶ ἀνηκέστου κακοῦ, οἷον πομφόλυγος αὐτοῖς τῆς ὀργῆς ἐκραγείσης, διαπνευσθῇ τὸ φλεγμαῖνον. οὔτε γὰρ ξίφους ἀκμή, οὔτε πῦρ, οὔτε ἄλλο τι τῶν φοβερῶν, ἱκανὸν τὴν ὑπὸ τῆς ὀργῆς ἐκμανεῖσαν ψυχὴν ἐπισχεῖν· οὐ μᾶλλόν γε, ἢ τοὺς ὑπὸ δαιμόνων κατασχεθέντας, ὧν οὐδὲν οὔτε κατὰ τὸ σχῆμα, οὔτε κατὰ τὴν τῆς ψυχῆς διάθεσιν οἱ ὀργιζόμενοι διαφέρουσιν· ὀριγνωμένοις γὰρ τῆς ἀντιλυπήσεως, ἀναζεῖ μὲν τῇ καρδίᾳ τὸ αἷμα, ὥσπερ βίᾳ πυρὸς κινούμενον καὶ παφλάζον, πρὸς δὲ τὴν ἐπιφάνειαν ἐξανθῆσαν, ἐν ἄλλῃ μορφῇ τὸν ὀργιζόμενον ἔδειξε, τὴν συνήθη πᾶσι καὶ γνωρίμην, ὥσπερ τι προσωπεῖον ἐπὶ σκηνῆς ὑπαλλάξαν· ὀφθαλμοὶ μὲν γὰρ ἐκείνοις οἱ οἰκεῖοί τε καὶ συνήθεις ἠγνόηνται. παράφορον δὲ τὸ ὄμμα, καὶ πῦρ ἤδη βλέπει· καὶ παραθήγει τοὺς ὀδόντας κατὰ τῶν συῶν τοὺς ὁμόσε χωροῦντας. πρόσωπον πελιδνὸν καὶ ὕφαιμον. ὄγκος τοῦ σώματος

… φλέβες διαῤῥηγνύμεναι, ὑπὸ τῆς ἔνδοθεν ζάλης ἐλαυνομένου τοῦ πνεύματος. φωνὴ τραχεῖα καὶ ὑπερτεινομένη, καὶ ὁ λόγος ἄναρθρος καὶ εἰκῆ προσεκπίπτων, οὐ κατὰ μέρος, οὐδὲ εὐτάκτως, οὐδὲ εὐσήμως προϊών. ἐπειδὰν δὲ εἰς τὸ ἀνήκεστον, ὥσπερ φλὸξ ὕλης ἀφθονίᾳ τοῖς παροξύνουσιν ἐξαφθῇ, τότε δὴ τότε τὰ οὔτε λόγῳ ῥητὰ, οὔτε ἔργῳ φορητὰ ἐπιδεῖν ἔστι θεάματα. χεῖρας μὲν διηρμένας κατὰ τῶν ὁμοφύλων, καὶ πᾶσι μέρεσι τοῦ σώματος ἐπιφερομένας, πόδας δὲ ἀφειδῶς τοῖς καιριωτάτοις ἐναλλομένους, πᾶν δὲ τὸ φανὲν, ὅπλον τῇ μανίᾳ γινόμενον. ἐὰν δὲ καὶ ἐκ τοῦ ἐναντίου τὸ ἴσον κακὸν ἀντιστρατευόμενον εὕρωσιν, ὀργὴν ἄλλην καὶ μανίαν ὁμότιμον, τότε δὴ καὶ συμπεσόντες ἔδρασαν ἀλλήλους, καὶ ἔπαθον, ὅσα εἰκὸς τοὺς ὑπὸ τοιούτῳ δαίμονι στρατηγουμένους παθεῖν. πηρώσεις γὰρ μελῶν, ἢ καὶ θανάτους πολλάκις. ἆθλα τῆς ὀργῆς οἱ μαχόμενοι ἀπηνέγκαντο. ἦρξε χειρῶν ἀδίκων, ὁ δὲ ἠμύνατο, ὁ δὲ ἀντενήνεγκεν, ὁ δὲ οὐχ ὑφίεται. καὶ τὸ μὲν σῶμα ταῖς πληγαῖς διακόπτεται, ὁ δὲ θυμὸς τοῦ ἀλγεινοῦ τὴν αἴσθησιν παραιτεῖται. οὐ γὰρ ἄγουσι σχολὴν πρὸς τὴν ὧν πεπόνθασιν αἴσθησιν, ὅλης αὐτοῖς τῆς ψυχῆς πρὸς τὴν ἄμυναν τοῦ λελυπηκότος κεκινημένης. μὴ δὴ κακῷ τὸ κακὸν ἰᾶσθε, μηδὲ ἐπιχειρεῖτε ἀλλήλους ὑπερβαίνειν ταῖς συμφοραῖς. ἐν γὰρ ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας, διότι ἀπέρχεται τὸ πλεῖον ἔχων τῆς ἁμαρτίας. μὴ τοίνυν γένῃ κακοῦ πληρωτὴς ἐράνου, μηδὲ πονηροῦ δανείου πονηρότερος ἐκτιστής. ὕβρισέ σε ὀργισθείς; στῆσον τῇ σιωπῇ τὸ κακόν. σὺ δὲ ὥσπερ ῥεῦμα τὴν ἐκείνου ὀργὴν εἰς τὴν ἰδίαν καρδίαν ὑποδεξάμενος, τοὺς ἀνέμους μιμῇ, διὰ τῆς ἀντιπνοίας ἀντιδιδόντας τὸ ἐνεχθέν. μὴ διδασκάλῳ χρήσῃ τῷ ἐχθρῷ, μηδὲ ὃ μισεῖς, τοῦτο ζηλώσῃς, μηδὲ γένῃ, ὥσπερ κάτοπτρον τοῦ ὀργίλου, τὴν ἐκείνου μορφὴν ἐν σεαυτῷ δεικνύς. ἐρυθρὸς ἐκεῖνος· σὺ δὲ οὐκ ἐφοινίχθης; ὀφθαλμοὶ ὕφαιμοι· οἱ δὲ σοὶ, εἰπέ μοι, γαληνὴν βλέπουσι; φωνὴ τραχεῖα. ἡ δὲ σὴ

ἠπία;

ἠπίᾳ; οὐδὲ ἡ ἐν ταῖς ἐρημίαις ἠχὼ οὕτως ἀνεκλάσθη ἀκεραία
πρὸς τὸν φθεγξάμενον, ὡς ἐπὶ τὸν λοίδορον αἱ ὕβρεις ἐπαναστρέ-
φουσι· μᾶλλον δὲ ὁ μὲν ἦχος ὁ αὐτὸς ἀπεδόθη, ἡ δὲ λοιδορία
μετὰ προσθήκης ἐπάνεισιν. οἷα γὰρ ἀλλήλους ἐφυβρίζοντες ἀντι-
φθέγγονται; ὁ μὲν εἶπεν ἀφανῆ καὶ ἐξ ἀφανῶν. ὁ δὲ ἀπεκά-
λεσεν οἰκοτρίβων οἰκότριβα. οὗτος πένητα, ἐκεῖνος ἀλήτην.
οὗτος ἀμαθῆ, ἐκεῖνος παραπλῆγα. ἕως ἂν αὐτοῖς αἱ ὕβρεις ὥ-
σπερ τοξεύματα, ἐπιλίπωσιν. εἶτα ἐπειδὰν πᾶσαν λοιδορίαν
διὰ τῆς γλώττης ἐκσφενδονήσωσιν, οὕτω λοιπὸν πρὸς τὴν διὰ
τῶν ἔργων χωροῦσιν ἄμυναν. θυμὸς μὲν γὰρ ἐγείρει μάχην, μά-
χη δὲ γεννᾷ λοιδορίας, αἱ δὲ λοιδορίαι πληγάς, αἱ δὲ πληγαὶ
τραύματα, ἐκ δὲ τραυμάτων πολλάκις θάνατοι. ἀπὸ τῆς πρώ-
της ἀρχῆς τὸ κακὸν ἐπίσχωμεν, τὴν ὀργὴν πάσῃ μηχανῇ τῶν ψυ-
χῶν ἐξελόντες. οὕτω γὰρ ἂν δυνηθείημεν τὰ πλεῖστα τῶν κακῶν,
ὥσπερ ῥίζῃ τινὶ καὶ ἀρχῇ τῷ πάθει τούτῳ συνεκτεμεῖν. ἐλοιδό-
ρησε; σὺ δὲ εὐλόγησον. ἐτύπτησε; σὺ δὲ ὑπόμεινον. διαπτύει
καὶ τὸ μηδὲν ἡγεῖταί σε; σὺ δὲ ἔννοιαν λάβε σεαυτοῦ, ὅτι ἐκ γῆς
ὑφέστηκας, καὶ εἰς γῆν πάλιν ἀναλυθήσῃ. ὁ γὰρ τούτοις τοῖς λό-
γοις ἑαυτὸν προκατασχών, πᾶσαν ἀτιμίαν ἐλάττονα εὑρήσει
τῆς ἀληθείας. οὕτω γὰρ καὶ τῷ ἐχθρῷ ἀμήχανον κατασκευάσεις
τὴν ἄμυναν, ἄτρωτον σεαυτὸν ταῖς λοιδορίαις δεικνύς, καὶ σεαυ-
τῷ μέγαν τῆς ὑπομονῆς προξενήσεις τὸν στέφανον, τὴν ἑτέρου
μανίαν ἀφορμὴν οἰκείας φιλοσοφίας ποιούμενος. ὥστε ἂν ἐμοὶ
πείθῃ καὶ ἐπιδαψιλεύσῃ τῶν ὕβρεων. ἀφανῆ σε εἶπε καὶ ἄδο-
ξον, καὶ μηδένα μηδαμόθεν; σὺ δὲ γῆν εἰπὲ καὶ σποδὸν σεαυ-
τόν. οὐκ εἶ σεμνότερος τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὃς ἑαυτὸν ταῦ-
τα ἀπεκάλει, ἀμαθῆ καὶ πτωχόν, καὶ τοῦ μηδενὸς ἄξιον; σὺ δὲ
σκώληκα σεαυτὸν εἰπέ, καὶ ἀπὸ κοπρίας ἔχειν τὴν γένεσιν, τὰ τοῦ
Δαβὶδ λέγων ῥήματα. τούτοις πρόσθες καὶ τὸ τοῦ Μωϋσέως καλόν.
ἐκεῖνος ὑπὸ Ἀαρὼν καὶ Μαρίας λοιδορηθείς, οὐ κατενέτυχε τῷ
Θεῷ, ἀλλὰ προσηύχετο ὑπὲρ αὐτῶν. τίνων βούλει μαθητὴς

εἶναι μᾶλλον, τῶν θεοφίλων καὶ μακαρίων ἀνδρῶν, ἢ τῶν ὑπὸ τοῦ πνεύματος τῆς πονηρίας πεπληρωμένων; ὅταν σοι κινηθῇ τῆς λοιδορίας ὁ πειρασμὸς, νόμιζε κρίνεσθαι σεαυτὸν, πότερον διὰ τῆς μακροθυμίας προσχωρεῖς τῷ Θεῷ, ἢ διὰ τῆς ὀργῆς ἀποδέχεις πρὸς τὸν ἀντίδικον. δὸς καιρὸν τοῖς λογισμοῖς σεαυτοῦ, τὴν ἀγαθὴν ἐκλέξασθαι μερίδα· ἢ γὰρ ὠφέλησάς τι τὸν πλησίον τῷ ὑποδείγματι τῆς πραότητος, ἢ χαλεπώτερον ἠμύνω διὰ τῆς ὑπεροψίας. τί γὰρ ἂν γένοιτο ὀδυνηρότερον τῷ ἐχθρῷ, ἢ τὸν ἐχθρὸν ἑαυτοῦ ὁρᾷν ὕβρεων ὑψηλότερον; μὴ καταβάλῃς σεαυτοῦ τὴν γνώμην, μηδὲ ἀνάσχῃ γενέσθαι ἐφικτὸς τοῖς ὑβρίζουσιν. ἔασον αὐτὸν ἀπρακτῆσαι καὶ ὑλακτεῖν. ἐφ' ἑαυτοῦ διαῤῥηγνύσθω· ὥσπερ γὰρ ὁ τύπτων τὸν μὴ ἀλγοῦντα, ἑαυτὸν τιμωρεῖται (οὔτε γὰρ τὸν ἐχθρὸν ἠμύνατο, καὶ τὸν θυμὸν οὐκ ἀνέπαυσεν) οὕτως ὁ τὸν ἀλοιδόρητον ὀνειδίζων, παραμυθίαν εὑρεῖν τοῦ πάθους οὐ δύναται. τοὐναντίον μὲν οὖν, ὅπερ ἔφην, καὶ διαπρίεται· εὐθὺς γὰρ ἐκ τῶν παρόντων, οἷα ἑκάτερος ὑμῶν προσαγορεύεται; ὁ μὲν λοίδορος, σὺ δὲ μεγαλόψυχος· ὁ μὲν ὀργίλος καὶ χαλεπὸς, σὺ δὲ μακρόθυμος καὶ πρᾷος· ὁ μὲν μεταγνώσεται ἐφ' οἷς ἐφθέγξατο, σὺ δὲ οὐδέποτε μεταμελήσῃ τῆς ἀρετῆς. τί δεῖ τὰ πολλὰ λέγειν; τῷ μὲν ἀπέκλεισε τὴν τῶν Οὐρανῶν βασιλείαν ἡ λοιδορία· λοίδοροι γὰρ βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι· σοὶ δὲ ἡτοίμασε τὴν βασιλείαν ἡ σιωπή· ὁ γὰρ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. ἀμυνόμενος δὲ καὶ εἰς ἴσον ἀντικαθιστάμενος τῷ λοιδόρῳ, τί καὶ ἀπολογήσῃ; ὅτι παροξύνας κατήρξας; καὶ ποίας τοῦτο συγγνώμης ἄξιον; οὐδὲ γὰρ ὁ πόρνος ἐπὶ τὴν ἑταίραν τὴν αἰτίαν μετατιθεὶς ὡς πρὸς τὴν ἁμαρτίαν διερεθίσασαν, ἧττον τῆς κατακρίσεως ἀξιοῦται. οὔτε στέφανοι χωρὶς ἀνταγωνιστῶν, οὔτε πτώματα χωρὶς ἀντιπάλων. ἄκουε τοῦ Δαβὶδ λέγοντος· ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, οὐχὶ παροξύνθην, οὐδὲ ἠμυνάμην, ἀλλ' ἐκωφώθην,

φώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν. σὺ δὲ παροξύνῃ μὲν ὡς ἐπὶ φαύλῃ τῇ λοιδορίᾳ, μιμῇ δὲ πάλιν ὡς ἀγαθόν. ἰδοὺ γὰρ ἔπαθες ἃ ἐγκαλεῖς. ἢ τὸ μὲν ἀλλότριον κακὸν ἐπιμελῶς καταβλέπεις, τὸ δὲ σεαυτοῦ αἰσχρὸν οὐδαμοῦ τίθης; πονηρὸν ἡ ὕβρις; φύγε τὴν μίμησιν. οὐ γὰρ δὴ τὸ ἕτερον κατάρξαι, ἱκανὸν εἰς παραίτησιν. δικαιότερον μὲν οὖν, ὡς ἐμαυτὸν πείθω, ἐπιτεῖναι τὴν ἀγανάκτησιν. διότι ὁ μὲν οὐκ εἶχε τὸ σωφρονίζον ὑπόδειγμα· σὺ δὲ βλέπων ἀσχημονοῦντα τὸν ὀργιζόμενον, οὐκ ἐφυλάξω αὐτοῦ τὴν ὁμοίωσιν. ἀλλ' ἀγανακτεῖς, καὶ χαλεπαίνεις, καὶ ἀντοργίζῃ, καὶ γίνεταί σοι τὸ πάθος ἀπολογία τοῦ προλαβόντος. αὐτοῖς γὰρ οἷς ποιεῖς, κἀκεῖνον αἰτίας ἀφίης, καὶ σεαυτὸν κατακρίνεις. εἰ μὲν γὰρ πονηρὸν ὁ θυμός, τί οὐκ ἐξέκλινας τὸ κακόν; εἰ δὲ συγγνώμης ἄξιον, τί χαλεπαίνεις τῷ θυμουμένῳ; ὥστε εἰ δεύτερος ἦλθες πρὸς τὴν ἀντίδοσιν, οὐδέν σε τοῦτο ὀνήσει. οὐδὲ γὰρ ἐν τοῖς στεφανίταις ἀγῶσιν ὁ κατάρξας τῶν παλαισμάτων, ἀλλ' ὁ ὑπερβαλλόμενος στεφανοῦται. καὶ κατακρίνεται τοίνυν, οὐχὶ μόνον ὁ καθηγησάμενος τοῦ δεινοῦ, ἀλλὰ καὶ ὁ πονηρῷ ἡγεμόνι πρὸς τὴν ἁμαρτίαν ἐξακολουθήσας. ἐὰν πένητά σε προσείπῃ, εἰ μὲν ἀληθῆ λέγει, κατάδεξαι τὴν ἀλήθειαν· εἰ δὲ ψεύδεται, τί πρὸς σὲ τὸ λεγόμενον; μήτε πρὸς ἐπαίνους χαυνωθῇς τοὺς ὑπὲρ τὴν ἀλήθειαν· μήτε πρὸς ὕβρεις ἀγριανῇς τὰς οὐχ ἁπτομένας σου. οὐχ ὁρᾷς τὰ τοξεύματα; πῶς τῶν μὲν στερρῶν καὶ ἀντιτύπων πέφυκε διεκπίπτειν, ἐν δὲ τοῖς ἁπαλοῖς καὶ ὑπείκουσι τὴν ὁρμὴν ὑπεκλύειν; τοιοῦτον δή τι νόμιζε εἶναι καὶ τὸ τῆς λοιδορίας. ὁ μὲν ἀντιβαίνων, εἰς ἑαυτὸν καταδέχεται· ὁ δὲ ἐνδιδοὺς καὶ ὑπείκων ἐν τῇ ἁπαλότητι τῆς ῥοπῆς, τὴν ἐπ' αὐτὸν φερομένην πονηρίαν διέλυσε. τί δέ σε ταράσσει ἡ προσηγορία τοῦ πένητος; μνήσθητι τῆς φύσεως σεαυτοῦ, ὅτι γυμνὸς εἰς τὸν κόσμον εἰσῆλθες, γυμνὸς καὶ ἀπελεύσῃ. τί δὲ γυμνοῦ πενιχρότερον; οὐδὲν ἤκουσας δεινόν, ἐὰν μὴ σεαυτῷ οἰκειώσῃς τὰ εἰρημένα. τίς πώποτε ἀπήχθη

διὰ πενίαν εἰς δεσμωτήριον; οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν. μνήσθητι τοῦ Δεσπότου, ὅτι πλούσιος ὢν ἐπτώχευσε δι᾽ ἡμᾶς. ἐὰν ἄφρονά σε καὶ ἀμαθῆ προσαγορεύσῃ, ὑπομνήσθητι τῶν Ἰουδαϊκῶν ὕβρεων, αἷς τὴν ἀληθινὴν σοφίαν ἐλοιδορήσαντο. σαμαρείτης εἶ, καὶ δαιμόνιον ἔχεις. ἐὰν μὲν οὖν ὀργισθῇς, ἐβεβαίωσας τὰ ὀνείδη. τί γὰρ ὀργῆς ἀφρονέστερον; ἐὰν δὲ μείνῃς ἀόργητος, ᾔσχυνας τὸν ὑβρίσαντα, ἔργῳ τὴν σωφροσύνην ἐπιδειξάμενος. ἐρραπίσθης; καὶ γὰρ καὶ ὁ Κύριος. ἐνεπτύσθης; ἀλλὰ καὶ ὁ Δεσπότης ἡμῶν. οὐ γὰρ ἀπέστρεψε τὸ πρόσωπον ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ἐσυκοφαντήθης; καὶ γὰρ καὶ ὁ κριτής. περιερρήξαντό σου τὸν χιτωνίσκον; ἀπέδυσάν μου καὶ τὸν Κύριον, καὶ διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ ἑαυτοῖς. οὔπω κατεκρίθης, οὔπω ἐσταυρώθης. πολλά σοι λείπει, ἵνα φθάσῃς αὐτοῦ πρὸς τὴν μίμησιν. τούτων ἕκαστον ὑποτρεχέτωσαν τὴν διάνοιαν, καὶ καταστελλέτω τὴν φλεγμονήν. αἱ γὰρ τοιαῦται προπαρασκευαὶ καὶ διαθέσεις, οἷον πηδήματα τῆς καρδίας καὶ σφυγμοὺς ἀφαιροῦσαι, εἰς εὐστάθειαν καὶ γαλήνην τοὺς λογισμοὺς ἐπανάγουσι. καὶ τοῦτ᾽ ἔστιν ἄρα τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, ὅτι ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην. δεῖ τοίνυν τὸ μανικὸν καὶ ἔμπληκτον κίνημα τῆς ψυχῆς καταστέλλειν τῇ μνήμῃ τῶν μακαρίων ὑποδειγμάτων. πῶς ὁ μέγας Δαβὶδ πρᾴως ὑπείχετο τῆς παροινίας τοῦ Σεμεεῖ; οὐ γὰρ ἐδίδου καιρὸν τῇ ὀργῇ κινηθῆναι, πρὸς τὸν Θεὸν μεταφέρων τὴν ἔννοιαν, ὅτι Κύριος, εἶπε, φησὶ, τῷ Σεμεεῖ καταρᾶσθαι τὸν Δαβίδ. διόπερ ἀκούων, αἱμάτων ἀνὴρ καὶ ἀνὴρ παράνομος, οὐκ ἐκείνῳ ἐχαλέπαινεν, ἀλλ᾽ ἑαυτὸν ἐταπείνου, ὡς κατὰ τὴν ἀξίαν αὐτοῦ τῆς ὕβρεως ἀπαντώσης. δύο δὴ ταῦτα περιέλε σεαυτοῦ· μήτε σεαυτὸν μεγάλων ἄξιον κρίνῃς, μήτε ἀνθρώπων τινὰ παραπολὺ ἐλαττοῦσθαί σου κατὰ τὴν ἀξίαν νομίσῃς. οὕτω γὰρ οὐδέποτε ὁ θυμὸς ἐν ταῖς ἐπαγομέναις ἡμῖν ἀτιμίαις ἐπαναστήσεται. δεινὸν μὲν τὸν εὐεργετηθέντα καὶ ταῖς μεγίσταις ὑπόχρεων χάρισι, πρὸς τῷ ἀχαρίστῳ, ἔτι καὶ ὕβρεως καὶ ἀτι-

ατι-

ἀτιμίας κατάρξαι. δεινὸν μὲν, ἀλλὰ τῷ ποιοῦντι μεῖζόν τί ἐστι κακὸν, ἢ τῷ πάσχοντι. ἐκεῖνος ὑβριζέτω, σὺ δὲ μὴ ὑβρίζου. γυμνάσιόν σοι πρὸς φιλοσοφίαν ἔσω τὰ ῥήματα. ἐὰν μὴ δηχθῇς, ἄτρωτος εἶ. ἐὰν δὲ καὶ πάθῃς τι τὴν ψυχὴν, ἐν σεαυτῷ κάτασχε τὸ λυπηρόν. ἐν ἐμοὶ γὰρ, φησιν, ἐταράχθη ἡ καρδία μου, τουτέστιν, οὐ διεδόθη πρὸς τὸ ἔξω τὸ πάθος, ἀλλ' οἷόν τι κῦμα εἴσω τῶν αἰγιαλῶν κατακλασθὲν ἐστορέσθη. καθησύχασόν μοι τὴν καρδίαν ὑλακτοῦσαν, καὶ ἀγριαίνουσαν· αἰδείσθω τὰ πάθη τοῦ ἐν σοὶ λόγου τὴν ἐπιφάνειαν, ὥσπερ τὰ ἐν παισὶν ἄτακτον ἀνδρὸς αἰδεσίμου παρουσίαν. πῶς οὖν ἐκφύγοιμεν τὴν ἐκ τοῦ ὀργίζεσθαι βλάβην; ἐὰν πείσωμεν τὸν θυμὸν μὴ προλαμβάνειν τοὺς λογισμούς. ἀλλὰ τοῦτο πρῶτον ἐπιμελώμεθα, ὡς μηδέ ποτε αὐτὸν προεκτρέχειν τῆς διανοίας. ἔχωμεν δὲ ὥσπερ ἵππον ὑπεζυγμένον ἡμῖν καὶ οἷον χαλινῷ τινι τῷ λόγῳ καταπειθῆ, μηδαμοῦ τῆς τάξεως ἐκβαίνοντα τῆς οἰκείας, ἀγόμενον δὲ ὑπὸ τοῦ λόγου, ἐφ' ὅπερ ἂν καθηγῆται. ἔστι γὰρ πρὸς πολλὰ τῶν τῆς ἀρετῆς ἔργων ἐπιτήδειον, ἡμῶν τῆς ψυχῆς τὸ θυμοειδὲς, ὅταν, ὥσπερ τις στρατιώτης παρὰ τῷ στρατηγῷ τὰ ὅπλα θέμενος, ἑτοίμως ἐπὶ τὰ παραγγελλόμενα τὰς βοηθείας παρέχηται, καὶ σύμμαχος ᾖ τῷ λόγῳ κατὰ τῆς ἁμαρτίας. νεῦρον γάρ ἐστι τῆς ψυχῆς ὁ θυμὸς, τόνον αὐτῇ πρὸς τὴν τῶν καλῶν ἔνστασιν ἐμποιῶν. εἰ γάρ ποτε λάβοι αὐτὴν ὑφ' ἡδονῆς ἐκλυθεῖσαν, οἱονεὶ βαφῇ σιδήρου στομώσας, αὐστηρὰν αὐτὴν καὶ ἀνδρείαν ἐκ μαλακῆς ἄγαν, καὶ ἀνειμένης ἐποίησεν. οὐ γὰρ εἰ μὴ θυμωθείης κατὰ τοῦ πονηροῦ, δυνατόν σοι μισῆσαι αὐτὸν ὅσον ἄξιον. δεῖ γὰρ, οἶμαι, τὴν ἴσην σπουδὴν ἔχειν περί τε τὴν ἀγάπην τῆς ἀρετῆς, καὶ περὶ τὸ μῖσος τῆς ἁμαρτίας, πρὸς ὅπερ μάλιστα χρήσιμος ὁ θυμός. ἐπειδὰν οἷον κύων ποιμένι, οὕτως ὁ θυμὸς τῷ λογισμῷ παρεπόμενος, πρᾶος μὲν ᾖ καὶ χειροήθης τοῖς ὠφελοῦσι, καὶ εὐανάκλητος τῷ λογισμῷ, πρὸς μὲν τὴν ἀλλοτρίαν, καὶ φωνὴν καὶ ὄψιν ἐξηγριωμένος, κἂν θεραπείαν ἔχειν δοκῇ, τοῦ δὲ συνή-

θως αὐτοῦ καὶ φίλου ἐμβοήσαντος, ὑποπτήσσων· αὕτη ἀρίστη ἐστὶ καὶ ἔμμετρος τῷ φρονίμῳ τῆς ψυχῆς μέρει παρὰ τοῦ θυμοειδοῦς ἡ συνεργία· ὁ γὰρ τοιοῦτος ἀδιάλλακτος ἔσαι τοῖς ἐπιβούλοις καὶ ἄσπονδος· μηδέποτε τὴν πρὸς τὸ βλάπτον φιλίαν καταδεχόμενος, ἀλλὰ τὴν ἐπίβουλον ἡδονὴν ὥσπερ τινὰ λύκον ὑλακτῶν ἀεὶ καὶ σπαράσσων· τοῦτον μὲν δὴ ἀπὸ τοῦ θυμοῦ τὸ ὠφέλιμον, τοῖς εἰδόσι μεταχειρίζεσθαι· ἐπεὶ καὶ τῶν ἄλλων δυνάμεων ἑκάστη παρὰ τὸν τρόπον τῆς χρήσεως, ἢ κακὸν, ἢ ἀγαθὸν τῷ κεκτημένῳ γίνεται. οἷον τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς, ὁ μὲν εἰς ἀπόλαυσιν σαρκὸς καὶ τῶν ἀκαθάρτων ἡδονῶν ἀποχρησάμενος, βδελυκτὸς καὶ ἀκόλαστος· ὁ δὲ ἐπὶ τὴν ἀγάπην τοῦ Θεοῦ στρέψας, καὶ τὴν ὄρεξιν τῶν αἰωνίων ἀγαθῶν, ζηλωτὸς καὶ μακάριος. πάλιν καὶ τὸ λογιστικὸν ὁ μὲν καλῶς μεταχειριζόμενος, φρόνιμός ἐστι καὶ συνετός· ὁ δὲ ἐπὶ βλάβῃ τῶν πλησίον ἠκονημένος τὸν νοῦν, κακεντρεχής ἐστι καὶ πανοῦργος. μὴ δὴ ἓν τῶν πρὸς σωτηρίαν ἡμῖν δεδομένων παρὰ τοῦ κτίσαντος, ἀφορμὴν ἑαυτοῖς ἁμαρτίας ποιήσωμεν. ὥσπερ δὴ καὶ ὁ θυμὸς, ὅτε δεῖ, καὶ ὡς δεῖ κινούμενος, ἀνδρείαν ποιεῖ, καὶ ὑπομονὴν, καὶ ἐγκράτειαν, παρὰ δὲ τὸν ὀρθὸν λόγον ἐνεργῶν, μανία γίνεται. διὰ τοῦτο ἡμᾶς καὶ ὁ Ψαλμὸς νουθετεῖ, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· καὶ ὁ Κύριος τῷ μὲν ὀργιζομένῳ εἰκῆ, τὴν κρίσιν ἐπανατείνεται· τὸ δὲ ἐφ' ἃ δεῖ κεχρῆσθαι τῇ ὀργῇ, ὡς ἐν φαρμάκου εἴδει, οὐ παραιτεῖται. τὸ γὰρ, ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ τοῦ ὄφεως· καὶ τὸ, ἐχθραίνετε τοῖς Μαδιηναίοις, διδάσκοντός ἐστι κεχρῆσθαι τῷ θυμῷ ὥσπερ ὅπλῳ. διὰ τοῦτο Μωϋσῆς ὁ πάντων ἀνθρώπων πραότατος, ἐκδικῶν τὴν εἰδωλολατρείαν, τὰς τῶν Λευιτῶν χεῖρας πρὸς τὸν τῶν ἀδελφῶν φόνον ἐξώπλισε· θέσθω, φησὶ, τὴν ῥομφαίαν ἕκαστος ἐπὶ τὸν μηρὸν αὐτοῦ, καὶ διέλθετε ἀπὸ πύλης εἰς πύλην, καὶ ἀνακάμψατε διὰ τῆς παρεμβολῆς, καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτοῦ. καὶ μετ' ὀλίγα· καὶ εἶπε, φησὶ, Μωϋσῆς· ἐπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον τῷ Κυ-

Κυρίῳ, ἕκαστος ἐν τῷ Υἱῷ αὐτοῦ, καὶ ἐν τῷ ἀδελφῷ αὐτοῦ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν. τί δὲ τὸν Φινεὲς ἐδικαίωσεν; οὐχ ἡ δικαία ὀργὴ κατὰ τῶν πορνευσάντων; ὃς τὰ πολλὰ ἐπιεικὴς ὢν καὶ πρᾶος, ἐπειδὴ εἶδε τὴν πορνείαν τοῦ Ζαμβεὶ καὶ τῆς Μαδιανίτιδος ἀναφανδὸν καὶ ἀπηρυθριασμένως γινομένην, οὐδὲ συγκαλυπτόντων αὐτῶν τὴν αἰσχύνην, τὴν ἀσχήμονα θέαν οὐκ ἀναχόμενος, εἰς δέον ἐχρήσατο τῷ θυμῷ, δι' ἀμφοῖν ἐλάσας τὸν σειρομάστην. Σαμουὴλ δὲ τὸν Ἀγὰγ τὸν βασιλέα τοῦ Ἀμαλὴκ ὑπὸ τοῦ Σαοὺλ παρὰ τὸ πρόσταγμα τοῦ Θεοῦ περισωθέντα, οὐχ ὑπὸ δικαίας ὀργῆς εἰς μέσον ἀγαγὼν κατεφόνευσεν; οὕτω γίνεται πολλάκις ὁ θυμὸς ἀγαθῶν πράξεων ὑπηρέτης. Ἠλίας δὲ ὁ ζηλωτὴς, πεντήκοντα καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῆς αἰσχύνης, καὶ τετρακοσίους ἄνδρας ἱερεῖς τῶν ἀλσῶν, ἐσθίοντας τράπεζαν Ἰεζάβελ, λελογισμένῳ θυμῷ καὶ σώφρονι εἰς ὄφελος παντὸς τοῦ Ἰσραὴλ ἐθανάτωσε. σὺ δὲ ὀργίζῃ τῷ ἀδελφῷ σου εἰκῇ· πῶς γὰρ οὐκ εἰκῇ, ἄλλου ἐνεργοῦντος, ἄλλῳ χαλεπαίνων αὐτός; καὶ ποιεῖς τὸ τῶν κυνῶν, οἳ τοὺς λίθους δάκνουσι, τοῦ βάλλοντος οὐ προσαπτόμενοι· ὁ ἐνεργούμενος, ἐλεεινός· ὁ δὲ ἐνεργῶν, μισητός. ἐκεῖ τὸν θυμὸν μετάθες, ἐπὶ τὸν ἀνθρωποκτόνον, τὸν τοῦ ψεύδους πατέρα, τὸν ἐργάτην τῆς ἁμαρτίας. τῷ δὲ ἀδελφῷ καὶ συμπάθησον, ὅτι ἐὰν ἐπιμείνῃ τῇ ἁμαρτίᾳ, μετὰ τοῦ διαβόλου παραδοθήσεται τῷ αἰωνίῳ πυρί. ὥσπερ δὲ τὰ ὀνόματα διάφορα θυμοῦ καὶ ὀργῆς, οὕτω καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πλεῖστον ἀλλήλων διαφέρει. ἔστι γὰρ θυμὸς μὲν, οἷον ἐξαψίς τις καὶ ἀναθυμίασις ὀξεῖα τοῦ πάθους· ὀργὴ δὲ, ἔμμονος λύπη καὶ ὁρμὴ διαρκὴς πρὸς τὴν τῶν ἠδικηκότων ἀντίδοσιν, ὥσπερ ὀργώσης τῆς ψυχῆς πρὸς τὴν ἄμυναν. εἰδέναι οὖν χρὴ, ὅτι κατ' ἀμφοτέρας τὰς διαθέσεις πλημμελοῦσιν οἱ ἄνθρωποι, ἢ μανικῶς καὶ ἐμπλήκτως κατὰ τῶν παροξυνόντων κινούμενοι, ἢ δολερῶς καὶ ἐπιβούλως τοὺς λυπήσαντας ἐνεδρεύοντες, ἅπερ ἀμφότερα φυλακτέον ἡμῖν. πῶς οὖν ἂν μὴ κινοῖτο πρὸς ἃ μὴ δεῖ τὸ πάθος; πῶς; εἰ

παι-

παιδευθεὶς τὴν ταπεινοφροσύνην, ἣν ὁ Κύριος καὶ λόγῳ διετάξατο καὶ ἔργῳ ὑπέδειξε· νῦν μὲν λέγων, ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος· νῦν δὲ, πράως καὶ ἀκινήτως τοῦ τύπτοντος ἀνεχόμενος. ὁ γὰρ Οὐρανοῦ καὶ γῆς Ποιητὴς καὶ Δεσπότης, ὁ παρὰ πάσης τῆς νοητῆς, καὶ αἰσθητῆς κτίσεως προσκυνούμενος, ὁ φέρων τὰ σύμπαντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐχὶ ζῶντα ἔπεμψεν αὐτὸν εἰς τὸν ᾅδην, τῆς γῆς ἀποῤῥαγείσης τῷ δυσσεβεῖ, ἀλλὰ νουθετεῖ καὶ διδάσκει· εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ, εἰ δὲ καλῶς, τί με δέρεις; ἐὰν γὰρ ἐθισθῇς πάντων ἔσχατος εἶναι κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, πότε ἀγανακτήσεις, ὡς παρὰ τὴν ἀξίαν καθυβριζόμενος; ὅταν σε παιδίον νήπιον λοιδορήσῃ, γέλωτος ἀφορμὴν ποιῇ τὰ λοιδορήματα· καὶ ὅταν ὑπὸ φρενίτιδος, ἐξεστηκὼς τὴν διάνοιαν, φθέγγηταί ῥήματα ἀτιμίας, ἐλεεινὸν ἡγῇ μᾶλλον, ἢ μίσους ἄξιον. οὐ τοίνυν τὰ ῥήματα πέφυκε τὰς λύπας κινεῖν, ἀλλ' ἡ κατὰ τοῦ λοιδορήσαντος ἡμᾶς ὑπεροψία, καὶ ἡ ἑκάστου περὶ ἑαυτοῦ φαντασία. ὥστε ἂν ἀφέλῃς τῆς ἑαυτοῦ διανοίας τούτων ἑκάτερον, ψόφος ἐστὶν ἄλλως διακενῆς ἠχῶν τὰ φερόμενα. παῦσαι οὖν ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμὸν, ἵνα φύγῃς τῆς ὀργῆς τὴν πεῖραν τῆς ἀποκαλυπτομένης ἀπ' Οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων. ἐὰν γὰρ λογισμῷ σώφρονι ἐκτεμεῖν δυνηθῇς τὴν πικρὰν ῥίζαν τοῦ θυμοῦ, πολλὰ τῶν παθῶν τῇ ἀρχῇ ταύτῃ συναναιρήσεις. καὶ γὰρ τὸ δολερὸν, καὶ ὕποπτον, καὶ ἄπιστον, καὶ κακόηθες, καὶ ἐπίβουλον, καὶ θρασὺ, καὶ πᾶν τὸ τῶν τοιούτων πονηρῶν σμῆνος, ταύτης τῆς κακίας ἐστὶν ἀποβλαστήματα. μὴ δὴ οὖν ἐπεισάγωμεν ἑαυτοῖς κακὸν τοσοῦτον, ἀῤῥωστίαν ψυχῆς, σκότωσιν λογισμῶν, ἀπὸ Θεοῦ ἀλλοτρίωσιν, οἰκειότητος ἄγνοιαν, ἀρχὴν πολέμου, συμφορῶν πλήρωμα, δαίμονα πονηρὸν, αὐταῖς ἡμῶν ταῖς ψυχαῖς ἐντικτόμενον, καὶ ὥσπερ τινὰ ἔνοικον ἀναιδῆ, προκατέχοντα ἡμῶν τὰ ἔνδον, καὶ τῷ Ἁγίῳ Πνεύματι

τὴν πάροδον ἀποκλείοντα. ὅπου γὰρ ἔχθραι, ἔρεις, θυμοί, ἐριθεῖαι, φιλονεικίαι, θορύβους ἀσιγήτους ταῖς ψυχαῖς ἐμποιοῦντα, ἐκεῖ τὸ Πνεῦμα τῆς πρᾳότητος οὐκ ἀναπαύεται. πειθέντες δὲ τῇ παραινέσει τοῦ μακαρίου Παύλου, πᾶσαν ὀργὴν, καὶ θυμὸν, καὶ κραυγὴν ἄρωμεν ἀφ᾽ ἡμῶν σὺν πάσῃ κακίᾳ, καὶ γινώμεθα εἰς ἀλλήλους χρηστοὶ καὶ εὔσπλαγχνοι, ἀναμένοντες τὴν μακαρίαν ἐλπίδα τὴν τοῖς πρᾳέσιν ἐπηγγελμένην· μακάριοι γὰρ οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ ΕΙΣ ΤΟ, ΚΑΘΕΛΩ ΜΟΥ

Τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω.

Διπλοῦν τὸ εἶδος τῶν πειρασμῶν· ἢ γὰρ αἱ θλίψεις βασανίζουσι τὰς καρδίας, ὥσπερ χρυσὸν ἐν καμίνῳ, διὰ τῆς ὑπομονῆς τὸ δοκίμιον αὐτῶν ἀπελέγχουσαι· ἢ καὶ πολλάκις αὐταὶ αἱ εὐθηνίαι τοῦ βίου ἀντὶ πειρατηρίου γίνονται τοῖς πολλοῖς· ὁμοίως γὰρ ἐστὶ χαλεπὸν, οὕτω ταῖς δυσκολίαις τῶν πραγμάτων ἀταπείνωτον τὴν ψυχὴν διασώσασθαι, καὶ ἐν ταῖς περιφανείαις τοῦ βίου μὴ ἐπαρθῆναι πρὸς ὕβριν. παράδειγμα δὲ τοῦ μὲν προτέρου εἴδους τῶν πειρασμῶν, ὁ μέγας Ἰὼβ, ὁ ἀκαταγώνιστος ἀθλητής· ὃς πᾶσαν τοῦ Διαβόλου τὴν βίαν, ὥσπερ χειμάρρου φορὰν, ἀσείστῳ καρδίᾳ καὶ λογισμοῖς ἀπτώτοις ὑποδεξάμενος, τοσούτῳ μείζων τῶν πειρασμῶν ἐφάνη, ὅσῳ μεγάλα αὐτῷ καὶ δυσέκλυτα ἐδόκει παρὰ τοῦ ἐχθροῦ προβεβλῆσθαι τὰ παλαίσματα. τῶν δὲ διὰ τὴν εὐημερίαν τοῦ

βίῳ πειρασμῶν ὑποδείγματα ἀλλά τινα, καὶ οὗτος ὁ νῦν ἡμῖν ἀναγνωσθεὶς πλούσιος· ὃς τὸν μὲν εἶχε πλοῦτον, τὸν δὲ ἤλπιζε, τοῦ φιλανθρώπου Θεοῦ ἐξ ἀρχῆς αὐτὸν ἐπὶ τῇ ἀγνωμοσύνῃ τῶν τρόπων μὴ κατακρίνοντος, ἀλλ' ἀεὶ τῷ προϋπάρχοντι πλούτῳ, πλοῦτον ἕτερον προστιθέντος, εἴπως αὐτῷ κόρον ἐμποιήσας ποτὲ, πρὸς τὸ κοινωνικὸν καὶ ἥμερον τὴν ψυχὴν αὐτοῦ ἐκκαλέσαιτο. ἀνθρώπου γὰρ, φησι, πλουσίου εὐφόρησεν ἡ χώρα, καὶ διελογίζετο καθ' ἑαυτόν· τί ποιήσω; καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. διὰ τί οὖν εὐφόρησεν ἡ χώρα ἀνθρώπου μηδὲν ἀγαθὸν ἐκ τῆς εὐφορίας ποιήσειν μέλλοντος; ἵνα μᾶλλον ἡ τοῦ Θεοῦ μακροθυμία φανῇ, καὶ μέχρι τῶν τοιούτων ἐκτεινομένης αὐτοῦ τῆς χρηστότητος. βρέχει γὰρ ἐπὶ δικαίους, καὶ ἀδίκους, καὶ ἀνατέλλει τὸν Ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς, καὶ ἀγαθούς. ἡ δὲ τοιαύτη τοῦ Θεοῦ ἀγαθότης, μείζονα συνάγει τοῖς πονηρευομένοις τὴν κόλασιν. ἐπέδωκε τοὺς ὄμβρους ἐπὶ τὴν ὑπὸ τῶν πλεονεκτικῶν χειρῶν γεωργουμένην γῆν, ἔδωκε τὸν Ἥλιον ἐκθάλπειν τὰ σπέρματα καὶ πολυπλασιάζειν τοὺς καρποὺς διὰ τῆς εὐφορίας. καὶ τὰ μὲν παρὰ Θεοῦ τοιαῦτα, γῆς ἐπιτηδειότης, ἀέρων εὔκρατοι καταστάσεις, σπερμάτων ἀφθονίαι, βοῶν συνεργίαι, τὰ ἄλλα, οἷς γεωργία πέφυκεν εὐθηνεῖσθαι. τὰ δὲ παρὰ τοῦ ἀνθρώπου, οἷα; τὸ πικρὸν τοῦ ἤθους ἡ μισανθρωπία, τὸ δυσμετάδοτον. ταῦτα τῷ εὐεργέτῃ ἀντεπεδείκνυτο. οὐκ ἐμνήσθη τῆς κοινῆς φύσεως. οὐχ ἡγήσατο χρῆναι τὸ περιττεῦον τοῖς ἐνδεέσι καταμερίσαι. οὐκ ἔσχε τινὰ λόγον τῆς ἐντολῆς· μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ, καὶ ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σοι. καὶ διάθρυπτε πεινῶντι τὸν ἄρτον σου. καὶ πάντες Προφῆται, καὶ πάντες Διδάσκαλοι ἐμβοῶντες οὐκ εἰσηκούοντο. ἀλλ' αἱ μὲν ἀποθῆκαι διεῤῥήγνυντο τῷ πλήθει τῶν ἀποκειμένων στενοχωρούμεναι. ἡ δὲ φειδωλὸς καρδία, οὐκ ἐνεπίμπλατο. ἀεὶ γὰρ τὰ νέα τοῖς παλαιοῖς προστιθεὶς, καὶ ταῖς κατ' ἔτος προσ-

θή-

θήκαις τὴν εὐπορίαν προσαύξων, εἰς τὴν ἀδιέξοδον ταύτην ἀμηχανίαν ἐνέπεσεν, ὑποχωρεῖν μὲν τοῖς παλαιοῖς διὰ τὴν πλεονεξίαν μὴ συγχωρῶν, ὑποδέχεσθαι δὲ τὰ νέα διὰ τὸ πλῆθος μὴ ἐξαρκῶν. διὰ τοῦτο ἀνήνυτα μὲν αὐτῷ τὰ βουλεύματα, ἄποροι δὲ αἱ φροντίδες. τί ποιήσω; τίς οὐκ ἂν ἐλεήσειε τὸν οὕτω πολιορκούμενον; δείλαιος τῆς εὐπορίας, ἐλεεινὸς τῶν παρόντων ἀγαθῶν, ἐλεεινότερος τῶν προσδοκωμένων. μὴ γὰρ προσόδους αὐτῷ φέρει ἡ γῆ; στεναγμοὺς αὐτῷ φύει. μὴ γὰρ καρπῶν αὐτῷ εὐφορίαν συνάγει; φροντίδας, καὶ λύπας, καὶ ἀμηχανίαν δεινήν. ὅμοια τοῖς πενομένοις ὀδύρεται. ἢ οὐχὶ ταύτην ἀφίησι τὴν φωνὴν, καὶ ὁ διὰ πτωχείαν στενοχωρούμενος; τί ποιήσω; πόθεν τροφαί; πόθεν ἐνδύματα; ταῦτα καὶ ὁ πλούσιος φθέγγεται. ὀδυνᾶται τὴν καρδίαν ὑπὸ τῆς μερίμνης διεσθιόμενος· ὃ γὰρ τοὺς ἄλλους εὐφραίνει, τοῦτο τήκει τὸν πλεονέκτην. οὐ γὰρ χαίρει, πάντων αὐτῷ πεπληρωμένων τῶν ἔνδον· ἀλλὰ νύσσει τὴν ψυχὴν αὐτοῦ περιρρέων ὁ πλοῦτος, καὶ τῶν ταμιείων ὑπερχεόμενος, μή που καὶ πρὸς τοὺς ἔξωθεν διαχυθεὶς, ἀγαθοῦ τινος ἀφορμὴ τοῖς ἐνδεέσι γένηται. καί μοι δοκεῖ τὸ πάθος αὐτοῦ τῆς ψυχῆς, τῷ τῶν γαστριμάργων προσεοικέναι, οἳ διαρραγῆναι μᾶλλον ὑπὸ λαιμαργίας αἱροῦνται, ἢ τῶν λειψάνων μεταδοῦναι τοῖς ἐνδεέσι. σύνες ἄνθρωπε τοῦ δεδωκότος. μνήσθητι σεαυτοῦ τίς εἶ, τί οἰκονομεῖς, παρὰ τίνος ἔλαβες, διὰ τί τῶν πολλῶν προεκρίθης. ἀγαθοῦ Θεοῦ γέγονας ὑπηρέτης, οἰκονόμος τῶν ὁμοδούλων. μὴ πάντα οἴου τῇ γαστρὶ τῇ σῇ παρεσκευάσθαι. ὡς περὶ ἀλλοτρίων βούλευε τῶν ἐν χερσί. μικρόν σε εὐφραίνει χρόνον. εἶτα διαρρυέντα οἰχήσεται, τὸν δὲ ἐπ' αὐτοῖς λόγον ἀπαιτηθήσῃ μετὰ ἀκριβείας. σὺ δὲ πάντα ὁμοῦ θύραις καὶ μοχλοῖς ἀποκλείσας ἔχεις. καὶ κατασημάνας σφραγῖσιν, ἐπαγρυπνεῖς ταῖς μερίμναις, καὶ βουλεύῃ κατὰ σαυτὸν, ἄφρονι συμβούλῳ σεαυτῷ κεχρημένος. τί ποιήσω; ἕτοιμον ἦν εἰπεῖν· ὅτι ἐμπλήσω τὰς ψυχὰς τῶν πεινώντων,

ἀνοίξω τὰς ἀποθήκας, καὶ πάντας καλέσω τοὺς ἐνδεεῖς. μιμήσομαι τὸν Ἰωσὴφ τῷ τῆς φιλανθρωπίας κηρύγματι. φθέγξομαι φωνὴν μεγαλόψυχον, ὅσοι ὑστερεῖσθε ἄρτων, ἔλθετε πρός με, τῆς παρὰ Θεοῦ δεδομένης χάριτος τὸ ἀρκοῦν ἕκαστος, οἷον ἐκ κοινῶν πηγῶν, συμμεθέξοντες. ἀλλ' οὐ τοιοῦτος σύ. πόθεν; ὅς γε βασκαίνεις μὲν τοῖς ἀνθρώποις τῆς ἀπολαύσεως· πονηρὸν δὲ βουλευτήριον ἐν τῇ ψυχῇ συγκροτήσας, φροντίζεις, οὐχ ὅπως μεταδῷς ἑκάστῳ τὰ πρὸς τὴν χρείαν, ἀλλ' ὅπως πάντα ὑποδεξάμενος, πάντας τῆς ἀπ' αὐτῶν ὠφελείας ἀποστερήσῃς. παρέστησαν οἱ τὴν ψυχὴν ἀπαιτοῦντες, καὶ ἐκεῖνος περὶ βρωμάτων τῇ ψυχῇ διελέγετο. ταύτῃ τῇ νυκτὶ περιελαμβάνετο, καὶ εἰς ἔτη πολλὰ τὴν ἀπόλαυσιν ἐφαντάζετο. συνεχωρήθη πάντα βουλεύσασθαι, καὶ φανερὰν ἑαυτοῦ ποιῆσαι τὴν γνώμην, ἵνα ἀξίαν τῆς προαιρέσεως δέξηται τὴν ἀπόφασιν· ὃ μὴ πάθῃς σύ. διὰ τοῦτο γὰρ γέγραπται, ἵνα φύγωμεν τὴν ὁμοίωσιν· μίμησαι τὴν γῆν, ἄνθρωπε, καρποφόρησον ὡς ἐκείνη, μὴ χείρων φανῇς τῆς ἀψύχου. ἐκείνη μὲν οὐ τοὺς καρποὺς οὐκ εἰς ἑαυτῆς ἀπόλαυσιν, ἀλλ' εἰς τὴν σὴν ὑπηρεσίαν ἐξέθρεψε. σὺ δὲ ὃν ἂν ἐπιδείξῃ τῆς εὐποιΐας καρπὸν, σεαυτῷ τοῦτον συνάγεις. διότι τῶν ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς διδόντας ἐπαναστρέφουσιν. ἔδωκας τῷ πεινῶντι, καὶ σὸν γίνεται τὸ δοθὲν μετὰ προσθήκης ἐπανελθόν. ὥσπερ γὰρ ὁ σῖτος εἰς τὴν γῆν πεσὼν, κέρδος τῷ προϊεμένῳ γίνεται, οὕτως ὁ ἄρτος εἰς τὸν πεινῶντα καταβληθεὶς, πολύχουν τὴν ὠφέλειαν εἰς ὕστερον ἀναδίδωσιν. ἔστω οὖν σοι τὸ πέρας τῆς γεωργίας, ἀρχὴ τῆς ἐπουρανίου σπορᾶς. σπείρατε γάρ φησιν, ἑαυτοῖς εἰς δικαιοσύνην. τί οὖν ἀδημονεῖς; τί κόπτεις σεαυτὸν, πηλῷ καὶ πλίνθοις τὸν πλοῦτον ἐναποκλεῖσαι φιλονεικῶν; κρεῖσσον ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν. εἰ δὲ θαυμάζεις τὰ χρήματα διὰ τὴν ἀπ' αὐτῶν τιμὴν, σκόπει πόσῳ πρὸς δόξαν λυσιτελέστερον, μυρίων παίδων Πατέρα προσα-

θορυβεῖσθαι, ἢ μυρίους ἔχειν στατῆρας ἐν βαλαντίῳ; τὰ μὲν γε χρήματα καταλείψεις ἐνταῦθα καὶ μὴ βουλόμενος· τὴν δὲ ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις φιλοτιμίαν ἀποκομίσεις πρὸς τὸν Δεσπότην, ὅταν δῆμος ὅλος ἐπὶ τοῦ κοινοῦ κριτοῦ περιστάντες σε, τροφέα, καὶ εὐεργέτην, καὶ πάντα τὰ τῆς φιλανθρωπίας ἀποκαλῶσιν ὀνόματα. οὐχ ὁρᾷς τοὺς ἐν τοῖς θεάτροις, παγκρατιαστάς, καὶ μίμους, καὶ θηριομάχους τινὰς ἀνθρώπους, οὓς κἂν βδελύξαιτό τις προσιδεῖν ὑπὲρ τῆς ἐν ὀλίγῳ τιμῆς, καὶ τῶν παρὰ τοῦ δήμου θορύβων καὶ κρότων τὸν πλοῦτον προϊεμένους; καὶ σὺ μικροπρεπὴς εἶ περὶ τὰς δαπάνας, τηλικαύτης μέλλων ἐπιβήσεσθαι δόξης; Θεὸς ἔσται ὁ ἀποδεχόμενος, Ἄγγελοι οἱ εὐφημοῦντες, οἱ ἀπὸ κτίσεως ἄνθρωποι μακαρίζοντες· δόξα αἰώνιος, στέφανος δικαιοσύνης, βασιλεία τῶν Οὐρανῶν, ἆθλά σοι ἔσται τῆς τῶν φθαρτῶν τούτων οἰκονομίας. ὧν οὐδενὸς φροντίζεις, τῇ περὶ τὰ παρόντα σπουδῇ τῶν ἐλπιζομένων ὑπερορῶν. δεῦρο δὴ οὖν ποικίλως διάθου τὸν πλοῦτον, φιλότιμος καὶ λαμπρὸς περὶ τὰς δαπάνας τῶν δεομένων γινόμενος. λεγέσθω καὶ περὶ σοῦ· ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. μὴ βαρύτιμος ἔσο, ταῖς χρείαις ἐπιτιθέμενος· μὴ ἀνάμενε σιτοδείαν, ἵνα ἀνοίξῃς σιτοδοχεῖα. ὁ γὰρ τιμιουλκῶν σῖτον, δημοκατάρατος. μὴ λιμὸν ἐκδέχου διὰ χρυσόν· μὴ κοινὴν ἔνδειαν, δι᾽ εὐπορίαν ἰδίαν· μὴ γίνου κάπηλος συμφορῶν ἀνθρωπίνων· μὴ τὴν ὀργὴν τοῦ Θεοῦ, καιρὸν ποιήσῃς περιουσίας χρημάτων· μὴ ἐπιξαίνῃς τραύματα κεκακωμένων ταῖς μάστιξι. σὺ δὲ πρὸς μὲν τὸν χρυσὸν ἀποβλέπεις, τὸν δὲ ἀδελφὸν οὐ προσβλέπεις. καὶ τοῦ μὲν νομίσματος ἐπιγινώσκεις τὸ χάραγμα, καὶ τοῦ δοκίμου διακρίνεις τὸ κίβδηλον· τὸν δὲ ἀδελφὸν παρὰ τὴν χρείαν παντελῶς ἀγνοεῖς. καὶ ἡ μὲν εὔχροιά σε τοῦ χρυσοῦ ὑπερήδει, ὅσος δέ σοι ἀκολουθεῖ τοῦ ἐνδεοῦς ὁ στεναγμός, οὐ λογίζῃ. πῶς σοι ὑπ᾽ ὄψιν ἀγάγω τὰ πάθη τοῦ πένητος; ἐκεῖνος περισκεψάμενος τὰ

ἔνδον, ὁρᾷ ὅτι χρυσὸς μὲν αὐτῷ οὐκ ἔστιν, οὔτε γενήσεταί ποτε· σκεύη δὲ καὶ ἐσθὴς τοιαῦτα, οἷα ἂν γένοιτο πτωχῶν κτήματα, ὀλίγων τὰ πάντα ὀβολῶν ἄξια· τί οὖν; ἐπὶ τοὺς παῖδας λοιπὸν ἄγει τὸν ὀφθαλμόν, ὥστε αὐτοὺς ἀγαγὼν εἰς τὸ πρατήριον, ἐντεῦθεν εὑρέσθαι τοῦ θανάτου παραμυθίαν. νόησόν μοι ἐνταῦθα μάχην ἀνάγκης λιμοῦ, καὶ διαθέσεως πατρικῆς. ὁ μὲν τὸν οἴκτιστον θάνατον ἀπειλεῖ, ἡ δὲ φύσις ἀνθέλκει, συναποθανεῖν τοῖς τέκνοις πείθουσα. καὶ πολλάκις ὁρμήσας, καὶ πολλάκις ἀνακοπείς, τελευταῖον ἐκρατήθη ὑπὸ τῆς ἀναγκαίας καὶ ἀπαραιτήτου χρείας ἐκβιασθείς. καὶ οἷα βουλεύεται ὁ πατήρ; τίνα πρῶτον ἀπεμπολήσω; τίνα δὲ ἡδέως ὁ σιτοπώλης ὄψεται; ἐπὶ τὸν πρεσβύτατον ἔλθω; ἀλλὰ δυσωποῦμαι αὐτοῦ τὰ πρεσβεῖα. ἀλλὰ τὸν νεώτατον; ἀλλ' ἐλεῶ αὐτοῦ τὴν ἡλικίαν ἀναισθητοῦσαν τῶν συμφορῶν. οὗτος ἐναργεῖς σώζει τῶν γονέων τοὺς χαρακτῆρας. ἐκεῖνος ἐπιτηδείως ἔχει πρὸς τὰ μαθήματα. φεῦ τῆς ἀμηχανίας. τίς γένωμαι; τίνι τούτων προσκρούσω; ποίαν θηρίου ψυχὴν ἀναλάβω; πῶς τῆς φύσεως ἐπιλάθωμαι; ἐὰν πάντων ἀντέχωμαι, πάντας ὄψομαι δαπανωμένους τῷ πάθει· ἐὰν ἕνα προῶμαι, ποίοις ὀφθαλμοῖς τοὺς λειπομένους προσίδω, ὕποπτος αὐτοῖς ἤδη γεγενημένος εἰς ἀπιστίαν; πῶς οἰκήσω τὴν οἰκίαν, ἐμαυτῷ κατασκευάσας τὴν ἀπαιδίαν; πῶς ἐπὶ τὴν τράπεζαν ἔλθω, ἐκ τοιαύτης προφάσεως τὴν εὐπορίαν ἔχουσαν; καὶ ὁ μὲν μετὰ μυρίων δακρύων τὸν φίλτατον τῶν παίδων ἀπεμπολήσων ἔρχεται. σὲ δὲ οὐ κάμπτει τὸ πάθος. οὐ λογισμὸν λαμβάνεις τῆς φύσεως. ἀλλ' ὁ μὲν λιμὸς συνέχει τὸν ἄθλιον, σὺ δὲ ἀναβάλλῃ, καὶ εἰρωνεύῃ, μακροτέραν αὐτῷ κατασκευάζων τὴν συμφοράν. καὶ ὁ μὲν τὰ σπλάγχνα προτείνεται τιμὴν τῶν τροφῶν, σοῦ δὲ οὐ μόνον οὐκ ἀποναρκᾷ ἡ χεὶρ ἐκ τοιούτων συμφορῶν ὑποδεχομένη τιμήματα, ἀλλὰ καὶ ζυγομαχεῖς περὶ τοῦ πλείονος, καὶ ὅπως ἂν πολὺ λαβὼν, ἔλαττον δῷς φιλονεικεῖς,

παν-

πανταχόθεν βαρεῖαν τὴν συμφορὰν τῷ ἀθλίῳ. οὐ δάκρυόν σοι ἐλεεινόν. οὐ στεναγμὸς καρδίαν μαλάσσει. ἀλλ' ἄκαμπτος εἶ καὶ ἀμείλικτος. πάντα χρυσὸν βλέπεις, χρυσὸν φαντάζῃ. τοῦτό σοι καὶ καθεύδοντι ἐνύπνιον, καὶ ἐγρηγορότι ἐνθύμιον. ὥσπερ γὰρ οἱ ὑπὸ μανίας παράφοροι, οὐ τὰ πράγματα βλέπουσιν, ἀλλὰ τὰ ἐκ τοῦ πάθους φαντάζονται, οὕτως σοι ἡ ψυχὴ τῇ φιλοχρηματίᾳ κατασχεθεῖσα, πάντα χρυσόν, πάντα ἄργυρον βλέπει· ἥδιον ἂν ἴδοις τὸν χρυσόν, ἢ τὸν Ἥλιον. εὔχῃ τὰ πάντα πρὸς τὴν τοῦ χρυσοῦ φύσιν μεταβληθῆναι. καὶ ἐπινοεῖς μέντοι καθ' ὅσον οἷόν τε. ποίαν γὰρ μηχανὴν διὰ χρυσὸν οὐ κινεῖς; ὁ σῖτος χρυσός σοι γίνεται. ὁ οἶνος εἰς χρυσὸν μεταπήγνυται. τὰ ἔριά σοι ἀποχρυσοῦται. πᾶσα ἐμπορία, πᾶσα ἐπίνοια, χρυσόν σοι προσάγει. αὐτὸς ἑαυτὸν ὁ χρυσὸς ἀπογεννᾷ πολυπλασιαζόμενος ἐν δανείσμασι. καὶ κόρος οὐκ ἔστι, καὶ τέλος τῆς ἐπιθυμίας οὐκ ἐξευρίσκεται. τῶν μὲν γὰρ παίδων τοῖς λίχνοις ἀφειδῶς πολλάκις ἐνδίδομεν τῶν παρασκευασθέντων ὑπερεμπίπλασθαι, ὥστε τῷ ὑπερβάλλοντι κόρῳ τὴν ἀποστροφὴν ἐμποιῆσαι. ὁ δὲ πλεονέκτης οὐχ οὕτως, ἀλλ' ὅσῳ πλειόνων ἐμφορεῖται, πλειόνων ἐφίεται. πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. σὺ δὲ κατέχεις τὸν παραρρέοντα, καὶ ἀποφράσσεις τὰς διεξόδους. εἶτα κατεχόμενος καὶ ἐλλιμνάζων, οἷα ποιεῖ σοι, ῥήγνυσι τὰ κωλύματα. ἀμέλει καὶ νῦν βιαίως ἐναποληφθεὶς καὶ πλημμυρῶν, καθαιρεῖ τοῦ πλουσίου τὰς ἀποθήκας. ἐδαφίζει αὐτοῦ τὰ ταμιεῖα, ὥσπερ πολέμιός τις ἐπεισελθών. ἀλλὰ μείζονας οἰκοδομήσει; ἄδηλον εἰ μὴ καθῃρημένας παραδώσει τῷ μετ' αὐτόν. ὀξύτερον γὰρ ἂν αὐτὸς ἀπέλθοι ἀναρπασθείς, ἢ ἐκεῖνα κατὰ τὴν πλεονεκτικὴν ἐπίνοιαν ἐγερθείησαν. ἀλλ' ὁ μὲν ἐχέτω τῶν κακῶν βουλευμάτων τὸ τέλος ἀκόλουθον. ὑμεῖς δὲ ἂν ἐμοὶ πείθησθε, πάσας θύρας ταμιείων ἀναπετάσαντες, ἀφθόνους παρέχετε τὰς διεξόδους τῷ πλούτῳ. ὥσπερ γὰρ ποταμῷ μεγάλῳ πο-

πολύκαρπον γῆν δι' ὀχετῶν μυρίων ἐπερχόμενον, οὕτως αὐτοὶ τὸν πλοῦτον διδόντες διὰ ποικίλων ὁδῶν εἰς τὰς τῶν πενήτων οἰκίας καταχίζεσθε. τὰ φρέατα ἐξαντλούμενα εὐρούστερα γίνεται, ἐναφιέμενα δὲ, κατασήπεται. καὶ πλοῦτος τὸ μὲν στάσιμον, ἄχρηστον, τὸ δὲ κινούμενον καὶ μεταβαῖνον, κοινωφελές τε καὶ ἔγκαρπον. ὢ πόσος μὲν ὁ παρὰ τῶν εὐεργετουμένων ἔπαινος; οὗ σὺ μὴ καταφρονήσῃς. πηλίκος δὲ ὁ παρὰ τοῦ δικαίου κριτοῦ μισθός; οὗ σὺ μὴ ἀπιστήσῃς. πανταχοῦ σοι τὸ ὑπόδειγμα τοῦ κατηγορουμένου πλουσίου προσαπαντάτω· ὃς τὰ μὲν ἤδη παρόντα φυλάσσων, περὶ δὲ τῶν ἐλπιζομένων ἀγωνιῶν, καὶ ἄδηλον
a ἔχων εἰ βιώσεται τὴν αὔριον, τὸ αὔριον σήμερον προημάρτανεν· οὔπω ἦλθεν ὁ ἱκέτης, καὶ προλαβὼν ἐδείκνυε τὴν ἀγριότητα. οὐ συνήγαγε τοὺς καρποὺς, καὶ τῆς πλεονεξίας ἤδη εἶχε τὸ κρίμα· ἡ μὲν γῆ ἐδεξιοῦτο τοῖς ἐκφορίοις αὐτῆς, βαθὺ μὲν ἐν ταῖς ἀρούραις προδεικνῦσα τὸ λήϊον, πολὺν δὲ τὸν βότρυν ὑπὲρ κλημάτων ἐμφαίνουσα, βρύουσαν δὲ τῷ καρπῷ τὴν ἐλαίαν παρεχομένη, καὶ πᾶσαν ἐπαγγελλομένη τὴν ἐξ ἀκροδρύων τρυφήν. ὁ δὲ ἀδέξιος ἦν καὶ ἄκαρπος· οὔπω ἔχων, καὶ ἤδη βασκαίνων τοῖς δεομένοις. καίτοι πόσοι κίνδυνοι πρὸ τῆς συγκομιδῆς τῶν καρπῶν; καὶ γὰρ καὶ χάλαζα κατέκλασε, καὶ καύσων ἥρπασεν ἐν μέσῃ τῶν χειρῶν. καὶ ὕδωρ παρὰ καιρὸν ἐκ νεφῶν ἀπορρυὲν, ἠχρείωσε τοὺς καρπούς. οὐ προσεύχῃ οὖν τῷ Κυρίῳ τελειωθῆναι τὴν χάριν, ἀλλὰ προλαμβάνων, σεαυτὸν ἀνάξιον ποιεῖς τῆς ὑποδοχῆς τῶν δειχθέντων. καὶ σὺ μὲν ἐν τῷ κρυπτῷ λαλεῖς σεαυτῷ, τὰ δὲ ῥήματά σου ἐν Οὐρανῷ δοκιμάζεται. διὰ τοῦτό σοι ἐκεῖθεν αἱ ἀποκρίσεις ἔρχονται. τίνα δέ ἐστι, καὶ ἃ λέγει; ψυχὴ ἔχεις πολλὰ ἀγαθὰ ἀποκείμενα, φάγε, πίε, εὐφραίνου καθ' ἡμέραν. ὢ τῆς ἀλογίας. εἰ δὲ χοιρείαν εἶχες ψυχὴν, τί ἂν ἄλλο, ἢ τοῦτο αὐτῇ εὐηγγελίσω; οὕτω κτηνώδης εἶ. οὕτως ἀσύνετος τῶν τῆς ψυχῆς ἀγαθῶν, τοῖς τῆς σαρκὸς αὐτὴν βρώμασι δεξιούμενος, καὶ ὅσα ὁ

ἀφε-

ἀφιδρῶν ὑποδέχεται, ταῦτα τῇ ψυχῇ παραπέμπεις· εἰ μὲν ἀρετὴν ἔχει, ἢ πλήρης ἐστὶν ἔργων ἀγαθῶν, ἢ Θεῷ προσῳκείωται, ἔχει πολλὰ ἀγαθά, καὶ εὐφραινέσθω τὴν καλὴν τῆς ψυχῆς εὐφροσύνην. ἐπεὶ δὲ τὰ ἐπίγεια φρονεῖς, καὶ Θεὸν ἔχεις τὴν κοιλίαν, καὶ ὅλως σαρκικὸς εἶ, δεδουλωμένος τοῖς πάθεσιν, ἄκουε τῆς σοὶ πρεπούσης προσηγορίας, ἣν οὐδεὶς ἀνθρώπων ἔθετό σοι, ἀλλ' αὐτὸς ὁ Κύριος, ἄφρων, ταύτῃ τῇ νυκτί, τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; μείζων τῆς αἰωνίου κολάσεως ὁ γέλως τῆς ἀβουλίας. ὁ γὰρ μετ' ὀλίγον μέλλων ἀνάρπαστος ἄγεσθαι, οἷα βουλεύεται; καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. καλῶς σύγε ποιῶν, φαίην ἂν πρὸς αὐτόν· ἄξια γὰρ καθαιρέσεως τὰ ταμιεῖα τῆς ἀδικίας. κατάσκαπτε ταῖς σεαυτοῦ χερσίν, ἃ κακῶς οἰκοδόμησας. λῦε τὰ σιτοδοχεῖα, ὅθεν οὐδεὶς ἀπῆλθέ ποτε παραμυθίας τυχών. ἀφάνισον πάντα οἶκον πλεονεξίας φύλακα, ἀποσκεύασον ὀρόφους, περίελε τοίχους, δεῖξον Ἡλίῳ τὸν εὐρωτιῶντα σῖτον, ἐξάγαγε ἐκ φυλακῆς τὸν δέσμιον πλοῦτον, θριάμβευσον τὰ σκοτεινὰ τοῦ μαμωνᾶ καταγώγια. καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. ἐὰν δὲ καὶ ταύτας ἐμπλήσῃς, τί ποτε ἄρα διανοηθήσῃ; ἢ που πάλιν καθαιρήσεις, καὶ πάλιν οἰκοδομήσεις; καὶ τί τούτων ἀνοητότερον; ἀπέραντα μοχθεῖν, οἰκοδομεῖν μετὰ σπουδῆς, καὶ μετὰ σπουδῆς καθαιρεῖν; ἔχεις ἀποθήκας, ἐὰν θέλῃς, τὰς οἰκίας τῶν πενήτων. θησαύρισον σεαυτῷ θησαυρὸν ἐν Οὐρανῷ. τὰ ἐκεῖ ἀποτιθέμενα, οὐ σῆτες καταβόσκονται, οὐ σηπεδὼν ἐπινέμεται, οὐ λῃσταὶ διακλέπτουσιν. ἀλλὰ τότε μεταδώσω τοῖς δεομένοις, ὅταν τὰς δευτέρας ἀποθήκας πληρώσω. μακροὺς σεαυτῷ τοὺς χρόνους τῆς ζωῆς ἔπηξας. σκόπει μή σε προλάβῃ ὁ κατὰ προθεσμίαν ἐπείγων. καὶ γὰρ ἡ ἐπαγγελία, οὐ χρηστότητός ἐστιν, ἀλλὰ πονηρίας ἐπίδειξις. ἐπαγγέλλῃ γάρ, οὐχ ἵνα δῷς μετὰ ταῦτα, ἀλλ' ἵνα τὸ παρὸν διακρούσῃ. ἐπεὶ νῦν

τί τὸ κωλῦον πρὸς τὴν μετάδοσιν; οὐ πάρεστιν ὁ ἐνδεής; οὐχὶ πλήρεις αἱ ἀποθῆκαι; οὐχ ὁ μισθὸς ἕτοιμος; οὐχ ἡ ἐντολὴ τηλαυγής; ὁ πεινῶν τήκεται, ὁ γυμνητεύων πήγνυται, ἀπαιτούμενος ἄγχεται, καὶ σὺ τὴν ἐλεημοσύνην εἰς αὔριον ἀναβάλλῃς; ἄκουε Σολομῶντος· μὴ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. οἵων παραγγελμάτων ὑπερορᾷς, τῇ φιλαργυρίᾳ τὰ ὦτα προαποβύσας. πόσην ἔδει σε χάριν ἔχειν τῷ εὐεργέτῃ, φαιδρὸν εἶναι, καὶ λαμπρύνεσθαι τῇ τιμῇ, ὅτι οὐκ αὐτὸς διοχλεῖς θύρας ἑτέρων, ἀλλὰ τὰς σὰς ἄλλοι καταλαμβάνουσι. νῦν δὲ κατηφὴς εἶ, καὶ δυσέντευκτος, ἐκκλίνων τὰς ἀπαντήσεις, μήπου τι καὶ μικρὸν ἀναγκασθῇς τῶν χειρῶν ἐκβαλεῖν. μίαν οἶδας φωνήν· οὐκ ἔχω· οὐδὲ δώσω, πένης γάρ εἰμι. πένης τῷ ὄντι, καὶ ἐνδεὴς παντὸς ἀγαθοῦ. πένης ἀγάπης. πένης φιλανθρωπίας. πένης πίστεως τῆς εἰς Θεόν. πένης ἐλπίδος αἰωνίου. συμμεριστὰς ποίησον τῶν σιτίων τοὺς ἀδελφούς. τὸ αὔριον σηπόμενον, σήμερον μετάδος τῷ δεομένῳ. πλεονεξίας εἶδος τὸ χαλεπώτατον, μηδὲ τῶν φθειρομένων τοῖς ἐνδεέσι καταμερίσαι. τίνα, φησὶν, ἀδικῶ, συνέχων τὰ ἐμαυτοῦ; ποῖα, εἰπέ μοι, σαυτοῦ; πόθεν λαβὼν εἰς τὸν βίον εἰσήνεγκας; ὥσπερ ἂν εἴ τις ἐν θεάτρῳ θέαν καταλαβὼν, εἶτα ἐξείργοι τοὺς ἐπεισιόντας, ἴδιον ἑαυτοῦ κρίνων τὸ κοινῶς πᾶσι κατὰ τὴν χρῆσιν προκείμενον· τοιοῦτοί εἰσι καὶ οἱ πλούσιοι, τὰ γὰρ κοινὰ προκατασχόντες, ἰδιοποιοῦνται διὰ τὴν πρόληψιν. ἐπεὶ εἰ τὸ πρὸς παραμυθίαν τῆς ἑαυτοῦ χρείας ἕκαστος κομιζόμενος, τὸ περιττὸν ἠφίει τῷ δεομένῳ, οὐδεὶς μὲν ἂν ἦν πλούσιος, οὐδεὶς δὲ ἐνδεής. οὐχὶ γυμνὸς ἐξέπεσες τῆς γαστρός; οὐ γυμνὸς πάλιν εἰς τὴν γῆν ὑποστρέψεις; τὰ δὲ παρόντα σοι πόθεν; εἰ μὲν ἀπὸ ταὐτομάτου λέγεις, ἄθεος εἶ, μὴ γνωρίζων τὸν κτίσαντα, μηδὲ χάριν ἔχων τῷ δεδωκότι. εἰ δὲ ὁμολογεῖς εἶναι παρὰ Θεοῦ, εἰπὲ τὸν λόγον

ἡμῖν

ἡμῖν δι' ὃν ἔλαβες; μὴ ἄδικος ὁ Θεός, ὁ ἀνίσως ἡμῖν διαιρῶν τὰ τοῦ βίου; διὰ τί σὺ μὲν πλουτεῖς, ἐκεῖνος δὲ πένεται; ἢ πάντως, ἵνα καὶ σὺ χρηστότητος καὶ πιστῆς οἰκονομίας μισθὸν ὑποδέξῃ, κἀκεῖνος τοῖς μεγάλοις ἄθλοις τῆς ὑπομονῆς τιμηθῇ. σὺ δὲ πάντα τοῖς ἀπληρώτοις τῆς πλεονεξίας κόλποις περιλαμβάνων, οὐδένα οἴει ἀδικεῖν, τοσούτους ἀποστερῶν; τίς ἐστιν ὁ πλεονέκτης; ὁ μὴ ἐμμένων τῇ αὐταρκείᾳ· τίς δέ ἐστιν ὁ ἀποστερητής; ὁ ἀφαιρούμενος τὰ ἑκάστου. σὺ δὲ οὐ πλεονέκτης; σὺ δὲ οὐκ ἀποστερητής, ἃ πρὸς οἰκονομίαν ἐδέξω, ταῦτα ἴδια σεαυτοῦ ποιούμενος; ἢ ὁ μὲν ἐνδεδυμένον ἀπογυμνῶν λωποδύτης ὀνομασθήσεται, ὁ δὲ τὸν γυμνὸν μὴ ἐνδύων δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινός ἐστι προσηγορίας ἄξιος; τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος, ὃν σὺ κατέχεις· τοῦ γυμνητεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις· τοῦ ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται· τοῦ χρῄζοντος τὸ ἀργύριον, ὃ κατορύξας ἔχεις· ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἐδύνασο. καλοὶ μέν, φησιν, οἱ λόγοι, ἀλλὰ καλλίων ὁ χρυσός. ὥσπερ οἱ τοῖς ἀκολάστοις περὶ σωφροσύνης διαλεγόμενοι· καὶ γὰρ ἐκεῖνοι, διαβαλλομένης τῆς ἑταίρας, ἀπὸ τῆς ὑπομνήσεως πρὸς τὰς ἐπιθυμίας ἐκκαίονται. πῶς σοι ὑπ' ὄψιν τὰ πάθη τοῦ πένητος ἀγάγω, ἵνα γνῷς ἀπὸ ποταπῶν στεναγμῶν σεαυτῷ θησαυρίζεις; ὦ πόσου ἄξιόν σοι φανεῖται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως τὸ ῥῆμα ἐκεῖνο· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ περιεβάλετέ με. πόση δέ σοι φρίκη, καὶ ἱδρώς, καὶ σκότος περιχυθήσεται, ἀκούοντι τῆς καταδίκης· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ οὐ περιεβά-

λετέ

λεῖτέ με· οὐδὲ γὰρ ἐκεῖ ὁ ἅρπαξ ἐγκαλεῖται, ἀλλ' ὁ ἀκοινώνητος κατακρίνεται. ἐγὼ μὲν εἶπον, ἃ συμφέρειν ἐνόμιζον· σοὶ δὲ πεισθέντι μὲν, πρόδηλα τὰ ἐν ἐπαγγελίαις ἀποκείμενα ἀγαθά· παρακούσαντι δὲ, γεγραμμένη ἐστὶν ἡ ἀπειλή, ἧς εὔχομαί σε τὴν πεῖραν διαφυγεῖν, βελτίονα γνώμην μεταλαβόντα, ἵνα λύτρον σοι γένηται ὁ ἴδιος πλοῦτος, καὶ ἐφ' ἕτοιμα βαδίσῃς τὰ οὐράνια ἀγαθὰ, χάριτι τοῦ πάντας ἡμᾶς καλέσαντος εἰς τὴν ἑαυτοῦ βασιλείαν. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΓΙΟΥ ΟΜΙΛΙΑ ΕΙΣ ΤΟ, ΠΡΟΣΕΧΕ Σεαυτῷ.

Τοῦ λόγου τὴν χρῆσιν δέδωκεν ἡμῖν ὁ κτίσας ἡμᾶς Θεὸς, ἵνα τὰς βουλὰς τῶν καρδιῶν ἀλλήλοις ἀποκαλύπτωμεν, καὶ διὰ τὸ κοινωνικὸν τῆς φύσεως, ἕκαστος τῷ πλησίον μεταδιδῶμεν, ὥσπερ ἔκ τινων ταμιείων, τῶν τῆς καρδίας κρυπτῶν, προφέροντες τὰ βουλεύματα. εἰ μὲν γὰρ γυμνῇ τῇ ψυχῇ διεζῶμεν, εὐθὺς ἂν ἀπὸ τῶν νοημάτων ἀλλήλοις συνεγινόμεθα· ἐπειδὴ δὲ ὑπὸ παραπετάσματι τῇ σαρκὶ καλυπτομένη ἡμῶν ἡ ψυχὴ τὰς ἐννοίας ἐργάζεται, ῥημάτων δεῖται καὶ ὀνομάτων πρὸς τὸ δημοσιεύειν τὰ ἐν τῷ βάθει κείμενα. ἐπειδὰν οὖν ποτε λάβηται φωνῆς σημαντικῆς ἡ ἔννοια ἡμῶν, ὥσπερ πορθμείῳ τινὶ τῷ λόγῳ ἐποχουμένη, διαπερῶσα τὸν ἀέρα, ἐκ τοῦ φθεγγομένου μεταβαίνει πρὸς τὸν ἀκούοντα. κἂν μὲν εὕρῃ γαλήνην βαθεῖαν καὶ ἡσυχίαν, ὥσπερ λιμέσιν ἰδίοις καὶ ἀχειμάστοις ταῖς ἀκοαῖς τῶν μανθανόντων ὁ λόγος ἐγκαθορμίζεται· ἐὰν δὲ οἷον ζάλη τις τραχεῖα ὁ παρὰ τῶν ἀκουόντων θόρυβος ἀντιπνεύσῃ, ἐν μέσῳ τῷ ἀέρι διαλυθεὶς ἐναυάγησε. ποιήσατε τοίνυν γαλήνην τῷ λόγῳ διὰ τῆς σιωπῆς· ἴσως γὰρ ἄν τι φα-

γείη χρήσιμον ἔχων τῶν ἀγωγίμων. δυσθήρατός ἐστιν ὁ τῆς ἀληθείας λόγος, ῥᾳδίως δυνάμενος ἐκφεύγειν τοὺς μὴ προσέχοντας, ὑπὸ τοῦ πνεύματος οἰκονομήσαντες συνεσταλμένον αὐτὸν εἶναι καὶ βραχύν, ὥστε πολλὰ ἐν ὀλίγοις δηλοῦν, καὶ διὰ συντομίαν εὔκολον τῇ μνήμῃ προσκατέχεσθαι. καὶ γὰρ φύσει ἀρετὴ λόγου, μήτε ἀσαφείᾳ κρύπτειν τὰ σημαινόμενα, μήτε περιττὸν εἶναι καὶ μάταιον εἰκῇ τοῖς πράγμασι περιρρέοντα. ὁποῖος οὖν δή ἐστι καὶ ὁ ἀρτίως ἡμῖν ἐκ τῶν Μωϋσέως βίβλων ἀναγνωσμένος λόγος, οὗ μέμνησθε πάντως οἵ γε φιλόπονοι, πλὴν εἰ μή πη διὰ βραχύτητα παρέδραμεν ὑμῶν τὰς ἀκοάς. ἔχει δὲ ἡ λέξις οὕτω· πρόσεχε σεαυτῷ, μή ποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα· εὔκολοί ἐσμεν πρὸς τὰς κατὰ διάνοιαν ἁμαρτίας οἱ ἄνθρωποι. διόπερ ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν, εἰδὼς ὅτι τὸ πλεῖστον τῆς ἁμαρτίας ἐν τῇ ὁρμῇ πληροῦται τῇ κατὰ πρόθεσιν, τὴν ἐν τῷ ἡγεμονικῷ καθαρότητα πρώτην ἡμῖν διετάξατο· ὃ γὰρ μάλιστα προχείρως ἐξαμαρτάνομεν, τοῦτο πλείονος φυλακῆς καὶ ἐπιμελείας ἠξίωσεν. ὥσπερ γὰρ τῶν σωμάτων τὰ ἀσθενέστερα οἱ προμηθέστεροι τῶν ἰατρῶν ταῖς προφυλακτικαῖς ὑποθήκαις πόρρωθεν ἀσφαλίζονται, οὕτως ὁ κοινὸς κηδεμὼν καὶ ἀληθινὸς τῶν ψυχῶν ἰατρός, ὃ μάλιστα ἡμῶν οἶδε πρὸς ἁμαρτίαν ὀλισθηρότερον, τοῦτο ἰσχυροτέραις προκατελάβετο φυλακαῖς· αἱ μὲν γὰρ διὰ τοῦ σώματος πράξεις καὶ χρόνου δέονται, καὶ εὐκαιρίας, καὶ καμάτων, καὶ συνεργῶν, καὶ τῆς λοιπῆς χορηγίας. αἱ δὲ τῆς διανοίας κινήσεις ἀχρόνως ἐνεργοῦνται, ἀκόπως ἐπιτελοῦνται, ἀπραγματεύτως συνίστανται, πάντα καιρὸν ἐπιτήδειον ἔχουσι. καί πού τις τῶν σοβαρῶν καὶ καταφρυαττομένων ἐπὶ σεμνότητι, πλάσμα σωφροσύνης ἔξωθεν περικείμενος, ἐν μέσοις καθεζόμενος πολλάκις τοῖς ἐπ' ἀρετῇ αὐτὸν μακαρίζουσιν, ἀπέδραμε τῇ διανοίᾳ πρὸς τὸν τῆς ἁμαρτίας τόπον ἐν τῷ ἀφανεῖ τῆς καρδίας κινήματι· εἶδε τῇ φαντασίᾳ τὰ σπουδαζόμενα, ἀνετυπώσατο

τινὰ ὁμιλίαν οὐκ εὐπρεπῆ, καὶ ὅλως ἐν τῷ κρυφίῳ τῆς καρδίας ἐργαστηρίῳ, ἐναργῆ ἐν ἑαυτῷ τὴν ἡδονὴν ζωγραφήσας, ἀμάρτυρον ἔσω τὴν ἁμαρτίαν εἰργάσατο, ἄγνωστον πᾶσιν, ἕως ἂν ἔλθῃ ὁ ἀποκαλύπτων τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν. φύλαξαι οὖν μήποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα. ὁ γὰρ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ. διότι, αἱ μὲν τοῦ σώματος πράξεις ὑπὸ πολλῶν διακόπτονται· ὁ δὲ κατὰ πρόθεσιν ἁμαρτάνων, τῷ τάχει τῶν νοημάτων συναπαρτιζομένην ἔχει τὴν ἁμαρτίαν. ὅπου οὖν ὀξὺ τὸ παράπτωμα, ταχεῖα δέδοται ἡμῖν ἡ φυλακή. διαμαρτύρεται γάρ, μήποτε γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα. μᾶλλον δὲ ἐπ' αὐτὴν τοῦ λόγου τὴν ἀρχὴν ἀναδράμωμεν. πρόσεχε, φησί, σεαυτῷ· τῶν ζώων ἕκαστον παρὰ τοῦ τὰ πάντα συστησαμένου Θεοῦ, οἴκοθεν ἔχει τὰς ἀφορμὰς πρὸς τὴν φυλακὴν τῆς οἰκείας συστάσεως· καὶ εὕροις ἄν, εἰ καταμάθοις ἐπιμελῶς, τῶν ἀλόγων τὰ πλεῖστα ἀδίδακτον ἔχοντα τὴν πρὸς τὸ βλάπτον διαβολήν, καὶ φυσικῇ τινι πάλιν ὁλκῇ, πρὸς τὴν τῶν ὠφελούντων ἀπόλαυσιν ἐπειγόμενα. διὸ καὶ ἡμῖν ὁ παιδεύων ἡμᾶς Θεὸς τὸ μέγα τοῦτο παράγγελμα δέδωκεν, ἵνα ὅπερ ἐκείνοις ἐκ φύσεως, τοῦτο ἡμῖν ἐκ τῆς τοῦ λόγου βοηθείας προσγένηται· καὶ ὅπερ κατορθοῦται τοῖς ἀλόγοις ἀνεπιστάτως, τοῦτο παρ' ἡμῶν ἐπιτελῆται διὰ τῆς προσοχῆς καὶ τῆς συνεχοῦς τῶν λόγων ἐπιστάσεως· καὶ φύλακες ὦμεν ἀκριβεῖς τῶν παρὰ Θεοῦ δεδομένων ἡμῖν ἀφορμῶν, φεύγοντες μὲν τὴν ἁμαρτίαν, ὥσπερ τὰ ἄλογα φεύγει τῶν βρωμάτων τὰ δηλητήρια, διώκοντες δὲ τὴν δικαιοσύνην, ὥσπερ κἀκεῖνα διώκει τῆς πόας τὸ τρόφιμον. πρόσεχε οὖν σεαυτῷ, ἵνα δυνατὸς ᾖς διακρίνειν τὸ βλάπτον ἀπὸ τοῦ σώζοντος. ἐπειδὴ δὲ διπλοῦν τὸ προσέχειν, τὸ μέν, σωματικοῖς ὀφθαλμοῖς ἐνατενίζειν τοῖς ὁρατοῖς, τὸ δέ, τῇ νοερᾷ τῆς ψυχῆς δυνάμει ἐπιβάλλειν τῇ θεωρίᾳ τῶν ἀσω-

μά-

μάτων, ἐὰν μὲν ἐπὶ τῆς τῶν ὀφθαλμῶν ἐνεργείας κεῖσθαι εἴπωμεν τὸ παράγγελμα, εὐθὺς αὐτοῦ τὸ ἀδύνατον ἀπελέγξομεν. πῶς γὰρ ἄν τις ὅλον ἑαυτὸν τῷ ὀφθαλμῷ καταλάβοι; οὐδὲ γὰρ αὐτὸς ἐφ᾽ ἑαυτὸν ὁ ὀφθαλμὸς κέχρηται τῷ ὁρᾷν, καὶ κορυφῆς ἐφικνεῖται, καὶ τὰ νῶτα οἶδεν, καὶ πρόσωπα, καὶ τὴν ἐν τῷ βάθει τῶν σπλάγχνων διάθεσιν· ἀσεβὲς οὖν τὸ λέγειν ἀδύνατα εἶναι τὰ τοῦ πνεύματος παραγγέλματα. λείπεται οὖν ἐπὶ τῆς κατὰ νοῦν ἐνεργείας τοῦ προστάγματος ἐξακούειν. πρόσεχε οὖν σεαυτῷ· τοῦτ᾽ ἔστι, πανταχόθεν σεαυτὸν περισκόπει· ἀκοίμητον ἔχε πρὸς τὴν σεαυτοῦ φυλακὴν τὸ τῆς ψυχῆς ὄμμα. ἐν μέσῳ παγίδων διαβαίνεις· κεκρυμμένοι βρόχοι παρὰ τοῦ ἐχθροῦ πολλαχόθεν κατεπήγησαν. πάντα οὖν περισκόπει, ἵνα σώζῃ, ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. ἡ μὲν γὰρ δορκὰς ἀνάλωτός ἐστι τοῖς βρόχοις διὰ ὀξύτητα τῆς ὁράσεως· ὅθεν καὶ ἐπώνυμός ἐστι τῆς οἰκείας ὀξυδερκίας· τὸ δὲ ὄρνεον κούφῳ τῷ πτερῷ ὑψηλότερον τῆς ἐπιβουλῆς τῶν ἀγρευόντων, ὅταν προσέχῃ, γίνεται. ὅρα οὖν μὴ χείρων φανῇς τῶν ἀλόγων πρὸς τὴν σεαυτοῦ φυλακὴν, μή ποτε ταῖς παγίσιν ἁλοὺς, θήραμα γένῃ τοῦ διαβόλου, ἐζωγρημένος ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα. πρόσεχε οὖν σεαυτῷ· τοῦτ᾽ ἔστι, μήτε τοῖς σοῖς, μήτε τοῖς περὶ σὲ, ἀλλὰ σεαυτῷ μόνῳ πρόσεχε· ἄλλο γάρ ἐσμεν ἡμεῖς αὐτοὶ, καὶ ἄλλο τὰ ἡμέτερα, καὶ ἄλλο τὰ περὶ ἡμᾶς. ἡμεῖς μὲν οὖν ἐσμεν ἡ ψυχὴ καὶ ὁ νοῦς, καθὸ κατ᾽ εἰκόνα τοῦ κτίσαντος γεγενήμεθα. ἡμέτερον δὲ τὸ σῶμα, καὶ αἱ δι᾽ αὐτοῦ αἰσθήσεις· περὶ ἡμᾶς δὲ χρήματα, τέχναι, καὶ ἡ λοιπὴ τοῦ βίου κατασκευή. τί οὖν φησιν ὁ λόγος; μὴ τῇ σαρκὶ πρόσεχε· μηδὲ τὸ ταύτης ἀγαθὸν ἐκ παντὸς τρόπου δίωκε, ὑγείαν, καὶ κάλλος, καὶ ἡδονῶν ἀπολαύσεις, καὶ μακροβίωσιν· μηδὲ χρήματα, καὶ δόξαν, καὶ δυναστείαν θαύμαζε· μηδὲ ὅσα σοι τῆς προσκαίρου ζωῆς τὴν ὑπηρεσίαν πληροῖ, ταῦτα μεγάλα νομίσας, τῇ περὶ ταῦτα σπουδῇ τῆς προηγουμένης

σεαυ-

σεαυτοῦ ζωῆς κατημέλει, ἀλλὰ πρόσεχε σεαυτῷ, τουτέστι τῇ ψυχῇ σου· ταύτην κατακόσμει, καὶ ταύτης ἐπιμελοῦ, ὥστε πάντα μὲν τὸν ἐκ τῆς πονηρίας ἐπιγινόμενον αὐτῇ ῥύπον ἀποκονομεῖσθαι διὰ τῆς προσοχῆς, πᾶν δὲ τὸ ἀπὸ κακίας αἶσχος ἀποκαθαίρεσθαι, παντὶ δὲ τῷ ἐξ ἀρετῆς κάλλει κατακοσμεῖν αὐτὴν καὶ φαιδρύνειν. ἐξέτασον σεαυτὸν τίς εἶ. γνῶθι σαυτοῦ τὴν φύσιν· ὅτι θνητὸν μέν σου τὸ σῶμα, ἀθάνατος δὲ ἡ ψυχή. καὶ ὅτι διπλῆ τίς ἐστιν ἡμῶν ἡ ζωή. ἡ μὲν οἰκεία τῇ σαρκί, ταχὺ παρερχομένη· ἡ δὲ συγγενὴς τῇ ψυχῇ, μὴ δεχομένη περιγραφήν. πρόσεχε οὖν σεαυτῷ, μήτε τοῖς θνητοῖς ὡς ἀϊδίοις ἐναπομείνῃς, μήτε τῶν ἀϊδίων ὡς παρερχομένων καταφρονήσῃς. ὑπερόρα σαρκός, παρέρχεται γάρ· ἐπιμελοῦ ψυχῆς, πράγματος ἀθανάτου. ἐπίστηθι μετὰ πάσης ἀκριβείας σεαυτῷ, ἵνα εἰδῇς διανέμειν ἑκατέρῳ τὸ πρόσφορον· σαρκὶ μὲν διατροφὰς καὶ σκεπάσματα, ψυχῇ δὲ δόγματα εὐσεβείας, ἀγωγὴν ἀστείαν, ἀρετῆς ἄσκησιν, παθῶν ἐπανόρθωσιν. μήτε ὑπερπιαίνειν τὸ σῶμα, μήτε περὶ τὸν ὄγκον τῶν σαρκῶν ἐσπουδακέναι· ἐπειδὴ γὰρ ἐπιθυμεῖ ἡ σὰρξ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός, ταῦτα δὲ ἀλλήλοις ἀντίκειται, ὅρα μή ποτε προσθέμενος τῇ σαρκί, πολλὴν παράσχῃς τὴν δυναστείαν τῷ χείρονι. ὥσπερ γὰρ ἐν ταῖς ῥοπαῖς τῶν ζυγῶν, ἐὰν μίαν καταβαρύνῃς πλάστιγγα, κουφοτέραν πάντως τὴν ἀντικειμένην ποιήσεις· οὕτω καὶ ἐπὶ σώματος καὶ ψυχῆς, ὁ τοῦ ἑτέρου πλεονασμὸς ἀναγκαίαν ποιεῖ τὴν ἐλάττωσιν τοῦ ἑτέρου. σώματος μὲν γὰρ εὐπαθοῦντος καὶ πολυσαρκίᾳ βαρυνομένου, ἀνάγκη ἀδρανῆ καὶ ἄτονον εἶναι πρὸς τὰς οἰκείας ἐνεργείας τὸν νοῦν. ψυχῆς δὲ εὐεκτούσης καὶ διὰ τῆς τῶν ἀγαθῶν μελέτης πρὸς τὸ οἰκεῖον μέγεθος ὑψουμένης, ἑπόμενόν ἐστι τὴν τοῦ σώματος ἕξιν καταμαραίνεσθαι. τὸ αὐτὸ δὲ τοῦτο παράγγελμα, καὶ ἀσθενοῦσι χρήσιμον, καὶ ἐρρωμένοις ἁρμοδιώτατον· ἐν μέν γε ταῖς ἀσθενείαις, οἱ ἰατροὶ τοῖς κάμνουσι παρεγγυῶσι

προσ-

προσέχειν αὐτοὺς ἑαυτοῖς, καὶ μηδενὸς τῶν εἰς θεραπείαν ἡκόντων καταμελεῖν. ὁμοίως δὲ καὶ ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν ὁ λόγος, τὴν ὑπὸ τῆς ἁμαρτίας κεκακωμένην ψυχὴν, διὰ τοῦ μικροῦ τούτου βοηθήματος ἐξιᾶται. πρόσεχε οὖν σεαυτῷ, ἵνα κατὰ ἀναλογίαν τοῦ πλημμελήματος καὶ τὴν ἐκ τῆς θεραπείας βοήθειαν καταδέξῃ· μέγα καὶ χαλεπὸν τὸ ἁμάρτημα. πολλῆς σοι χρεία τῆς ἐξομολογήσεως, δακρύων πικρῶν, συντόνου τῆς ἀγρυπνίας, ἀδιαλείπτου νηστείας. κοῦφον καὶ φορητὸν τὸ παράπτωμα; ἐξισαζέσθω καὶ ἡ μετάνοια· μόνον πρόσεχε σεαυτῷ, ἵνα γνωρίζῃς ψυχῆς ῥῶσιν καὶ νόσον. πολλοὶ γὰρ ἀπὸ τῆς ἄγαν ἀπροσεξίας, μεγάλα καὶ ἀνίατα νοσοῦντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, ὅτι νοσοῦσι. μέγα δὲ τὸ ἐκ τοῦ παραγγέλματος ὄφελος καὶ τοῖς ἐρρωμένοις περὶ τὰς πράξεις· ὥστε τὸ αὐτὸ τοῦτο καὶ νοσοῦντας ἰᾶται, καὶ ὑγιαίνοντας τελειοῖ. ἕκαστος γὰρ ἡμῶν τῶν μαθητευομένων τῷ λόγῳ μιᾶς τινος πράξεώς ἐστιν ὑπηρέτης, τῶν κατὰ τὸ Εὐαγγέλιον διατεταγμένων ἡμῖν. ἐν γὰρ τῇ μεγάλῃ οἰκίᾳ τῇ Ἐκκλησίᾳ ταύτῃ, οὐ μόνον σκεύη ἐστὶ παντοδαπὰ χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα. ἀλλὰ καὶ τέχναι παντοῖαι. ἔχει γὰρ ὁ οἶκος τοῦ Θεοῦ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, θηρευτὰς, ὁδοιπόρους, ἀρχιτέκτονας, οἰκοδόμους, γεωργοὺς, ποιμένας, ἀθλητὰς, στρατιώτας. πᾶσι τούτοις ἐφαρμόσει τὸ βραχὺ τοῦτο ῥῆμα, ἑκάστῳ καὶ ἀκρίβειαν τοῦ ἔργου καὶ σπουδὴν τῆς προαιρέσεως ἐμποιοῦν. θηρευτὴς εἶ ἀπεσταλμένος ὑπὸ τοῦ Κυρίου τοῦ εἰπόντος· ἰδοὺ ἐγὼ ἀποστέλλω πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους; πρόσεχε οὖν ἐπιμελῶς μήπου σε διαφύγῃ τὸ θήραμα; ἵνα συλλαβόμενος τῷ λόγῳ τῆς ἀληθείας τοὺς ὑπὸ τῆς κακίας ἀγριωθέντας, προσαγάγῃς τῷ σώζοντι. ὁδοιπόρος εἶ, ὅμοιος τῷ εὐχομένῳ, τὰ διαβήματά μου κατεύθυνον; πρόσεχε σεαυτῷ, μὴ παρεκτραπῇς τῆς ὁδοῦ, μὴ ἐκκλίνῃς δεξιὰ, ἢ ἀριστερά; ὁδῷ βασιλικῇ πορεύου. ὁ ἀρχιτέκτων ἀσφαλῶς τὸν θεμέλιον καταβαλλέσθω τῆς

πί-

πίστεως, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός. ὁ οἰκοδόμος βλεπέτω πῶς ἐποικοδομεῖ, μὴ ξύλα, μὴ χόρτον, μὴ καλάμην, ἀλλὰ χρυσίον, ἀργύριον, λίθους τιμίους. ὁ ποιμὴν, πρόσεχε, μήτι παρέλθῃ τῶν ἐπιβαλλόντων τῇ ποιμαντικῇ ταῦτα. δέ εἰσι ποῖα; τὸ πεπλανημένον ἐπίστρεφε, τὸ συντετριμμένον ἐπίδησον, τὸ νοσοῦν ἴασαι. ὁ γεωργὸς, περίσκαπτε τὴν ἄκαρπον συκῆν, καὶ ἐπίβαλλε τὰ πρὸς βοήθειαν τῆς καρπογονίας. ὁ στρατιώτης, συγκακοπάθησον τῷ Εὐαγγελίῳ, στρατεύου τὴν καλὴν στρατείαν κατὰ τῶν πνευμάτων τῆς πονηρίας, κατὰ τῶν παθῶν τῆς σαρκὸς, ἀνάλαβε πᾶσαν τὴν πανοπλίαν τοῦ Θεοῦ, μὴ ἐμπλέκου ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃς. ὁ ἀθλητὴς, πρόσεχε σεαυτῷ, μή πού τινα παραβῇς τῶν ἀθλητικῶν νόμων. οὐδεὶς γὰρ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ· μιμοῦ τὸν Παῦλον καὶ τρέχοντα, καὶ παλαίοντα, καὶ πυκτεύοντα· καὶ αὐτὸς ὡς ἀγαθὸς πύκτης, ἀμετεώριστον ἔχε τὸ τῆς ψυχῆς βλέμμα. σκέπε τὰ καίρια τῇ προβολῇ τῶν χειρῶν· ἀτενὲς τὸ ὄμμα πρὸς τὸν ἀντίπαλον ἔσω· ἐν τοῖς δρόμοις τοῖς ἔμπροσθεν ἐπεκτείνου· οὕτω τρέχε, ἵνα καταλάβῃς· ἐν τῇ πάλῃ τοῖς ἀοράτοις ἀνταγωνίζου. τοιοῦτόν σε εἶναι διὰ βίου ὁ λόγος βούλεται, μὴ ἀναπεπτωκότα, μηδὲ καθεύδοντα, ἀλλὰ νηφόντως καὶ ἐγρηγορότως ἑαυτοῦ προεστῶτα. ἐπιλείψει με ἡ ἡμέρα διηγούμενον τά τε ἐπιτηδεύματα τῶν συνεργούντων εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ τὴν δύναμιν τοῦ προστάγματος, ὅπως ἐφαρμοστῶς ἔχει πρὸς ἅπαντας. πρόσεχε σεαυτῷ· νηφάλιος ἔσο· βουλευτικός· τῶν παρόντων φύλαξ· προνοητικὸς τοῦ μέλλοντος· μὴ τὸ μὲν ἤδη παρὸν διὰ ῥαθυμίας προΐεσο· τῶν δὲ μήτε ὄντων, μήτε ἐσομένων τυχὸν, ὡς ἐν χερσὶν ὄντων, τὴν ἀπόλαυσιν ὑποτίθεσο. ἢ οὐχὶ φύσει ὑπάρχει τὸ ἀρρώστημα τοῦτο τοῖς νέοις, κουφότητι γνώμης ἔχειν ἤδη νομίζειν τὰ ἐλπιζόμενα; ὅταν γάρ ποτε ἠρεμίας λάβωνται, ἢ ἡσυχίας νυκτερινῆς, ἀναπλάττουσιν

ἑαυ-

ἑαυτοῖς φαντασίας ἀνυποστάτως, τῇ εὐκολίᾳ τῆς διανοίας ἐπὶ πάντα φερόμενοι· ὑποτιθέμενοι περιφανείας βίου, γάμους λαμπρούς, εὐπαιδίαν, γῆρας βαθύ, τὰς παρὰ πάντων τιμάς. εἶτα μηδαμοῦ στῆναι τῶν ἐλπίδων δυνάμενοι, πρὸς τὰ μέγιστα τῶν ἐν ἀνθρώποις ὑπερφυσῶνται· οἴκους κτῶνται καλοὺς καὶ μεγάλους, πληρώσαντες τούτους παντοδαπῶν κειμηλίων, γῆν περιβάλλονται, ὅσην ἂν αὐτοῖς ἡ ματαιότης τῶν λογισμῶν τῆς ὅλης κτίσεως ἀποτέμνηται. πάλιν τὰς ἐντεῦθεν εὐπορίας ταῖς τῆς ματαιότητος ἀποθήκαις ἐναποκλείουσι. προστιθέασι τούτοις βοσκήματα, οἰκετῶν πλῆθος ἀριθμὸν ὑπερβαῖνον, ἀρχὰς πολιτικάς, ἡγεμονίας ἐθνῶν, στρατηγίας, πολέμους, τρόπαια, βασιλείαν αὐτήν. πάντα ταῦτα τοῖς ματαίοις τῆς διανοίας ἀναπλασμοῖς ἐπελθόντες, ὑπὸ τῆς ἄγαν ἀνοίας ἀπολαύειν δοκοῦσι τῶν ἐλπισθέντων, ὡς ἤδη παρόντων καὶ ἐν ποσὶ κειμένων αὐτοῖς. ἴδιον ἀῤῥώστημα τοῦτο ἀργῆς καὶ ῥαθύμου ψυχῆς, ἐνύπνια βλέπειν ἐγρηγορότος τοῦ σώματος. ταύτην τοίνυν τὴν χαυνότητα τῆς διανοίας, καὶ τὴν φλεγμονὴν τῶν λογισμῶν καταπιέζων ὁ λόγος, καὶ οἷον χαλινῷ τινι ἀνακρούων τῆς διανοίας τὸ ἄστατον, παραγγέλλει τὸ μέγα τοῦτο καὶ σοφὸν παράγγελμα, σεαυτῷ, φησι, πρόσεχε, μὴ ὑποτιθέμενος τὰ ἀνύπαρκτα, ἀλλὰ τὰ παρόντα πρὸς τὸ συμφέρον διατιθέμενος. οἶμαι δὲ κἀκεῖνο τὸ πάθος ἐξαιροῦντα τῆς συνηθείας, ταύτῃ χρήσασθαι τῇ παραινέσει τὸν νομοθέτην. ἐπειδὴ ῥᾷον ἕκαστῳ ἡμῶν πολυπραγμονεῖν τὰ ἀλλότρια, ἢ τὰ οἰκεῖα ἑαυτοῦ διασκέπτεσθαι, ἵνα μὴ τοῦτο πάσχωμεν, παῦσαι, φησι, τὰ τοῦ δεῖνος κακὰ περιεργαζόμενος. μὴ δίδου σχολὴν τοῖς λογισμοῖς τὸ ἀλλότριον ἐξετάζειν ἀῤῥώστημα. ἀλλὰ σεαυτῷ πρόσεχε. τοῦτ᾽ ἔστιν, ἐπὶ τὴν οἰκείαν ἔρευναν στρέφε σου τὸ ὄμμα τῆς ψυχῆς. πολλοὶ γὰρ κατὰ τὸν λόγον τοῦ Κυρίου, τὸ μὲν κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κατανοοῦσι, τὴν δὲ

ἐν τῷ οἰκείῳ ὀφθαλμῷ δοκὸν οὐκ ἐμβλέπουσι. μὴ παύσῃ τοίνυν διερευνώμενος σεαυτὸν, εἰ σοι κατ᾽ ἐντολὴν ὁ βίος πρόεισιν. ἀλλὰ μὴ τὰ ἔξω περισκόπει, εἴπου τινὸς μῶμον ἐξευρεῖν δυνηθῇς, κατὰ τὸν Φαρισαῖον τὸν βαρὺν ἐκεῖνον καὶ ἀλαζόνα· ὃς εἱστήκει ἑαυτὸν δικαιῶν, καὶ τὸν τελώνην κατευτελίζων. ἀλλὰ σεαυτὸν ἀνακρίνων μὴ διαλίπῃς, μήποτε κατὰ τὰς ἐνθυμήσεις ἥμαρτες, μήτι ἡ γλῶσσα παρώλισθε τῆς διανοίας προεκδραμοῦσα, μὴ ἐν τοῖς ἔργοις τῶν χειρῶν πέπρακταί τι τῶν ἀβουλήτων. κἂν εὕρῃς ἐν τῷ βίῳ σεαυτοῦ πολλὰ τὰ ἁμαρτήματα, εὑρήσεις δὲ πάντως ἄνθρωπος ὢν, λέγε τὰ τοῦ τελώνου· ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πρόσεχε οὖν σεαυτῷ. τοῦτό σοι τὸ ῥῆμα, καὶ λαμπραῖς εὐημερίαις εὐημεροῦντί ποτε, καὶ παντὸς τοῦ βίου κατὰ ῥοῦν φερομένου, χρησίμως παραστήσεται, ὥσπερ τις ἀγαθὸς σύμβουλος ὑπόμνησιν φέρων τῶν ἀνθρωπίνων. καὶ μέντοι καὶ ὑπὸ περιστάσεων πιεζομένῳ, ἐν καιρῷ ἂν γένοιτο τῇ καρδίᾳ κατεπᾳδόμενον, ὡς μήτε τύφῳ τι πρὸς ἀλαζονείαν ὑπέρογκον ἐπαρθῆναι, μήτε ἀπογνώσει πρὸς ἀγεννῆ δυσθυμίαν καταπίπτειν. πλούτῳ κομᾷς; καὶ ἐπὶ προγόνοις μέγα φρονεῖς; καὶ ἐπαγάλλῃ πατρίδι καὶ κάλλει σώματος, καὶ ταῖς παρὰ πάντων τιμαῖς; πρόσεχε σεαυτῷ, ὅτι θνητὸς εἶ, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. περίβλεψαι τοὺς πρὸ σοῦ ἐν ταῖς ὁμοίαις περιφανείαις διαπρέψαντας. ποῦ οἱ τὰς πολιτικὰς δυναστείας περιβεβλημένοι; ποῦ οἱ δυσμαχώτατοι ῥήτορες; ποῦ οἱ τὰς πανηγύρεις διατιθέντες; οἱ λαμπροὶ ἱπποτρόφοι, οἱ στρατηγοὶ, οἱ σατράπαι, οἱ τύραννοι; οὐ πάντα κόνις; οὐ πάντα μῦθος; οὐκ ἐν ὀλίγοις ὀστέοις τὰ μνημόσυνα τῆς ζωῆς αὐτῶν; ἔγκυψον ἐν τοῖς τάφοις, εἰ δυνήσῃ διακρῖναι τίς ὁ οἰκέτης, καὶ τίς ὁ δεσπότης; τίς ὁ πτωχὸς, καὶ τίς ὁ πλούσιος; διάκρινον, εἴ τίς σοι δύναμις, τὸν δέσμιον ἀπὸ τοῦ Βασιλέως, τὸν ἰσχυρὸν ἀπὸ τοῦ ἀσθενοῦς, τὸν εὐπρεπῆ ἀπὸ

τὸ δυσειδὲς. μεμνημένος οὖν τῆς φύσεως, οὐκ ἐπαρθήσῃ ποτέ· μεμνήσῃ δὲ σεαυτοῦ, ἐὰν προσέχῃς σεαυτῷ. πάλιν, δυσγενής τις εἶ καὶ ἄδοξος; πτωχὸς ἐκ πτωχῶν; ἀνέστιος, ἄπολις, ἀσθενὴς, τῶν ἐφ' ἡμέραν ἐνδεής; τρέμων τοὺς ἐν δυναστείᾳ; πάντας ὑποπτήσσων διὰ ταπεινότητα βίου; πτωχὸς γὰρ, φησὶν, οὐχ ὑφίσταται ἀπειλήν. μὴ τοίνυν ἀπογνῷς σεαυτοῦ, μηδ' ὅτι οὐδὲν ζηλωτὸν ἐν τῷ παρόντι σοι πρόσεστι, πᾶσαν ἀγαθὴν ἀπορρίψῃς ἐλπίδα, ἀλλ' ἀνάγαγε σεαυτοῦ τὴν ψυχὴν πρός τε τὰ ἤδη ὑπηργμένα σοι παρὰ τοῦ Θεοῦ ἀγαθὰ, καὶ πρὸς τὰ δι' ἐπαγγελίας ὕστερον ἀποκείμενα. πρῶτον μὲν οὖν, ἄνθρωπος εἶ, μόνον τῶν ζώων θεόπλαστον, ἆρ' οὐκ ἐξαρκεῖ τοῦτο, σωφρόνως λογιζομένῳ, πρὸς εὐθυμίαν τὴν ἀνωτάτω, τὸ, ὑπ' αὐτῶν τῶν χειρῶν τοῦ Θεοῦ τοῦ τὰ πάντα συστησαμένου διαπλασθῆναι; ἔπειθ' ὅτι καὶ κατ' εἰκόνα γενόμενος τοῦ κτίσαντός σε, δύνασαι πρὸς τὴν τῶν Ἀγγέλων ὁμοτιμίαν δι' ἀγαθῆς πολιτείας ἀναδραμεῖν. ψυχὴν ἔλαβες νοερὰν, δι' ἧς Θεὸν περινοεῖς· τῶν ὄντων τὴν φύσιν λογισμῷ καθορᾷς· σοφίας δρέπῃ καρπὸν ἥδιστον· πάντα μέν σοι τὰ χερσαῖα ζῶα, ἥμερά τε καὶ ἄγρια, πάντα δὲ τὰ ἐν ὕδασι διαιτώμενα, καὶ ὅσα τὸν ἀέρα διαπέταται τοῦτον, δοῦλά ἐστι καὶ ὑποχείρια. οὐ σὺ μέντοι τέχνας ἐξευρὼν, καὶ πόλεις συνεστήσω; καὶ ὅσα ἀναγκαῖα, καὶ ὅσα πρὸς τρυφὴν ἐπενόησας; οὐ βάσιμά σοι τὰ πελάγη διὰ τὸν λόγον; οὐ γῆ καὶ θάλαττα ὑπηρετεῖ τῷ βίῳ τῷ σῷ; οὐκ ἀὴρ καὶ Οὐρανὸς καὶ ἀστέρων χορεῖαι, σοὶ τὴν ἑαυτῶν ἐπιδείκνυνται τάξιν; τί οὖν μικροψυχεῖς; ὅτι ἵππος σοι οὐκ ἔστιν ἀργυροχάλινος; ἀλλ' Ἥλιον ἔχεις ὀξυτάτῳ δρόμῳ διὰ πάσης ἡμέρας δᾳδουχοῦντά σοι τὴν λαμπάδα. οὐκ ἔχεις ἀργύρου καὶ χρυσοῦ λαμπηδόνας; ἀλλὰ Σελήνην ἔχεις μυρίῳ σε τῷ παρ' αὐτῆς φωτὶ περιλάμπουσαν. οὐκ ἐπιβέβηκας ἁρμάτων χρυσοκολλήτων; ἀλλὰ πόδας ἔχεις οἰκεῖον ὄχημα

καὶ συμφυὲς σεαυτῷ. τί οὖν μακαρίζεις τοὺς τῶν ἁβρῶν βασιλείων κεκτημένους, καὶ ἀλλοτρίων ποδῶν εἰς τὴν μετάβασιν δεομένους; οὐ καθεύδεις ἐπὶ κλίνης ἐλεφαντίνης; ἀλλ' ἔχεις τὴν γῆν πολλῶν ἐλεφαντίνων τιμιωτέραν, καὶ γλυκεῖαν ἐπ' αὐτῆς τὴν ἀνάπαυσιν, ταχὺν τὸν ὕπνον καὶ μερίμνης ἀπηλλαγμένον. οὐ κατάκεισαι ὑπὸ χρυσοῦν ὄροφον; ἀλλ' οὐρανὸν ἔχεις τοῖς ἀρρήτοις τῶν ἀστέρων κάλλεσι περιστίλβοντά σε. ταῦτα μὲν δὴ τὰ ἀνθρώπινα, τὰ δ' ἔτι μείζω. διὰ σὲ Θεὸς ἐν ἀνθρώποις, Πνεύματος Ἁγίου διανομὴ, θανάτου κατάλυσις, ἀναστάσεως ἐλπὶς, θεῖα προστάγματα τελειοῦντά σου τὴν ζωὴν, πορεία πρὸς Θεὸν διὰ τῶν ἐντολῶν, βασιλεία τῶν Οὐρανῶν εὐτρεπὴς, στέφανοι δικαιοσύνης ἕτοιμοι, τοῖς ὑπὲρ τῆς ἀρετῆς πόνους μὴ ἀποδρᾶσι. ἐὰν προσέχῃς σεαυτῷ, ταῦτα καὶ ἔτι πλείω εὑρήσεις περὶ σεαυτόν· καὶ ἀπολαύσεις μὲν τῶν παρόντων, οὐ μικροψυχήσεις δὲ πρὸς τὸ ἐνδέον. πανταχοῦ σοι παριστάμενον τὸ παράγγελμα, μεγάλην παρέξεται τὴν βοήθειαν. οἷον, ὀργή σου κατεκράτησε τῶν λογισμῶν, καὶ ἐκφέρῃ ὑπὸ θυμοῦ πρός τε ῥήματα ἄτοπα καὶ πράξεις χαλεπὰς καὶ θηριώδεις; ἐὰν προσέχῃς σεαυτῷ, καταστελεῖς μὲν τὸν θυμὸν ὥσπερ τινὰ πῶλον ἀπειθῆ καὶ δυσήνιον τῇ πληγῇ τοῦ λόγου οἱονεὶ μάστιγι καθαπτόμενος· κρατήσεις δὲ καὶ γλώσσης· τὰς δὲ χεῖρας οὐκ ἐπαφήσεις τῷ παροξύναντι. πάλιν, ἐπιθυμίαι πονηραὶ ἐξοιστρῶσαί σου τὴν ψυχὴν, εἰς ὁρμὰς ἀκρατεῖς καὶ ἀκολάστους ἐμβάλλουσιν; ἐὰν οὖν προσέχῃς σεαυτῷ, καὶ μνησθῇς, ὅτι τοῦτο μέν σοι τὸ παρὸν ἡδὺ εἰς πικρὸν καταντήσει πέρας, καὶ ὁ νῦν ἐκ τῆς ἡδονῆς ἐγγινόμενος τῷ σώματι ἡμῶν γαργαλισμὸς, οὗτος γεννήσει τὸν ἰοβόλον σκώληκα ἀθάνατον κολάζοντα ἡμᾶς ἐν τῇ γεέννῃ, καὶ ἡ πύρωσις τῆς σαρκὸς μήτηρ γενήσεται τοῦ αἰωνίου πυρὸς, εὐθὺς οἰχήσονται φυγαδευθεῖσαι αἱ ἡδοναὶ, καὶ θαυμαστή τις ἔνδον γαλήνη

τοῖς

περὶ τὴν ψυχὴν ἡσυχία γίνεται, οἷον θεραπαινίδων ἀκολάστων θορύβου καταστιγασθέντος δεσποίνης τινὸς σώφρονος παρουσίᾳ. πρόσεχε τοίνυν σεαυτῷ, καὶ γνῶθι, ὅτι τὸ μὲν, λογικόν ἐστι καὶ νοερὸν τῆς ψυχῆς· τὸ δὲ, παθητικόν τε καὶ ἄλογον· καὶ τῷ μὲν, φύσει τὸ κρατεῖν ὑπάρχει. τῷ δὲ, τὸ ὑπακούειν τῷ λόγῳ καὶ καταπείθεσθαι. μή ποτε οὖν ἐάσῃς ἐξανδραποδισθέντα τὸν νοῦν δοῦλον γενέσθαι τῶν παθῶν. μὴ δ' ἂν πάλιν ἐπιτρέψῃς τοῖς πάθεσι κατεξαναστῆναι τοῦ λόγου, καὶ εἰς ἑαυτὰ τὸ κράτος τῆς ψυχῆς περιστῆσαι. ὅλως δέ σοι ἡ ἀκριβὴς σεαυτοῦ κατανόησις αὐτάρκη παρέξει χειραγωγίαν καὶ πρὸς τὴν ἔννοιαν τοῦ Θεοῦ. ἐὰν γὰρ προσέχῃς σεαυτῷ, οὐδὲν δεήσῃ ἐκ τῆς τῶν ὅλων κατασκευῆς τὸν δημιουργὸν ἐξιχνεύειν, ἀλλ' ἐν σεαυτῷ οἱονεὶ μικρῷ τινι κόσμῳ, τὴν μεγάλην κατόψει τοῦ κτίσαντός σε σοφίαν. ἀσώματον νόει Θεὸν ἐκ τῆς ἐνυπαρχούσης σοι ψυχῆς ἀσωμάτου· μὴ περιγραφόμενον ἐν τόπῳ, ἐπειδὴ οὐδὲ ὁ σὸς νοῦς προηγουμένην ἔχει τὴν ἐν τόπῳ διατριβὴν, ἀλλὰ διὰ τῆς πρὸς τὸ σῶμα συναφείας, ἐν τόπῳ γίνεται. ἀόρατον εἶναι τὸν Θεὸν πίστευε, τὴν σεαυτοῦ ψυχὴν ἐννοήσας. ἐπειδὴ καὶ αὐτὴ σωματικοῖς ὀφθαλμοῖς ἄληπτός ἐστιν· οὔτε γὰρ κέχρωσται, οὔτε ἐσχημάτισται, οὔτε τινὶ σωματικῷ χαρακτῆρι περιείληπται, ἀλλ' ἐκ τῶν ἐνεργειῶν γνωρίζεται μόνον. ὥστε μηδὲ ἐπὶ Θεοῦ ζητήσῃς τὴν δι' ὀφθαλμῶν κατανόησιν, ἀλλὰ τῇ διανοίᾳ ἐπιτρέψας τὴν πίστιν, νοητὴν ἔχε τὴν περὶ αὐτοῦ κατάληψιν. θαύμαζε τὸν τεχνίτην, πῶς τῆς ψυχῆς σου τὴν δύναμιν πρὸς τὸ σῶμα συνέδησεν, ὡς μέχρι τῶν περάτων αὐτοῦ διικνουμένην, τὰ πλεῖστον διεστῶτα μέλη πρὸς μίαν σύμπνοιαν καὶ κοινωνίαν ἄγειν. σκόπει τίς ἡ ἀπὸ ψυχῆς ἐνδιδομένη τῇ σαρκὶ δύναμις. τίς ἡ ἀπὸ σαρκὸς πρὸς ψυχὴν ἐπανιοῦσα συμπάθεια· πῶς δέχεται μὲν τὴν ζωὴν παρὰ τῆς ψυχῆς τὸ σῶμα· δέχεται δὲ ἀλγηδόνας ἀπὸ τοῦ σώ-

σώματος ἡ ψυχή. ποίας ἀποθήκας τῶν μαθημάτων ἔχει. πῶς τί οὐκ ἐπισκοτεῖ τῇ γνώσει τῶν προλαβόντων ἡ τῶν ἐπιγινομένων προσθήκη, ἀλλ' ἀσύγχυτοι καὶ εὐκρινεῖς αἱ μνῆμαι, οἷον χαλκῇ τινι στήλῃ τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἐγκεχαραγμέναι διαφυλάττονται. πῶς μὲν πρὸς τὰ τῆς σαρκὸς ὑπολισθαίνουσα πάθη τὸ οἰκεῖον ἀπόλλυσι κάλλος. πῶς δὲ πάλιν τὸ ἀπὸ κακίας αἶσχος ἀποκαθηραμένη δι' ἀρετῆς, πρὸς τὴν ὁμοίωσιν ἀνατρέχει τοῦ κτίσαντος. πρόσεχε εἰ δοκεῖ σοι, μετὰ τὴν τῆς ψυχῆς θεωρίαν καὶ τῇ τοῦ σώματος κατασκευῇ, καὶ θαύμασον ὅπως πρέπον αὐτὸ καταγώγιον τῇ λογικῇ ψυχῇ ὁ ἀριστοτέχνης ἐδημιούργησεν. ὄρθιον δὲ ἔπλασε μόνον τῶν ζώων τὸν ἄνθρωπον, ἵν' ἐξ αὐτοῦ τοῦ σχήματος εἰδῇς, ὅτι ἐκ τῆς ἄνωθεν συγγενείας ἐστὶν ἡ ζωή σου. τὰ μὲν γὰρ τετράποδα πάντα πρὸς τὴν γῆν βλέπει, καὶ πρὸς τὴν γαστέρα νένευκεν· ἀνθρώπῳ δὲ ἑτοίμη πρὸς Οὐρανὸν ἡ ἀνάβλεψις, ὥστε μὴ σχολάζειν γαστρὶ, μηδὲ τοῖς ὑπὸ γαστέρα πάθεσιν, ἀλλ' ὅλην ἔχειν τὴν ὁρμὴν πρὸς τὴν ἄνω πορείαν. ἔπειτα τὴν κεφαλὴν ἐπὶ τῶν ὑψηλοτάτων θεὶς, ἐν αὐτῇ τὰς πλείστου ἀξίας τῶν αἰσθήσεων καθιδρύσατο. ἐκεῖ ὄψις, καὶ ἀκοὴ, καὶ γεῦσις, καὶ ὄσφρησις, πᾶσαι ἐγγὺς ἀλλήλων κατῳκισμέναι. καὶ οὕτω περὶ βραχὺ χωρίον στενοχωρούμεναι, οὐδὲν ἑκάστη παρεμποδίζει τῇ ἐνεργείᾳ τῆς γείτονος. ὀφθαλμοὶ μέν γε τὴν ὑψηλοτάτην σκοπιὰν κατειλήφασιν, ὥστε μηδὲν αὐτοῖς τῶν τοῦ σώματος μορίων ἐπιπροσθεῖν, ἀλλὰ μικρᾷ τινι προβολῇ τῶν ὀφρύων ὑποκαθήμενοι, ἐκ τῆς ἄνωθεν ἐξοχῆς πρὸς τὸ εὐθὲς ἀποτείνονται. πάλιν ἡ ἀκοὴ, οὐκ ἐπ' εὐθείας ἤνοικται, ἀλλ' ἑλικοειδεῖ τῷ πόρῳ τῶν ἐν τῷ ἀέρι ψόφων ἀντιλαμβάνεται· σοφίας καὶ τοῦτο τῆς ἀνωτάτω, ὥστε τὴν μὲν φωνὴν ἀκωλύτως διϊέναι, ἢ καὶ μᾶλλον ἐνηχεῖν, περικλωμένην ταῖς σκολιότησι, μηδὲν δὲ τῶν ἔξωθεν παρεμπιπτόντων κώλυ-

μα

μα εἶναι δύνασθαι τῇ αἰσθήσει. κατάμαθε τῆς γλώττης τὴν φύσιν, ὅπως ἁπαλή τε ἐστὶ καὶ εὔστροφος, καὶ πρὸς πᾶσαν χρείαν λόγου τῷ ποικίλῳ τῆς κινήσεως ἐξαρκοῦσα. ὀδόντες, ὁμοῦ μὲν φωνῆς ὄργανα, ἰσχυρὰν τῇ γλώττῃ τὴν ἀντέρεισιν παρεχόμενοι· ὁμοῦ δὲ καὶ τροφῆς ὑπηρέται, οἱ μὲν τέμνοντες αὐτὴν, οἱ δὲ λεαίνοντες. καὶ οὕτω πάντα λογισμῷ ἐπιπορευόμενος τῷ προσήκοντι, καὶ καταμανθάνων ὁλκὴν ἀέρος διὰ τοῦ πνεύμονος, τοῦ θερμοῦ φυλακὴν ἐπὶ τῆς καρδίας, ὄργανα πέψεως, ὀχετοὺς αἵματος. ἐκ πάντων τούτων τὴν ἀνεξιχνίαστον σοφίαν τοῦ ποιήσαντός σε κατόψει, ὡς ἂν καὶ αὐτόν σε εἰπεῖν μετὰ τοῦ Προφήτου· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. πρόσεχε οὖν σεαυτῷ, ἵνα προσέχῃς Θεῷ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΘΑΝΑΣΙΟΥ

## ΤΟΥ ΜΕΓΑΛΟΥ

Ἀρχιεπισκόπου Ἀλεξανδρείας,

## ΛΟΓΟΣ

### Εἰς τὴν Μεγάλην Παρασκευήν.

Μέγα μὲν οὐρανὸς δημιούργημα, καὶ τῆς ὁρωμένης κτίσεως πρῶτον ὑπὸ Θεοῦ εἰς τὸ εἶναι κεκλημένος. μέγα δέ ἐστι καὶ θαυμαστὸν τῶν Ἀγγέλων ἡ φύσις, ἀοράτοις ἐστεφανωμένη τοῖς κάλλεσιν. ἁμιλλᾶται τοῖς εἰρημένοις καὶ ὁ ἥλιος, τὰς ἡμερινὰς τοῦ φωτὸς λαμπάδας περιβαλλόμενος, καὶ τὸν οὐράνιον δρόμον ἐλαύνων. ἐκπλήττει τὴν διάνοιαν ἡ γῆ κρεμαμένη προστάγματι, καὶ τὸ βαρὺ στοιχεῖον τοῖς ὕδασιν ἐποχούμενον. τί δ' ἄν τις εἴποι θάλασσαν ἡπλωμένην ὁρῶν, καὶ ψάμμῳ μὲν δεδεμένην, νεύματι δὲ κυβερνωμένην; ἀλλὰ ταῦτα μὲν καλὰ καὶ λίαν καλά, καὶ τῆς τοῦ δημιουργοῦ σοφίας τεχνάσματα· ἤχισε δὲ τὸ τούτων κάλλος ὁ ἄνθρωπος τῇ τῆς τιμῆς ὑπερβολῇ τοῖς τιμωμένοις τὴν ὕβριν ἀρνήσας. θαῦμα γὰρ τῇ κτίσει προσενέγκας ὑπερβαῖνον τὰ μέτρα τῆς κτίσεως, ἀδοξίαν τοῖς τιμωμένοις κατέχεεν. οὕτω πλάνης μήτηρ ἡ κτίσις ἄκουσα γέγονεν. ἀλλ' ἐγκείρει τὴν πλάνην ὁ Θεός, καὶ φέρει σταυρὸν ἐν μέσῳ θεογνωσίας ἀνθρώποις, ὄργανον τῆς κτίσεως δυνατώτερον. ἄπρακτος γὰρ οὐρανὸς πρὸς ἀσεβείας διόρθωσιν γέγονε, καὶ ἥλιος

μὲν

ἀλλ' ἠσχύνετο προσκυνουμένη, κωλύειν δὲ τοὺς προσκυνοῦντας οὐκ ἴσχυε. γῆ τὰ τοῦ σώματος φάρμακα βρύουσα, τῇ ψυχῇ νοσούσῃ βοηθεῖν οὐκ ἠδύνατο. περὶ τῇ θαλάττῃ πρὸς τὸ πάθος ἠλέγχετο. καὶ ὁ ἄνθρωπος τυφλώττων περιῆγε τὴν κτίσιν, καὶ τὸ προσπίπτον ψηλαφῶν προσεκύνει, Θεὸν εὑρεῖν οὐ δυνάμενος, ἢ οὐ βουλόμενος, ὃν ὁ τῆς ὅλης κτίσεως δῆμος κηρύττων, πρὸς τὴν τοῦ Θεοῦ διδασκαλίαν προσαγαγεῖν οὐκ ἐξήρκησεν· ἀλλ' ὃ μὴ πεποίηκεν ὁ οὐρανός, ἴσχυσε σταυρός. ὃ ὁ ἥλιος οὐκ ἐδίδαξε, σταυρὸς ἐπιλάμψας ἐφωταγώγησε. καὶ ξύλον εὐτελὲς φυτευθὲν, οἰκουμένην ἀσεβοῦσαν πρὸς εὐσέβειαν ἐγεώργησε. ξύλον καταδίκης ὄργανον, τοῖς καταδίκοις ἐλευθερίαν ἐκαρποφόρησεν. ἠπόρησε πρὸς σωτηρίαν ἀνθρώπων ἡ κτίσις, καὶ σταυρὸς εἰσελθὼν, ἰατρὸς ἀνεδείχθη. ἐπειδὴ γὰρ θάνατος ξύλῳ τὸ πάλαι χρησάμενος βακτηρίᾳ, τὴν τῶν ἀνθρώπων φύσιν ἐπολιόρκησεν, ὁδὸν εὑρὼν εἰς παρείσδυσιν τὴν ἐν βρώσει παράβασιν, ὅτε παρανοιχθείσης ὑπὸ τῆς ὁδοῦ, τῷ θανάτῳ τὰ λοιπὰ συνείπετο, καὶ οἱ κοινωνοὶ τῆς φύσεως ἐγένοντο κοινωνοὶ τῆς κολάσεως, οἰκτείρας οὖν τοὺς πλανηθέντας ὁ πλάσας, ξύλον ἀντιφάρμακον ξύλου χαρίζεται, καὶ πάθος οἰκονομίας εἰσήνεγκε πάθους ἀλεξιτήριον φάρμακον. καὶ θανάτῳ κρατοῦντι θάνατον ἀνθοπλίσας κατηγωνίσατο. καὶ πάλιν ἐλεύθερος ὁ ἄνθρωπος, οἷς ἐδέθη πρὸς θάνατον τὴν ἀθανασίαν εὑράμενος. δι' ὧν γὰρ κατεκέκλειστο, διὰ τούτων ἐλύετο. ὢ θείας ἀληθῶς σοφίας καὶ μηχανῆς οὐρανίου· σταυρὸς ἐπήγνυτο, καὶ εἰδωλολατρεία κατεστρέφετο· σταυρὸς ἠγείρετο, καὶ διαβολικὴ δυναστεία κατεδικάζετο. σταυρὸς ἐπήγνυτο, καὶ Ἰουδαίων ὁ τῦφος πρὸς πτῶσιν μηδίσατο· ἵνα μάθῃς ὅτι μὴ ξύλον ἁπλῶς τῶν τοσούτων θαυμάτων παραίτιον, ἀλλ' ὁ τῷ ξύλῳ πρὸς νίκην χρησάμενος. σταυρὸς καὶ πάθος καὶ λόγχη καὶ ἧλοι καὶ θάνατος, ταῦτα ζωῆς ἀθανάτου γίνεται ὄργανα. τούτοις ὁ δύστηρος ἄνθρωπος εἰς ζωὴν ἀπετέχθη, οἷς ὁ πρωτόπλαστος Ἀδὰμ κατεκρίθη. ὑφ' ὧν ἡ ἀρχὴ τῶν ἀνθρώπων κατέπεσεν, ὑπὸ τού-

των ἡ ἀρχὴ τῶν ἀνθρώπων ἀνίπτεται. σήμερον ὁ δεσπότης καὶ κύ-
ριος κατάκριτος ἄγεται, καὶ ἐκ δικαστηρίου πρὸς δικαστήριον πα-
ραπέμπεται. Καϊάφας ἀποφαίνεται, καὶ Πιλάτος τὴν ψῆφον
διαδέχεται, καὶ οὐ παραιτεῖται τὴν ψῆφον ὁ Χριστὸς, ἵνα λύσῃ
τὴν τοῦ κόσμου κατάκρισιν. ὢ παραδόξων θαυμάτων. δέχεται
τὴν ψῆφον αὐτὸς τοῦ θανάτου, καὶ εὐθέως ὁ Βαραββᾶς ἀπολύεται,
ἐκ προοιμίων ὁ σταυρὸς τοῖς κατακρίτοις ἐλευθερίαν χαρίζεται.
μὴ γάρ μοι πρὸς τὴν τῶν Ἰουδαίων πονηρίαν ἀπίδῃς μόνον,
ὅτι τὸν εὐεργέτην καταδικάζοντες, προτιμῶσι τὸν μιαιφό-
νον, ἀλλ' ὅτι περ ἡ τῆς κατακρίσεως ἀρχὴ, τῆς τῶν κατακρίτων
ἐλευθερίας ὑπῆρχεν ἀρχή· ὁ τὴν τῶν κατακρίτων δίκην δεξά-
μενος, δικαίως ζώντων ὁμοῦ καὶ νεκρῶν κριτὴς ἀναφαίνεται, καθ'
ἣν ἔστησεν ἡμέραν, ἐν ᾗ κρινεῖ τὴν οἰκουμένην ἐν ἀνδρὶ ᾧ ὥ-
ρισεν ὁ Θεὸς πίστιν παρασχὼν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. οἱ
μὲν οὖν Ἰουδαῖοι τοὺς ἄλλους τρόπους τοῦ θανάτου παριέντες, ἐπὶ τὸν
σταυρὸν ὥρμησαν, τιμωρίας καὶ ἀτιμίας ἐπινοήσαντες ὄργανον,
τὸν διὰ ξύλου θάνατον, καὶ τὴν τοῦ νόμου κατάραν τοῦ διὰ ξύλου θανάτου
προσάπτουσιν, ἐπιφορτίζειν ἡγούμενοι τοῦ θανάτου τὸ βάρος. ἠγνόου-
ν δὲ ἄρα τὸν σταυρὸν νίκης ἔντιμον κατασκευάζοντες σύμβολον· καὶ
οὐδὲ μέχρι τούτων ἀρκούμενοι, καὶ λῃστὰς κοινωνοὺς τοῦ θανάτου βιάζον-
ται γενέσθαι, ἵνα ἡ τοῦ θανάτου κοινωνία τῆς τελευτῆς γένηται ἀδο-
ξία. ἠγνόουν δὲ ἄρα λῃστὴν τῷ Χριστῷ συσταυροῦντες, κήρυκα τῆς τοῦ
σταυρουμένου βασιλείας χειροτονοῦντες, μνήσθητί μου Κύριε ἐν τῇ βα-
σιλείᾳ σου, κεκραγότα. ὡς λῃστὴς ἐσταυρώθη, καὶ Εὐαγγελιστὴς
ἀνεδείχθη· ὡς βασιλέα τιμᾷ, ὃν ἀτιμάσαι ἐδιδάχθη· μνήσθητί
μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. τί φῂς ὦ λῃστά;
ἀγνοεῖς ἃ πάσχεις; ἐπελάθου τῶν ἥλων; ὡς ἐν ἱερῷ προσευ-
χόμενος, οὐχ ὡς ἐν ξύλῳ κρεμάμενος ἱκετεύεις; εἶδόν φησι
Θεὸν ἀληθινὸν, καὶ ἱκετεύειν τοῦτον ἐπόθησα· ἔγνων τούτου ἐκ
τῆς ἐπιγραφῆς τὴν ἀξίαν· εἶδον τὴν κατάδικον βασιλείαν
κηρύττουσαν· εἶδον ἐν τῇ κατηγορίᾳ διαδήματος χάριν ἀπαστρά-

κτισαν. εἰ γὰρ σταυρούμενος βασιλεύει, τίς ἂν εἴη στεφόμενος; γνωρίζει τὴν βασιλείαν ἡ κτίσις, ἥλιος σταυρούμενον ὁρᾷ, καὶ φαίνειν οὐ τολμᾷ· ἁρπάζει τῶν σταυρούντων τὸ φῶς ὑπὲρ δεσπότου μαχόμενος. νυκτὶ παραλόγῳ καταδικάζει Ἰουδαίων παρανομίαν. γῆ σαλευομένη ταράττεται, καὶ κρεμνᾷ σεισμῷ τοὺς ἐπὶ σταυροῦ τὸν δεσπότην κρεμάσαντας. πῶς μὴ πεισθῶ βασιλέα τὸν ὑβριζόμενον; ὁ τίτλος βοᾷ· ἡ κτίσις μαρτυρεῖ. ἅπερ ἀναγινώσκω τοῖς γράμμασιν, ἐπιγινώσκω τοῖς πράγμασι. μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου. ὦ λῃστὰ πικρὲ τῶν Ἰουδαίων κατήγορε. ὦ λῃστὰ δικαιοσύνης συνήγορε. ὦ λῃστὰ παραδείσου φύλαξ. ὦ λῃστὰ τοῦ Ἀδὰμ περὶ τὴν κτίσιν τιμιώτερε. ὦ τοῦ πρωτογόνου περὶ τὸν παράδεισον βεβαιότερε· ἐκεῖνος ἀκαίρως ἐκτείνας τὴν χεῖρα περὶ τὸ ξύλον, ἔβλαψε τὴν κτίσιν· σὺ δὲ εὐκαίρως ἐπὶ σταυροῦ τὰς χεῖρας ἁπλώσας, τὸν ἀπολόμενον ἐκτήσω παράδεισον. ὦ λῃστὰ εὐφυέστατε, τὸν προγονικὸν κλῆρον ἀπολόμενον, διὰ μιᾶς ἐντυχίας ἀνακτησάμενος. ὦ πῶς πρῶτος βασιλείαν ἐκαρπώσω. ὦ λῃστὰ ῥήματι μικρῷ τὸν οὐρανὸν ὑπανοίξας· ὦ ξένην ἐπῳδὴν πρόξενον θησαυρῶν μηχανησάμενος· ὦ ἄνοδον οὐρανοῦ τὸν σταυρὸν ποιησάμενος. ὦ νομίμου λῃστείας τοῖς ἀνθρώποις διδάσκαλε· ὁ λῃστείαν ἐπαινουμένην διδάξας. ὁ ποθουμένην κλοπὴν ὑφηγούμενος. ὁ μεγάλης λῃστείας μισθοὺς συγγραψάμενος· ὁ μέγα διδάξας τὸ τῆς ὁμολογίας γεώργιον· ὁ βραδέως πιστεύσας, καὶ ταχέως ὁμολογήσας· ὁ ἔσχατος ἐλθὼν, καὶ πρῶτος στεφθείς· ὁ δείξας πίστεως ὀξυτάτην ἐνέργειαν· ὁ δείξας πίστεως ἀληθινῆς ὠδῖνας, χρόνου εἰς τόκον μὴ δεόμενος· ὦ πικρὲ τοῦ Ἰούδα κατήγορε· ὁ τοῦ προδότου τῆς ἀγχόνης φανεὶς βαρύτερος· ὁ τὴν τοῦ Ἰούδα προδοσίαν κατὰ τοῦ διαβόλου μηχανησάμενος, καὶ τὸν Χριστὸν δικαίως ἀγοράσας, καὶ μάρτυρα τῆς κτήσεως τὸν σταυρὸν ἐπαγόμενος· ὁ Πέτρου συστρατιώτης καὶ τῶν Ἀποστόλων συμμύστης. διεδέξατο δὲ τὸν σταυρὸν ὁ τάφος νεκροῦ πεῖραν οὐκ ἔχων.

πα-

τάφος ἀθανασίας χωρίον· τάφος ἀναστάσεως ἐργαστήριον· τάφος τῶν τάφων κατάλυσις, ἐν ᾧ θάνατος παύεται, ἐν ᾧ ζωὴ φύεται πέρας οὐκ ἔχουσα. καλῶς ὁ τάφος καινός. τοῦτο τῆς χάριτος βούλημα, ἵνα μὴ τῶν νεκρῶν τὸ πλῆθος ἀμφίβολον δείξῃ τὸν ἀναστάντα, καὶ πάλιν ὁ Ἰουδαῖος λάβῃ τῆς συκοφαντίας ὕλας. γυμνὸς ὁ τάφος τοῦ τεθνεῶτος ὁρᾶται, γλῶσσαν Ἰουδαϊκὴν ἀποφράττων, μονονουχὶ τοιαῦτα πρὸς τὸν Ἰουδαῖον φθεγγόμενος. τί λέγεις ὦ συκοφάντα; νεκρὸν ἕτερον οὐχ ὁρᾷς, οὐκοῦν τῶν ἀνισταμένων πρόσωπον. θέασαι τὸν ἐγειρόμενον, καὶ τὴν δεσποτείαν. ἐπίγνωθι, ὃν νεκρόν μοι παρέδωκας, ἀθάνατον ἀντιδίδωμι. ἀλλ' οὐκ ἤρκει τοῦτο τοῖς Ἰουδαίοις. ἐπισυνάπτουσι δὲ τάφῳ τὰς σφραγῖδας. ἄθλιοι καὶ ταλαίπωροι, ὁ τὰς ὠδῖνας τοῦ θανάτου λύων, τὰς σφραγῖδας οὐ λύει; ὁ σκυλεύων τὸν ᾅδην, τὰ σήμαντρα φοβεῖται; σφραγίζει τὸν τάφον· ἐπισημαίνει τὸν λίθον· στρατιώτας ἐφίστησιν· πολιορκεῖ τὸ μνῆμα. μεῖζόν μοι ποιεῖς τὸ κατόρθωμα. θεατὰς τῆς ἀναστάσεως ἐξενίζεις. μάρτυρας τῆς ἐγέρσεως φέρεις· κήρυκας τῶν ἐμῶν θαυμάτων τοὺς σοὺς ὑπηρέτας κατασκευάζεις. δεῦρο δὴ οὖν Ἀδελφοί, μείνωμεν ἰδεῖν τὰς ὠδῖνας τοῦ τάφου. ἴδωμεν πῶς δορυφοροῦντα τὸν Ἰωσήφ, καὶ τὸν Νικόδημον συντρέχοντα, σινδόνι καθαρᾷ καὶ ὀθονίοις καὶ σουδαρίῳ περιελίσσοντας τὸν τοῦ παντὸς Κύριον, σμύρναν τε καὶ ἀλόην καὶ τῆς ἀφθαρσίας σύμβολα προσκομίζοντας. ἴδωμεν τοίνυν κυοφορουμένην τὴν ἀνάστασιν· ἴδωμεν γαστέρα τάφου ἀθανασίας μητέρα· μείνωμεν ἰδεῖν τὸν Χριστὸν [illegible] ἐκ τάφου ἐγειρόμενον, καὶ τὴν κατὰ τοῦ θανάτου καὶ τυράννου νίκην ἀναδησάμενον· καὶ φαιδροὶ φαιδρῶς τῷ αἰωνίῳ βασιλεῖ προσέλθωμεν· αὐτῷ γὰρ πρέπει τὸ κράτος, καὶ ἡ δύναμις, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΟ Ἅγιον Πάσχα.

Εἰ ταῖς τῶν Ἀγγέλων ἐχρῆν πρὸς τὸ παρὸν χρήσασθαι γλώτταις, καὶ φωνὰς ἀθανάτους ἡ τῶν θνητῶν ἐκτήσατο φύσις, ἐτόλμησε μόλις ἂν τὰς τῆς ἑορτῆς ὑμνῆσαι δωρεάς. νυνὶ δὲ γλῶττα θνητὴ, καὶ πήλινον ὄργανον, τί μὲν ἂν εἴποι; τί δὲ καὶ φθέγξοιτο, ἅπερ ἡ σύμπασα κτίσις ὁμοφωνοῦσα πρὸς ἀξίαν ὑμνεῖν οὐκ ἰσχύει; ὑπερβαίνει γὰρ ἀληθῶς κτίσεως μέτρα τὰ δῶρα τῆς χάριτος. θάνατος ἐξ ἀνθρώπων ἐλαύνεται, καὶ ᾅδης τὴν πολυετῆ δυναστείαν ἀποτίθεται, καὶ γένος ἀνθρώπων ἁμαρτίας νόμῳ κατάδικον, τῇ τῆς χάριτος δωρεᾷ βασιλεύειν διδάσκεται. τῆς τοίνυν δεσποτικῆς ἑορτῆς ὁ πρωτοστάτης μὲν τῆς ἀπολαύσεως ἄνθρωπος, καινωνὸς δὲ τῆς χάριτος ἡ λοιπὴ γίνεται κτίσις. Ἐν ἀνθρώπου γὰρ μορφῇ σήμερον ὁ τῆς φύσεως ἀνεπλάττετο δῆμος. ὅπου γὰρ Παῦλος ὁ τῆς χάριτος μαθητὴς παρήγγειλεν· Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ καινὰ γέγονε τὰ πάντα. μιᾷ φωνῇ ἑλκύσας τὰ σύμπαντα πρὸς ἀνάκτησιν. ὁ τῆς κτίσεως δημιουργὸς ἀνέστη· ἡ γὰρ τοῦ Σωτῆρος ἀνάστασις κοινὴ τῶν πάντων ὑπάρχει ἀνάκτησις· καὶ τοῦτο Παῦλος ἡμῖν εὐαγγελίζεται λέγων· ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἐκ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τοῦ Θεοῦ. τουτέστι τὴν φθορὰν ἀποθήσεται, τὴν δουλείαν ἀποδύσεται, τὴν ἀθανασίαν ἀπολήψεται, πρὸς ἀμείνονα μεταστήσεται λῆξιν· τοῦ γὰρ ἀνθρώπου πρὸς ἀφθαρσίαν καινουργουμένου, καὶ ἡ δι᾽ αὐτὸν παραχθεῖσα ἀνακαινισθήσεται κτίσις. Ἔκτισε μὲν γὰρ ὁ Θεὸς τὴν μεγάλην ταύτην τῆς κτίσεως πόλιν, φωνῇ μόνῃ τὴν τῶν πολλῶν παραγωγὴν ποιησάμενος. φωνῇ μόνῃ τὴν τῶν ὅλων οὐσίαν ἑλκύσας, τῆς δη-

μιουρ-

δημιουργικῆς αὐτοῦ σοφίας τὴν δύναμιν ἔδειξεν. ὡς ἐν ναῷ δὲ τῷ ἐμφανεῖ τῇ κτίσει τὴν ἰδίαν εἰκόνα τὸν ἄνθρωπον δημιουργήσας ἀνέστησεν. ἔδει τοιγαροῦν καὶ νῦν τῆς ἰδίας εἰκόνος καινουργουμένης, καὶ αὐτὸν τὸν τῆς εἰκόνος οἶκον συνανακαινίζεσθαι. τοῦτο ἡμῖν ἐγγυητὴς σήμερον ἡ παροῦσα πανήγυρις. διὰ ταύτην ὁ μακάριος ἔκραζε Παῦλος· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. ὁρμίζεται γὰρ θανάτου νόμον τὸ σῶμα, τοῖς τῆς ἀθανασίας ἐστεφανωμένον ἄνθεσι. καὶ χώραν οὐχ εὑρήσει φθορὰ, τῆς ἀφθαρσίας ἐπιλαμπούσης. ὢ τῆς μεγάλης τῶν πραγμάτων μεταβολῆς. ὢ τῆς ὑπὲρ ἐλπίδας ἐναλλαγῆς. ὢ μεγάλου πένθους εἰς εὐθυμίαν καταλήξαντος. ὢ χαρᾶς διαδεξαμένης τὴν συμφοράν. αὐξήσει γὰρ τὴν δοξολογίαν ἡ τῆς παλαιᾶς καὶ νέας διαθήκης ὑπόμνησις. ἦμεν γὰρ ἐν παραδείσῳ τὸ πρότερον, ἀγεώργητον τρυφῆς κλῆρον ἐκ φιλανθρωπίας δεξάμενοι. ἐπῆλθεν ὄφις τοιχωρύχος τῆς ἀπολαύσεως ληστεύσας τὴν τρυφὴν, καὶ κατάκριτον τὸ ληστευθὲν κατέστησε γένος, ὁδὸν εὑρὼν τῷ θανάτῳ τῆς ἐντολῆς τὴν παράβασιν. ἐντεῦθεν ᾅδης πύλας ἀνοίξας τὸ τῶν ἀνθρώπων ὑπεδέχετο γένος· καὶ τίκτουσα φύσις φοβερὸν ἐποίει τῶν τικτομένων τὸν θάνατον. καὶ τῶν ὠδίνων ὁ πόνος πρόσοδος ἐγίνετο τάφων. καὶ ἦν κληρονομία ἐκ παρανομίας ὁ θάνατος, ἑκάστην τῶν ἡλικιῶν ἀκωλύτως ἀγρεύων. οὐκ ἐμβρύου φειδόμενος, οὐ τὸ τεχθὲν παρορῶν, οὐ τὸν ἔφηβον ἐλεῶν, οὐ καταλιμπάνων νεάζοντας, οὐ πρεσβύτας αἰδούμενος, οὐχ ἁμαρτωλοῖς συγγινωσκόμενος, οὐ δικαίων κατάλογον αἰσχυνόμενος, οὐ Προφήτας παραιτούμενος, οὐχ Ἱερέα παραπεμπόμενος. ἀλλ' ἥπλωτο κατὰ πάντων, ἡ τοῦ θανάτου σαγήνη, τὸ προσπῖπτον ἁρπάζουσα. οὐκ ἦν ἰατρὸς τοῦ κακοῦ, οὐκ ἦν ἐπαγόμενος φάρμακον. καὶ τοσαῦται γενεαὶ τὴν ζωὴν παραδοῦσαι, τὴν ἀκόρεστον οὐκ ἐπλήρωσαν τοῦ θανάτου γαστέρα. καὶ ἦν τὸ δεινὸν τοῖς πενθοῦσιν ἀπαραμύθητον, καὶ πρὸς ἴασιν ἄπορον, εἰ μὴ Χριστὸς σταυρωθεὶς τοῦ θανάτου τὴν τυραννίδα κατήνεγ-

κε, νυχθημέρῳ τάφῳ τὴν πολυχρόνιον τοῦ ᾅδου καταστρέψας βασίλειαν, ἀλλ' οὐ νῦν πρώτως πρὸς φιλανθρωπίαν δραμών, οὐδ' αὐτὸς ἑαυτοῦ πρὸς τὸ παρὸν γεγονὼς καὶ συμπαθέστερος, εἰ καὶ νῦν ἔργῳ τὴν ἀνάστασιν ἔδειξεν. ἀλλὰ καὶ πάλαι κρατοῦντα τὸν θάνατον, ταῖς τῆς ἀναστάσεως ἐφόβει σκιαῖς. καὶ τοῦ ᾅδου τὴν βασιλείαν ἐτάραττεν, ἐλπίδας ἀθανασίας ἀμυδρῶς τῷ γένει δωρούμενος, ὑποχρόνους τῆς τοῦ ᾅδου τυραννίδος τὰς τῆς καταλύσεως ὑφαίνων ἐννοίας. καὶ σκόπει τὴν ἀπόρρητον τῶν πραγμάτων οἰκονομίαν. Ἄβελ πρῶτος ὑπὸ τοῦ θανάτου κατέχεται. ὁ δεδωκὼς τῷ θανάτῳ τῆς ἁμαρτίας τὴν πρόφασιν, δίδωσι τῇ φύσει καὶ τοῦ θανάτου δικαιολογίας ὑπόθεσιν. εἰ γὰρ ἀδίκως κατέχεται, δικαίως ἀνίσταται, ἁμαρτωλοῦ γὰρ ἀποθανόντος, ἰσχυρότερος δικαζόμενος ὁ θάνατος. σαθρὰ δὲ καὶ δικαίων τῷ ᾅδῃ ἡ ἐγχείρησις. ἀσθενὴς ὁ τοῦ θανάτου δεσμός, δίκαιον ἔχων ἀδίκως κρατούμενον. εἰ γὰρ ἡ ἁμαρτία τῆς τοῦ θανάτου βασιλείας ἰσχύς, ὁ μὴ πταίσας ἀνθρώπος. διὰ τοῦτο δυνάμενος ὁ Θεὸς ἐξαρπάσαι τοῦ φόνου τὸν Ἄβελ, τοῦτο μὲν οὐ πεποίηκε. συνεχώρησε δὲ τὴν ἀναίρεσιν, ἵνα ἄρριζος γένηται θάνατος, δικαίου φοινισσόμενος αἵματι. διὰ τοῦτο Χριστὸς ὑπὲρ τοῦ κόσμου δικαζόμενος ἔλεγε· νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. ἄνωθεν οὖν ἡ τοῦ Ἄβελ διὰ Χριστοῦ προκεκήρυκται δίκη καὶ νίκη. λάβε μοι Παῦλον συνηγοροῦντα, καὶ ἀποθανὼν φησὶν Ἄβελ ἔτι λαλεῖ, ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο, παραβολὴν τὴν ὁμοιότητα λέγων· φέρει γὰρ μίμησιν τῆς τοῦ Χριστοῦ δίκης ἡ τοῦ Ἄβελ ἀναίρεσις, διὰ τοῦτο καὶ μετὰ θάνατον φθέγγεται, καὶ κατηγορεῖ τοῦ φονεύσαντος. ἡ γὰρ τοῦ βίου παρρησία τῷ θανάτῳ τὴν βίαν ἐνίκησεν· οὐκ ἔσβεσεν αὐτοῦ βοῶσαν τὴν γλῶσσαν ὁ φόνος, οὐδὲ τὰς τοῦ αἵματος δικαιολογίας ἀνέκοψεν, ἀλλ' ἀθάνατα φθέγγεται γλώττῃ κρατουμένῃ θανάτῳ. οὐκ ἂν ἦν εὔπορος εἰς ἀπολογίαν ἡ φύσις, εἰ

ὁ Ἄ-

ὁ Ἀδὰμ προανήρπαστο. ἡ γὰρ τῆς παραβάσεως αἰσχύνη τὴν γλῶτταν ἐνέφραττεν. Ἄβελ πρῶτος πεσὼν, ἤγειρε τὰς ἐλπίδας τῆς φύσεως. ἔφθασεν ἐπὶ τούτοις Ἐνὼχ, καὶ τόπου μεταστάσει, τὸν ᾅδην ἀπέφυγεν, εὐδοκιμήσει βίου δραπετεύσας τὸν θάνατον. μετὰ τοῦτον Ἠλίας ὁ μέγας οὐδ᾽ αὐτὸς ἄξας τῷ θανάτῳ, τὸ τῆς ξενοδόχου παιδίον τελευτῆσαν ἐξήρπασεν, εὐχῆς δυναστείας τοῦ θανάτου τὴν βίαν νικησάσης, καὶ τὴν ἐξ ᾅδου πρὸς ζωὴν ὑποστροφὴν καινουργησάσης. Ἐλισσαῖος ἐπὶ τούτοις ἀνέτειλε, διπλῆν ἐξ ἁπλῆς τὴν χάριν δεξάμενος. ὃς τὸ τῆς Σωμανίτιδος παιδίον ἐξ ᾅδου πρὸς βίον δι᾽ εὐχῆς μετεπέμψατο. ἐπειδὴ καὶ αὐτὸς τοῖς τοῦ θανάτου περιεβλήθη δικτύοις, καὶ νεκρὸς ὢν, ὅμως τὸν ᾅδην ἐσύλησε, τῇ τοῦ σώματος ἀφῇ τὸν νεκρὸν φυγαδεύσας, καὶ διὰ νεκροῦ νεκρὸς πρὸς βίον ἐκλέπτετο. καὶ ἦν ὁ Προφήτης τῷ θανάτῳ νεκρὸς ἐπιζήμιος. τοῦ γὰρ Ἐλισσαίου θανόντος, προσθήκην ὁ τῶν νεκρῶν ἀριθμὸς οὐκ ἐλάμβανεν, ἀλλ᾽ ἀκερδὲς τῷ ᾅδῃ κατὰ τοῦ δικαίου τὸ θήραμα. ἐν τούτοις οἱ τύποι τῆς ἀναστάσεως ὠχύρουν φθειρομένην τὴν φύσιν. ἀλλ᾽ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, τοῦ νόμου τὸν χρόνον ὅρους τοῦ κράτους ποιούμενος. ἐπειδὴ δὲ Χριστὸς ἐξ Οὐρανοῦ ἐπεφάνη, ἔξοχον μὲν εἰς ἔργον αἱ τοῦ γένους ἐλπίδες. καὶ φωνῇ δεσποτικῇ τὰ τοῦ ᾅδου διηνοίγετο κλεῖθρα, καὶ δεσμώτας νεκροὺς ἀπεδίδουν οἱ τάφοι. καὶ κλῆσις ἐγίνετο, καὶ τάφος ἠνοίγετο. καὶ φύσις ἀνθρωπίνη Θεῷ ἡνωμένη τὸν ᾅδην κατέπληττεν. ἐντεῦθεν ὁ ᾅδης πρὸς τὸν τοὺς νεκροὺς ἀφαιρούμενον ἐβόα· Τί τὴν ἐν Παραδείσῳ συγγραφὴν ἀνατρέπεις; τί τὸ κατὰ τῆς φύσεως κατασχίζεις χειρόγραφον; ἐγγράφοις δικαίοις κατὰ ἀνθρώπων ὠχύρωμαι. ἔχω τὸ, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, τοῦ γένους τὸ πρόστιμον. ὠδύρετο μὲν οὖν καθ᾽ ἕνα τῶν νεκρῶν ἀφαιρούμενος· ἠγνόει δὲ ἄρα ὡς Χριστὸς καταβὰς, πάνδημον ἀφαίρεσιν τοῖς θνήσκουσι χαρίσεται. ἵνα γὰρ μηδεὶς ἔτι τῷ ᾅδῃ περιληφθείη δεσμώτης, κάτεισιν αὐτὸς εἰς ᾅδου Χριστὸς,

καὶ μὲν φορουμένῃ σαρκὶ δελεάζων τὸν ᾅδην, θεότητος δὲ δυνάμει καθαιρῶν αὐτοῦ τὰ βασίλεια, βραχεῖ χρόνῳ παλαιὰ τοῦ νόμου διατεμὼν χειρόγραφα, ἵνα ἀνθρώπους εἰς Οὐρανὸν ἀναγάγῃ· Οὐρανὸν, τὸ ἐλεύθερον τοῦ θανάτου χωρίον, ἀφθαρσίας καταγώγιον, δικαιοσύνης ἐργαστήριον. Ἐν τούτοις ἐβαπτίσθης τοῖς ἀγαθοῖς νεοφώτιστε. ἀῤῥαβὼν σοι γέγονεν ἀναστάσεως ἡ τῆς χάριτος μύησις. ἐνέχυρον τῆς ἐν Οὐρανῷ διαίτης τὸ βάπτισμα. ἐμιμήσω τῇ καταδύσει τοῦ Δεσπότου τὸν τάφον. ἀλλ᾽ ἀνέδυς πάλιν ἐκεῖθεν, τὰ τῆς ἀναστάσεως ἔργα πρὸ τῶν ἔργων θεώμενος. ὧν εἶδες τὰ σύμβολα, τούτων ἀποδέχου τὰ πράγματα. δέχου Μάρτυρα τῶν λεγομένων τὸν Παῦλον λέγοντα· εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. καλῶς τὸ σύμφυτοι· φυτεία γὰρ πρὸς ἀθανασίαν τὸ βάπτισμα, ἐν Κολυμβήθρᾳ φυτευομένη καὶ Οὐρανῷ καρποφοροῦσα. ἐκεῖ τοῦ Πνεύματος ἡ χάρις ἀποῤῥήτως ἐργάζεται. καὶ μὴ τῇ τῆς φύσεως συνηθείᾳ ἀγνοήσῃς τὸ θαῦμα· ὑπηρετεῖ πρὸς τὴν χρείαν τὸ ὕδωρ, δημιουργεῖ δὲ τὴν ἀναγέννησιν ἡ χάρις· ὡς ἐν μήτρᾳ τῇ Κολυμβήθρᾳ τὸν ἐμβαλλόμενον ἀναπλάττει· ὡς ἐν χωνευτηρίῳ τῷ ὕδατι τὸν κατιόντα ἀναχαλκεύει· δίδωσιν αὐτῷ τῆς ἀθανασίας μνηστείαν· ἀναστάσεως σφραγῖδα χαρίζεται· τύποι σοι τῶν θαυμάτων ὦ νεοφώτιστε, καὶ ἡ ἀμφίασις φέρει τὰ σύμβολα. ἀπόβλεψον εἰς ἑαυτὸν τὰς τῶν ἀγαθῶν εἰκόνας φοροῦντα. λαμπρὰ μὲν γὰρ καὶ διαυγὴς ἡ ἐσθής σου, τῆς ἀφθαρσίας ζωγραφοῦσα τὰ σύμβολα. ὀθόνη σοι λευκὴ καθάπερ διάδημα τὴν κεφαλὴν διασφίγγει, τὴν ἐλευθερίαν κηρύττουσα. ἡ χεὶρ τῆς κατὰ τοῦ Διαβόλου νίκης περιφέρει μηνύματα. ἔδειξε γάρ σε Χριστὸς ἐγειρόμενον, νῦν μὲν συμβόλοις, δείξει δὲ μετὰ μικρὸν καὶ ἐν τοῖς πράγμασιν, ἐὰν τὸν χιτῶνα τῆς πίστεως μὴ ταῖς ἁμαρτίαις ῥυπώσωμεν, ἐὰν τὴν λαμπάδα τῆς χάριτος ἀτόποις μὴ κατασβέσωμεν πράξεσιν, ἐὰν τὸν τοῦ πνεύματος διαφυλά-

[illegible]μένον στέφανον. τότε σαφῶς ὁ Δεσπότης ἐξ Οὐρανῶν μετὰ φοβερᾶς καὶ φιλανθρώπου βοῆς ἀναβοήσει· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ

## Κυριακὴν, ἤτοι τοῦ Θωμᾶ, καὶ εἰς τοὺς Νεοφωτίστους.

ΧΡιστὸς ἐγερθεὶς ἐκ νεκρῶν ὅλην τῶν ἀνθρώπων τὴν ζωὴν ἑορτὴν ἀπειργάσατο. τῶν γὰρ ἐν τῇ γῇ τὸ πολίτευμα πρὸς Οὐρανὸν μεταστήσας, τὰς τοῦ πανηγυρίζειν ἀφορμὰς ἐδωρήσατο. καὶ μάρτυς τῶν εἰρημένων Παῦλος ὁ τῶν Χριστοῦ ῥημάτων ὄργανον τὴν γλῶτταν κτησάμενος· ἡμῶν γάρ φησι τὸ πολίτευμα ἐν Οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν. καὶ τίς γὰρ ἀπεκδεχόμενος, ταῖς ἐλπίσιν οὐχ ἑορτάζει; τίς τὴν τοῦ σωτῆρος ἐπιδημίαν λογισμῷ φανταζόμενος, οὐ προλαμβάνει χαίρων τῶν πραγμάτων τὴν πεῖραν; τίς δὲ Βασιλέως θνητοῦ κάθοδον ἐσομένην ἀκούσας, οὐκ ἀνίσταται μὲν τὴν διάνοιαν, εὐφραίνεται δὲ τὴν ψυχὴν, προτρέχων τῷ πόθῳ τῆς θέας τὸν χρόνον; τότε συγκινοῦνται μὲν δῆμοι· σκιρτῶσι δὲ παῖδες· χορεύουσι κόραι· πρεσβῦται τὸ γῆρας ἀναιρεῖσθαι βιάζονται, ταῖς ἐλπίσιν ἀκμάζοντες. καὶ χωρεῖ διὰ πάντων ἡ τῆς βασιλικῆς παρουσίας πανήγυρις. τί οὖν ἂν εἴποι τις, παραγενομένου Χριστοῦ Βασιλέως ἀθανάτου; οὐχ ἵνα πόλεις φαιδρύνῃ, καὶ πύργους ἐγείρῃ, οὐδ' ἵνα δωρεὰς παράσχῃ πατριμονίας τῷ χρόνῳ, ἀλλ' ἵνα τὸ τῶν ἀνθρώπων ἀθανασίαν ἐνδύσῃ γένος, καὶ θανάτῳ λῃστευόμενον ἐν ἀΰλῳ χωρίῳ Οὐρανοῦ κατοικίσῃ; σήμερον ὤφθη πάλιν μετὰ

τὴν

τὴν ἀνάστασιν ὁ Χριστὸς, διὰ τέρα θέα βεβαιοτέραν τὴν πίστιν τῆς ἀναστάσεως ἀπεργαζόμενος. ὤφθη δὲ, τῶν θυρῶν κεκλεισμένων. ὁ γὰρ τὸν ᾅδην δείξας ἀτείχιστον, οὐκ ἐδεῖτο θυρῶν πρὸς τὴν εἴσοδον. ὅπου γὰρ προστάττει Θεὸς, τῆς συνηθείας ἀργοῦσιν οἱ νόμοι. ἐπὶ τῆς θαλάττης ἐβάδιζε πρότερον, καὶ ἡ ῥέουσα φύσις τοῖς τῆς σαρκὸς ποσὶν ὑπεστρώννυτο, καὶ βήμασι ποδῶν ἐπιέζετο τὰ κύματα, καὶ τὸ πέλαγος πρὸς τὴν χρείαν εἰς ἔδαφος μετεπήγνυτο. εἰσῆλθεν ὁ Ἰησοῦς κεκλεισμένων τῶν θυρῶν· καίτοι τῆς ἀναστάσεως γινομένης, ὁ τοῦ τάφου κεκύλιστο λίθος, καὶ ἡ τοῦ μνήματος ἀνεστόμωτο θύρα. ἀλλ' ἐκεῖ μὲν ἐδείχθη, ὅτι ἅπερ ἔπασχεν ὁ τάφος ὁρώμενος, ταῦτα ἔπασχεν ἀοράτως ὁ τύφος τε καὶ ὑπέμενε. καὶ ἀνοιγομένου τοῦ μνήματος ἀθύρωτον σπήλαιον ὁ θάνατος ἀπηλέγχετο. ἔδει γὰρ συναπογυμνοῦσθαι τῷ ᾅδῃ τὸν τάφον, καὶ τοῖς ὁρωμένοις τὰ μὴ ὁρώμενα στηλιτεύεσθαι. ἐνταῦθα δὲ τῶν θυρῶν κεκλεισμένων εἰσέρχεται, ἵνα οἱ περὶ τῆς ἀναστάσεως ἀπιστοῦντες ἐκπλαγῶσι τὴν εἴσοδον, καὶ χειραγωγηθῶσι πρὸς τὸ θαῦμα τῷ θαύματι. ἀναστὰς οὖν ὁ Χριστὸς πρὸ τῶν μαθητῶν ταῖς γυναιξὶν ἑωρᾶτο, καὶ αἱ γυναῖκες τοῖς Ἀποστόλοις εὐηγγελίζοντο τοῦ Χριστοῦ τὴν ἀνάστασιν. καὶ τοῦτο εἰκότως· ἐπειδὴ ἡ τῆς Εὔας ἐπήρεια τῷ διαβόλῳ προεξένετο. ὅθεν γὰρ ἀνέδωσεν ἡ νόσος, ἐκεῖθεν ἡ θεραπεία προέρχεται. ὅθεν ὁ θάνατος ἤρξατο, ἐκεῖθεν ἡ ἀνάστασις φαίνεται. γυνὴ καὶ τῆς παραβάσεως αἰτία, καὶ τῆς ἀναστάσεως κήρυξ. ἡ τὸν πρῶτον Ἀδὰμ πρὸς πτῶσιν χειραγωγήσασα, τὸν δεύτερον Ἀδὰμ ἀναστάντα μαρτύρεται. ὤφθη τοίνυν καὶ τοῖς Ἀποστόλοις ὁ Χριστὸς ἐν οἰκίσκῳ μικρῷ κεκρυμμένοις, εἰσελθὼν τῶν θυρῶν κεκλεισμένων. ἀπιστῶν δὲ τοῖς λεγομένοις, καὶ μὴ παρὼν τοῖς γινομένοις ὁ Θωμᾶς, ποθῶν τὴν θέαν, τὴν ἀκοὴν ἀπεστρέφετο· ἔφραττε τὰς ἀκοὰς, τοὺς ὀφθαλμοὺς ἀναπετάσαι βουλόμενος. ἐπλήττετο τῷ πόθῳ διὰ φωνῆς τοξευόμενος. ἐὰν

μὴ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. ἀπλήστος πρὸ διάθεσιν καὶ μὴ πιστεύων ὁ Θωμᾶς. προβάλλεται τὴν ἀπιστίαν, ἵνα ἀπολαύσῃ τῆς θεωρίας. λύσει μου φησὶ τὴν ἀπιστίαν φανείς. βαλῶ μου τὸν δάκτυλον εἰς τοὺς τύπους τῶν ἥλων. Δεσπότην ὃν ποθῶ περιπτύξομαι. μεμψάσθω τὴν ἀπιστίαν, καὶ χαρισάσθω τὴν θεωρίαν. ὡς ἄπιστος ἴδω, καὶ ὡς Θεὸν περιπτύξομαι, καὶ ἀπολαύσω. ἴδω χεῖρας ὀρυχθείσας, δι᾽ ὧν αἱ παραβᾶσαι τοῦ Ἀδὰμ ἐθεραπεύθησαν χεῖρες. ἴδω πλευρὰν, δι᾽ ἧς ὁ ἐκ τῆς πλευρᾶς ἀνῄρητο θάνατος. θεατὴς καὶ οὐκ ἀκροατὴς τοῦ Δεσπότου γενέσθαι θέλω. τῇ διηγήσει πλέον πρὸς ἐπιθυμίαν ἀνάπτομαι. δι᾽ ὧν εὐαγγελίζεσθε, διὰ τούτων τὴν ὀδύνην μοι ἐπαύξετε. ἐγὼ δέ μου θεραπεύσω τὴν αἰτίαν, τὴν ἀπιστίαν προχειριζόμενος. ἀλλ᾽ αὖθις παρῆν ὁ Δεσπότης, καὶ λύει τοῦ μαθητοῦ μετὰ τῆς αἰτίας τὴν ἀπιστίαν. μᾶλλον δὲ οὐ τὴν ἀπιστίαν ἔλυσεν, ἀλλὰ τὴν ἐπιθυμίαν ἐνεπλήρωσεν. παρῆν πάλιν, τῶν θυρῶν κεκλεισμένων. ἀπιστουμένῃ θέᾳ πιστοῦται τὴν ἀπιστουμένην ἀνάστασιν, καὶ πάλιν διπλασιάζει τὸ θαῦμα, ἵνα πληροφορήσῃ τὸν Θωμᾶν. βάλε φησὶ τὸν δάκτυλόν σου εἰς τὸν τύπον τῶν ἥλων. ἐζήτεις ἀπόντα, παρόντος ἀπόλαυσον. οἶδά σου τὴν ἐπιθυμίαν καὶ σιωπῶντος. πρὸ τῶν λόγων τὴν γνώμην ἐπίσταμαι. ἤκουόν σου τῶν ῥημάτων καὶ μὴ βλεπόμενος. παρήμην ἀπιστοῦντι καὶ μὴ φαινόμενος. ἐνεδίδουν τῇ ἀπιστίᾳ καιρὸν, ἵνα σου τὴν ἐπιθυμίαν θαυμάσω. βάλε τὸν δάκτυλόν σου εἰς τοὺς τύπους τῶν ἥλων, καὶ βάλε τὴν χεῖρά σου εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. ὁ δὲ Θωμᾶς ψηλαφήσας, καὶ τὴν ἀπιστίαν ἐξορίσας, πίστει εἰλικρινεῖ, καὶ πόθῳ θεοπρεπεῖ κέκραγεν· ὁ Κύριός μου καὶ ὁ Θεός μου. καί φησι πρὸς αὐτὸν ὁ Χριστός· ὅτι ἑώρακάς με πεπίστευκας; μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. κήρυξον Θωμᾶ, τοῖς μὴ ἑωρακόσι μου τὴν ἀνά-

στα-

σασιν. ἕλκυσον τὴν οἰκουμένην οὐκ ὀφθαλμοῖς, ἀλλὰ λόγοις πιστεύσασαν. περίελθε βαρβάρων ἔθνη καὶ πόλεις. δίδαξον αὐθ' ὅπλων Σταυρῷ θωρακίζεσθαι. κήρυξον μόνον, καὶ προσκυνοῦντες πιστεύσουσιν. οὐκ ἀπαιτηθήσῃ παρ' αὐτῶν τὴν θέαν τὴν ἐμήν. εἰπὲ τὴν κλῆσιν, καὶ ὅρα τὴν πίστιν. μακάριοι γὰρ ἀληθῶς οἱ μὴ ἰδόντες με καὶ πιστεύσαντες. τοιοῦτος ὁ νεόλεκτος οὗτος τοῦ Δεσπότου στρατὸς, αἱ τῆς πνευματικῆς κολυμβήθρας ὠδῖνες, τὰ ἔργα τῆς χάριτος, αἱ γεωργίαι τοῦ Πνεύματος. οὐκ ἰδόντες ὑπήκουσαν, ἀλλὰ ποθοῦντες ἐπίστευσαν. ἐπέγνωσαν Χριστὸν οὐκ ὄμμασι σώματος, ἀλλ' ὄμμασι πίστεως. οὐκ ἔβαλον τοὺς δακτύλους εἰς τοὺς τύπους τῶν ἥλων, ἀλλὰ τῷ Σταυρῷ περιπλακέντες, τὸ πάθος ἠσπάσαντο. Δεσποτικῆς πλευρᾶς θεαταὶ οὐκ ἐγένοντο, ἀλλὰ χάριτι δεσποτικοῖς συνήφθησαν μέλεσι, κρατοῦντες ἐφ' ἑαυτοῖς τὴν τοῦ Δεσπότου φωνήν· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες· οἱ μὴ ἰδόντες, καὶ Χριστῷ συναφθέντες. σήμερον ἀποδύεσθε τὴν φορουμένην ἐσθῆτα, ἀλλὰ μὴ ἀπόθεσθε τὴν κεκρυμμένην σφραγῖδα. ἀποδύεσθε τὰ φαινόμενα σύμβολα, ἀλλὰ μὴ ἀπόθεσθε τῆς στρατιᾶς τὰ γνωρίσματα. ἀποτίθεσαι τὴν ἀμφίασιν, ὦ τοῦ Χριστοῦ στρατιῶτα, ἀλλὰ μὴ γυμνωθῇς τῶν ὅπλων τῆς πίστεως· νῦν σοι μάλιστα χρεία τῆς πανοπλίας. νῦν γὰρ κατὰ σοῦ πλέον ἤπερ ἔμπροσθεν ἐγρήγορεν ὁ πολέμιος. ἕως αἰχμάλωτος ἦς καὶ δοῦλος τοῦ ἐχθροῦ, τὸ κρατεῖν ἔχων ἐκεῖνος, τοῦ πολεμεῖν οὐκ ἐφρόντιζεν. ἐπειδὴ δὲ πρὸς Χριστὸν μετετάχθης, καὶ φυγὼν τὸν ἐχθρὸν, τῷ Δεσπότῃ προσέδραμες, καὶ λύκου ἀποπηδήσας, συνετάχθης τῇ ποίμνῃ, ὡς παλαιόν σε θήραν μετέρχεται, καὶ μάχεται πολυτρόπους ἐπιμηχανώμενος δόλους. πρὸς ταύτην ἡμᾶς τὴν παράταξιν, ὁ μακάριος ἀλείφων Παῦλος, στρατηγεῖ, καὶ προχειρίζεται παραγγέλματα. οὐκ ἔστιν ἡμῖν, λέγων, ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτο-

ρας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. ὁρᾷς ξίφος πολεμικὸν, καὶ ζεῦξιν μάχης; ὑπὲρ τίνων οὖν ἄρα ὁ πόλεμος; ποῖα τῆς μάχης τὰ κέρδη; αὐτὸς ἐπάγει λέγων ὁ στρατηγός· ἐν τοῖς ἐπουρανίοις, τουτέστιν ὑπὲρ τῶν ἐπουρανίων κτημάτων, ὑπὲρ τῆς ἀφθαρσίας ὁπλίζῃ, καὶ ὑπὲρ ἀνικητότητος πολεμῇ. ὑπὲρ τοῦ συνεῖναι Χριστῷ παραστάτῃ. ταῦτα γὰρ ἐπουράνια κτήματα· ταῦτα ἐκεῖνος ἀφελέσθαι βούλεται. ἀλλὰ μὴ φοβηθῇς, οὐκ ἀφίησί σε πολεμοῦντα γυμνὸν, καθοπλίζει δὲ τοῖς ὅπλοις τοῦ Πνεύματος. καί μοι βλέπε τῶν ὅπλων τὴν ἀστραπὴν φοβερὰν οὖσαν τοῖς ἐχθροῖς· φησὶ γὰρ οὕτω. στῆτε οὖν περιζωσάμενοι τὰς ὀσφύας ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης. ἐπὶ πᾶσι τούτοις ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα τοῦ Θεοῦ. πρὸς ἀοράτους ἐχθροὺς, ἀοράτοις ἐκόσμησεν ὅπλοις. τοιαύτη μὲν ἡ τῶν ὅπλων ἰσχύς. ὅτι δὲ τὰ τῆς παρατάξεως, κἂν μὴ φαίνηται, γίνεται, σκόπησον οὕτως· εἰ γὰρ τὸν Χριστὸν πειράζειν οὐκ ὤκνησεν ὁ διάβολος, ἀλλ᾽ ἀναισχυντίας ὑπερβολῇ καὶ κατὰ τοῦ Δεσπότου τετόλμηκε, πῶς τῶν κατὰ σοῦ μηχανημάτων παύσεται; εἶδε τὸν Χριστὸν βαπτισθέντα (σὺ δὲ σκόπει τὸν καιρὸν ᾧ νωφώνισε) καὶ τότε πρὸς τὸ πειράζειν ἠγέρθη· εἶδεν ἐν τῇ ἐρήμῳ πεινάσαντα, καὶ συνεργὸν τῆς πείρας τὴν πεῖναν ἐλάμβανεν, οὐδ᾽ αὐτῆς τῆς τροφῆς τῶν χρειῶν μηχανημάτων ἐλεύθερον ἀφεὶς, ἀλλὰ προσελθὼν πειράζειν ἐπιχειρεῖ, καὶ λέγει· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται· μονονουχὶ τοῦτο λέγων· υἱὸς Θεοῦ σοβαρεύῃ καλούμενος, ἀπατηθῆς ὀνόματι, προσηγορίᾳ γυμνῇ πράγματος σεμνύνῃ· πεινῶντα βλέπω, καὶ υἱὸν Θεοῦ ὀνομάσω; ἢ τιμὴ τοῦ πάθει

νοθεύεται, θεραπεύσων τὴν χρείαν τῷ θαύματι. ὑπακού-
σωσιν οἱ λίθοι προστάττοντι, κἀγὼ πιστεύσω τῇ κλήσει.
αἰδεσθῶσιν ἐκεῖνοι ἐπίταγμα, καὶ συντρέχω τῷ θαύματι.
δέξωνται τὴν φωνήν, καὶ συντίθεμαι τῇ τιμῇ. ἀλλὰ χα-
ρικοῖς ἐτοξεύετο ῥήμασιν. οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄν-
θρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόμα-
τος Θεοῦ. ἀλλ' αἰσχυνθεὶς τῇ προτέρᾳ πάλῃ, καὶ δευτέραν
πεῖραν προσήγαγε. ῥίψον φησὶν σαυτὸν ἄνωθεν κάτω· γέ-
γραπται γάρ, ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ
σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἀλλ' ἤκου-
σε πάλιν, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. καὶ οὐκ
ἐνάρκησε δευτέρᾳ πτώσει, ἀλλ' ἐπάγει καὶ τρίτην μηχανὴν
προσδοκίᾳ νίκης πρὸς πτῶσιν δελεαζόμενος. ταῦτα γάρ σοι
πάντα δώσω φησὶν, ἐὰν πεσὼν προσκυνήσῃς μοι. ὁρᾷς μη-
χανημάτων γοργότητα; ὁρᾷς ἀπάτης περιουσίαν; ἀλλὰ τρεῖς
μοὶ μόνας ἴσως ἰδέας πειρασμῶν εἶναι νενόμικας τῷ τοῦ
ἀριθμοῦ παρεπόμενος σχήματι, ἅπαν δὲ πειρασμῶν εἶδος
ἄρα ἐν τοῖς τρισὶ περιέχεται. οὐ γὰρ ἂν ἐπαύσατο πειρά-
ζων, εἰ μὴ πᾶσαν αὐτοῦ τὴν φαρέτραν τῶν βελῶν ἐκκενώ-
σε. πάσας γὰρ τὰς ἐξ ἡδονῆς μηχανὰς διὰ τῆς περὶ τὴν
βρῶσιν ἐπιθυμίας προσήνεγκε. μιᾷ προσβολῇ τὴν τῶν ὀρέ-
ξεων ἀνακινήσεις συγγένειαν. εἰπὼν δὲ, ῥίψον σεαυτὸν, τὰς
ἐκ μεγαλαυχίας μεθόδους ἐκίνησε. τὸ δὲ, ταῦτα πάντα σοι
δώσω, τὴν χαλεπωτάτην τῶν ἁμαρτημάτων ῥίζαν τὴν φι-
λαργυρίαν εἰσήγαγεν. ἅπαν γὰρ εἶδος ἁμαρτημάτων ἐκ μιᾶς
ταύτης φύεται ῥίζης. καὶ παρὰ ἀνθρώποις ἁμαρτία χώραν
οὐκ ἔχει μὴ διὰ τούτων ὁδεύουσα. ἢ γὰρ δι' ἡδονῆς τιτρώ-
σκει, ἢ διὰ δόξης τοξεύει, ἢ χρημάτων ἔρωτι πρὸς πλημ-
μέλειαν ἕλκει. γυμνωθεὶς οὖν τῶν βελῶν, τότε τοῦ τοξεύειν
ἐπαύσατο. καὶ γυμνὸν ἡμῖν αὐτὸν ὁ Χριστὸς τῶν μηχανημά-
των κατέστησε, ἀπράκτους αὐτοῦ τὰς ἀκίδας ἐργασάμενος. ὁ

γνωρίμως τοὺς δούλους κατέστησεν, εὐχείρωτον αὐτὸν τοῖς ἀνθρώποις ποιούμενος. τοῖς δεσποτικοῖς τοίνυν ἀγῶσι τὴν νίκην κερδαίνωμεν. Χριστοῦ πολεμοῦντος, οἰκεῖα στήσωμεν τρόπαια. μὴ ῥυπώσωμεν τὸν χιτῶνα τῆς πίστεως, ὃν ἡ χάρις ἐξύφανε· μὴ δωρεὰν ἀτιμάσῃς, ἣν παρὰ Θεοῦ ἔλαβες. ἐννόει τὸν δεδωκότα, καὶ τὸ δοθὲν διαφύλαξον· εἴ τινος μαργαρίτου φύλαξ, ἢ ἁλουργίδος καταστῆς βασιλικῆς, ἆρα οὐκ ἂν μέχρι θανάτου τῆς φυλακῆς ἐπιδείξω τὴν ἐπιμέλειαν; ἀλλὰ νῦν οὐ μαργαρίτου μόνον, οὐδὲ πορφύρας, οὐδὲ κτήματος ἁπλῶς βασιλέως, αὐτὸ δὲ τοῦ δεσπότου κατεπιστεύθης τὸ σῶμα. μᾶλλον δὲ τί λέγω κατεπιστεύθης; αὐτὸς γέγονας σῶμα δεσποτικόν. μέλος ἐγένου Χριστοῦ. ἐνεδύσω Χριστὸν κατὰ τὴν τοῦ Παύλου φωνήν. ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· μὴ γένου τοῦ Χριστοῦ προδότης μελῶν. ὑπῆρξας τοῦ Πνεύματος κατοικητήριον, καὶ μέλος τοῦ ἐν οὐρανοῖς βασιλεύοντος. ἀρεταῖς οὖν τὸ δῶρον φυλάξωμεν. σωφροσύνης ἐπιμεληταὶ καταστῶμεν. φιλανθρωπίαν μετέλθωμεν. ἐλεημοσύνην προχειρισώμεθα. ἀπιστίας ἰὸν ἀποτιναξώμεθα. δόλον ἀποστραφῶμεν τὸν τοῦ διαβόλου φίλον. μισήσωμεν τὸ ψεῦδος τοῦ πολεμίου τὸ ὄργανον. μιμησώμεθα τὸν μακάριον Παῦλον, ὃς βαπτισθεὶς ἐκήρυττεν, ὃν πρὸ τοῦ βαπτίσματος ἤλαυνε. μιμησώμεθα τὸν τῆς Αἰθιοπίας Εὐνοῦχον, ὃς ἐν ὁδῷ τυχὼν τοῦ βαπτίσματος, ὁδὸς αὐτὸς τοῖς πιστεύουσι τῶν Αἰθιόπων ἐγένετο. πολυπλασιάσωμεν τὸ τῆς χάριτος τάλαντον, ἵνα τῆς πολυεύκτου φωνῆς ἀκούσωμεν τοῦ Δεσπότου λέγοντος· εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω. εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ

## Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Λόγος α'.

ΟΥ'κ οἶδα ποίᾳ χρήσομαι γλώττῃ πρὸς τὴν τῆς παρούσης ἑορτῆς εὐφημίαν. ποίῳ δὲ στόματι τῷ ἁρμόττοντι τῷ οὐρανίῳ φθέγξομαι θαύματι· οὐράνιον γὰρ τὸ σήμερον, ὡς ἴστε, μυστήριον, ὡς ἄνωθεν τὴν ἀρχὴν ἐσχηκός· ὅθεν γὰρ κατέβη, ἐκεῖ πάλιν ἀνέβη Χριστός. ὁ γὰρ καταβὰς αὐτός ἐστι φησὶ καὶ ὁ ἀναβάς. κατέβη δὲ εἶπον, καὶ ἀνέβη, οὐ περιγράφων τὸν ἀκατάληπτον τόπῳ, οὐδὲ ἐν μέρει τὸν πανταχοῦ κανονίζοντα, ἀλλὰ τῷ τῆς οἰκονομίας λόγῳ τὸν ἀκατάληπτον ἐφθάσθαι πιστεύω. οὔτε γὰρ κατελθὼν ἔλιπε τὸν οὐρανὸν, οὐδὲ ἀναβὰς καὶ τῆς γῆς χωρισθεὶς, ἀφῆκεν ἡμᾶς. τὸν οὐρανὸν γὰρ καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος· ὥστε τιμῆς ἐπάξιον καὶ δέον τὸ θαῦμα. τὸ γὰρ παρὰ φύσιν, φόβον τῇ φύσει γεννᾷ. ὥσπερ γὰρ ἄνθρωπος Ἄγγελον ἰδὼν ἐπὶ γῆς, κάμπτει τὸν αὐχένα, ὀρθοῖ τὰς τρίχας, καὶ τί τὸ τῆς ὀπτασίας αἴτιον καθ' ἑαυτὸν συζητεῖ, οὕτω δὴ καὶ τὰ τῶν ἀσωμάτων τότε τάγματα, σῶμα βαῖνον ἐπὶ νεφέλης ὁρῶντες, σὺν φόβῳ τί τὸ ξένον ἐζήτουν τοῦ θαύματος· καὶ τῆς ἐρεύνης τεκμήριον τὸ Δαβιτικὸν ἡμῖν λόγιον, ὅπερ ὡς πυθομένων τῶν ἄνω Δυνάμεων παρὰ τοῦ προφήτου βεβόητο. τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; τὸν γὰρ ἐν τῇ φαινομένῃ σαρκὶ σαρκωθέντα τέως οὐκ ᾔδεισαν, ἕως ἂν πάλιν ἀντήκουσαν, τὸ, κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης. ἐν γὰρ τῷ ὄρει τῶν ἐλαιῶν Χριστὸς ἀναβὰς, καὶ τῆς τῶν οὐρανῶν λαβόμενος κορυφῆς, τῶν μαθητῶν ἐκεῖσε τὸ στίφος ῥυθμίσας, αἴρεται ὁρώντων αὐ-

αὐτοῦ μεταρσίῳ φορᾷ, πρὸς οὐρανὸν ἀνορμῶν ἐκ γῆς, ὁ σαρκὶ μεριζόμενος, θεότητι δὲ τῷ παντὶ συμπληρούμενος, μᾶλλον δὲ μὴ χωρούμενος. τοιοῦτος γὰρ ὁ δεσπότης ἡμῶν Χριστὸς, καὶ σωτὴρ Ἰησοῦς· καὶ ἐν γαστρὶ κυοφορούμενος, καὶ τῷ πατρὶ συγκαθεζόμενος· καὶ ἐκ γυναικὸς τικτόμενος, καὶ τικτόμενα διαπλάττων ἐν μήτρᾳ παιδία· καὶ σπαργανούμενος μετὰ τόκον ἐν ῥάκεσι, καὶ τὸν οὐρανὸν περιβάλλων νεφέλαις· καὶ ἐν φάτνῃ ἀνακλινόμενος, καὶ ἐν ἀπεράντοις αἰῶσιν ἀναπαυόμενος· καὶ παρθενικῷ μαζῷ γαλουχούμενος, καὶ τροφὴν πάσῃ σαρκὶ παρεχόμενος· καὶ μητρικαῖς ἀγκάλαις περιφερόμενος, καὶ τοῖς Χερουβὶμ ἐποχούμενος· καὶ αὔξων, καὶ πάσῃ μέτρα τιθεὶς ἡλικίᾳ. καὶ ἐπ' ἄκρων κυμάτων περιπατῶν, καὶ καθ' ὁδὸν κοπιῶν· καὶ ἐν Ἰουδαίᾳ παρὰ Ἰουδαίων κρατούμενος, καὶ τῷ παντὶ μὴ χωρούμενος· καὶ σταυρῷ τὰς χεῖρας ἡλούμενος, καὶ τὴν γῆν ἐν τῇ δρακὶ θέμενος· καὶ θνήσκων, καὶ θανάτῳ κτείνων τὸν θάνατον· καὶ νεκρούμενος, καὶ τοὺς νεκροὺς ἀνιστῶν· καὶ τῆς γῆς μὴ χωριζόμενος, καὶ εἰς οὐρανὸν ἀναλαμβανόμενος. νεφέλη γάρ φησιν ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. οὐκ εἶπεν ἔλαβεν, ἀλλ' ὑπέλαβεν. δηλοῖ γὰρ, ὡς οὐ περιέσχε τὸν ἀχώρητον, ἀλλὰ τοῖς τοῦ ἀκαταλήπτου τὸ νέφος ὑπεστρώθη ποσίν. ὃ δὴ μάλιστα θαῦμα ἄνω τὰς τῶν Ἀποστόλων πρὸς αἰθέρα ἐδέσμει στροφάς. ἀτενίζοντες γάρ φησιν ἦσαν εἰς τὸν οὐρανὸν, πορευομένου αὐτοῦ. ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν, οὐχ ἁπλῶς ὁρῶντες, ἀλλ' ἀτενίζοντες. σύντονον ὄμμα πρὸς τὸ πανηφόρον ἐστήριζον ὄμμα. οὐ τοσοῦτον δὲ οἶμαι τὸ βλέμμα, ὅσον ἐροδίνῃ κατέτεινον τὸ φρόνημα. τί ποτε ἄρα ἐννοοῦντες τὸ ξένον τοῦτο θεώρημα; αἰθεροβάτης ἡμῶν μετὰ σώματος ὁ διδάσκαλος. λαμπρὰν ὑπὸ πόδας τανύσας ἔχει νεφέλην, καὶ φέρει τὴν φέρουσαν, γῆθεν φερόμενος. ἣν πατεῖ πρὸς ὕψος ἀνέλκει ποδί. τὸν ἐπὶ τῆς θαλάττης περιπατοῦντα πάλιν

ἡμι

ἐμιμήσατο. ὡς τότε ἐπὶ ὑδάτων, βαίνει καὶ νῦν νέφει ὑδροπόκῳ. ἆρα χωρὶς σώματος πρὸς τὰς ἀσωμάτους δυνάμεις φοιτᾷ; ἢ μετὰ σαρκὸς, ὡς καὶ ταύτης ἐκτὸς κρατεῖ τοῦ παντός; ταύτας αὐτῶν τὰς ἐννοίας ὡς Θεὸς ὁ ἀναληφθεὶς ἐγνωκὼς, Ἀγγέλων πέμπει δυάδα τῶν ζητουμένων διδάσκαλον. οἳ καὶ παρεστῶτες αὐτοῖς αὐτίκα φθέγγονται λέγοντες· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. οὕτως ἐλεύσεται, ὡς ἀνερχόμενον ἴδετε. οὐκ ἀποτέθειται φησιν, ὡς ὑμεῖς ἐν ᾧ ὑπάρχετε σώματι. οὐ γὰρ εἰς χρῆσιν ἔλαβεν, ἀλλ' εἰς ἀπέραντον κτῆσιν τὴν σάρκα. οὐ πρὸς καιρὸν σεσωμάτωται, ἀλλ' εἰς ἀεὶ λοιπὸν ὡς οἶδε σεσάρκωται· οὐκ ἄλλως ἀνείληπται, ἑτέρως δὲ παρέσται. οὕτως ἐλεύσεται, οὕτω. πῶς; ὡς ἐκ Μαρίας γεγέννηται. ὡς μεθ' ὑμῶν συναναστρέφεται. ὡς τῷ σταυρῷ παραδέδοται. ὡς ἐκ νεκρῶν ἐγήγερται. ὡς τοὺς τύπους τῶν ἥλων ὑπέδειξεν. ὡς τὴν πλευρὰν παρὰ τοῦ Θωμᾶ ἐψηλαφᾶτο. μένει γὰρ ἡ πληγὴ πρὸς ἔλεγχον οἶμαι τῆς παρὰ τῶν Ἰουδαίων σφαγῆς. καὶ τούτου μάρτυς Ζαχαρίας ὁ προφήτης· ὄψονται λέγων, εἰς ὃν ἐξεκέντησαν. οὐκ εἶπεν ὃν ἐξεκέντησαν, ἀλλ' εἰς ὃν ἐξεκέντησαν. εἰς τὸν τόπον ἐμβλέψουσιν, ὅπου τὴν λόγχην ἀνέπηξαν. τὸ τῆς ἀχράντου θαῦμα φύσει γνωρίσουσι λαγόνος. τῆς οἰκείας εἰς τὸ θεῖον ληστείας τὴν διώρυγα ὄψονται. ὢ τῆς ὑπὲρ λόγον τοῦ Χριστοῦ πραγματείας. νεκροὺς ἀνέστησε, καὶ τῶν ἰδίων χειρῶν τοὺς ἀνασκολοπισμοὺς οὐκ ἀπήλωσε. τὸν θάνατον τῷ θανάτῳ ἐπάτησε, καὶ τὴν τοῦ σιδήρου πληγὴν οὐκ ἰάσατο. διατί; ἵνα ἐμμάρτυρον τοῖς ἀδίκοις ἐκτίσοιτο τὸ τοῦ τολμήματος ὄφλημα. ἔρχεται γὰρ κράτος μὲν ἔχων κριτοῦ, φέρων δὲ συγκατάβασιν ἀδελφοῦ. οὐκ ἐκ βίας, κρίνων δὲ ἕκαστον ἐκ τῆς τῶν οἰκείων ἔργων αὐτοῦ μαρτυρίας,

τυρίας, καὶ τὸ παρὰ τοῦ Δαβὶδ εἰρημένον· ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. ἐντρέψει γὰρ Ἰουδαίους εἰ καὶ μὴ χείλεσι, τότε τοῖς μώλωψι, καὶ τῇ τῆς πλευρᾶς θεία πρὸς αὐτοὺς ἀφήσει φωνάς. ἐγὼ πρὸς ὑμᾶς ἐλήλυθα δι' ὑμᾶς· ὑμεῖς δὲ κακὰς ἀντὶ ἀγαθῶν ἀπεδώκατέ μοι τὰς ἀμοιβάς. ἴδετε κατὰ τίνος τὸ ξίφος ὠξύνατε; καθ' οἵας πανδεσπότου πλευρᾶς ἐπαφήκατε τὰς πληγάς; ἀμνοῦ με δίκην ἐθύσατε, καὶ τῶν ἐμῶν σαρκῶν ἄγευστοι μεμενήκατε. ὑμᾶς καθ' ὑμῶν τῶν παρ' ὑμῶν εἰς ἐμὲ γεγενημένων λαμβάνω κριτάς. δικάσατε, εἰ δέον ὑμᾶς παρ' οὗ τεθύκατε συγγνώμην ἔχειν, εἰ εὔλογον δι' ὃν κριτὴν πεφονεύκατε ζητῆσαι τὸν ἔλεον. εἰ γὰρ πᾶς κριτὴς καὶ τὸν κατ' ἄλλου θάνατον ἐκζητεῖ, πόσῳ μᾶλλον αὐτὸς καὶ τὴν κατ' αὐτοῦ γενομένην λῃστείαν; εἰ γὰρ καὶ ἄφες εἶπε, πάτερ αὐτοῖς, τοῖς οὐκ εἰδόσιν εἶπεν ὃ ἔδρασαν. μετὰ δὲ γνῶσιν, ἅπας τρόπος αὐτοῖς ἀπολογίας γυμνός. ταῦτα ἐρεῖ τότε πρὸς Ἰουδαίους Χριστὸς, πρὸς ἡμᾶς ἐλευσόμενος. πῶς ἐλευσόμενος; ὡς ὁραθῆναι τεθέληκεν ἀναλαμβανόμενος. ὡς ὁραθήσεται πάλιν ἐρχόμενος. ἐν ταύτῃ γὰρ τῇ σαρκὶ δικάσει πάσῃ σαρκί. ἐν ταύτῃ τὸ πάνδημον συγκροτήσει κριτήριον. ἐν ταύτῃ γυμνὸν καὶ τετραχηλισμένον ἀπαιτήσει λογοθέσιον. ἡμεῖς δὲ τὸν ἐξ ἡμῶν κριτὴν ἡμῶν εὐφήμως ἀνευφημήσωμεν. τὸν ὑπὲρ ἡμᾶς καθ' ἡμᾶς δι' ἡμᾶς γεγονότα δοξάσωμεν. συγγενῆ τὸν αὐτὸν δεσπότην καὶ κριτὴν θαῤῥήσωμεν ἔχοντες. ἀποστολικῶς τὸν τοῦ λόγου τέως δεσμὸν ἐκκομβώσαντες, εἴπωμεν ὁμολογουμένως. μέγα τὸ τῆς εὐσεβείας μυστήριον. Θεὸς ἐφανερώθη ἐν σαρκί· ἐδικαιώθη ἐν πνεύματι· ἐπιστεύθη ἐν κόσμῳ· ἀνελήφθη ἐν δόξῃ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ

## Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Λόγος β΄.

Ἡ Μὲν τῆς ἀναστάσεως μνήμη, τὰ κατὰ τοῦ θανάτου τοῖς ἀνθρώποις χαρίζεται νικητήρια· ἡ δὲ παροῦσα πανήγυρις πρὸς οὐρανὸν ἀνάγει τὸν ἄνθρωπον, καὶ τὰς ἐν γῇ διαβάσεις ἀλλάξασα, τὸν οὐρανὸν βατὸν τοῖς ἀνθρώποις ἐργάζεται. οὐ γὰρ ἐχρῆν τὸν θάνατον κεκρατηκότα, πάλιν τὸ ἀνθρώπινον γένος, ἀφιέναι τοῖς τοῦ θανάτου χωρίοις αὐλίζεσθαι. νῦν μοι μέγα φρονεῖν ἀληθῶς κατὰ τῆς διαβολικῆς τυραννίδος ἐπέρχεται, ὅταν ἴδω σήμερον τοῦ ἐμοῦ γένους τὴν ἀπαρχὴν ἐν οὐρανοῖς βασιλεύουσαν. νῦν πέπτωκε τοῦ πολεμίου τὸ κράτος, ἀπέλιπε τοῦ διαβόλου τὰ μηχανήματα. οὐκ ἔτι ταύτῃ Παράδεισος ὦ διάβολε, οὐδὲ φυτοῦ τέρψις πρὸς ἀπάτην θηρεύουσα, ἵνα πάλιν λύσας μου τοῦ νόμου τὸν φόβον, κυρώσῃς τὸν θάνατον. οὐκέτι, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ἀκούω. ἀλλ' εἰ καὶ γῆ εἶ, πρὸς οὐρανοὺς ἀπελεύσῃ διὰ τὴν τοῦ ἀνάγοντος ἀγαθότητα. καταλιμπάνω τὸ τῶν ἁμαρτημάτων χωρίον, παραχωρῶ σοι τὴν γῆν, ἐφ' ἧς ἐτέχθην, ἀφ' ἧς ἐξάφην. εἰς οὐρανὸν μετοικίζομαι τῆς σῆς ἀπάτης ἐλεύθερος. πάλαι μέν σοι φυτὸν πρὸς τὴν τοῦ Ἀδὰμ αἵρεσιν ἤρκεσεν, ὅτε πλήξας τῷ τοῦ ξύλου καρπῷ τὸν πρωτόπλαστον, ἔξω γενέσθαι τῆς τοῦ Παραδείσου τρυφῆς κατηνάγκασας. νῦν δὲ κἂν πᾶσαν κενώσῃς τὴν φαρέτραν, κατὰ σεαυτοῦ φέρεις τῶν τοξευμάτων τὰ βλήματα. ποῦ σοι λοιπὸν διάβολε, παλαιᾶς ἀπάτης τὰ μηχανήματα; ποῦ σοι ὁ σοφιστεύων ὄφις, ἵνα τὴν Εὔαν χωρίσῃ τοῦ Παραδείσου, τό, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς Θεοί, προσφθεγγόμενος; γέγονάς μοι τῶν ἀγαθῶν προφήτης ἀκούσιος. αἷς γὰρ πρὸς ἀπάτην ὑποσχέσεσιν ἐχρήσω, ταύ-

ταύτης διὰ πραγμάτων ἐκέρδανα. γέγονέ μοι τῆς ἐπαγγελίας ἡ φαντασία, διὰ τῆς πείρας ἀλήθεια. ὢ θαυμάτων ἀπίστων καὶ ξένων τῆς φύσεως. οἷς ὁ Παράδεισος ἀπεκλείσθη, τούτοις ὁ Οὐρανὸς ἀνεῴχθη. ὁ πρὸ βραχέος ἐπὶ Πιλάτου κρινόμενος, σήμερον ἐν οὐρανῷ κριτὴς ἐνθρονίζεται. ὁ παρὰ Ἰουδαίων γελώμενος, κάθηται τίμιος. ὁ ταῖς Ἰουδαϊκαῖς ἀκάνθαις τὴν κεφαλὴν στεφανούμενος, θεϊκῆς ἀξίας διαδήμασι σφίγγεται. ὢ ποσάκις ἡ τοῦ Δαβὶδ κιθάρα τὰ παρόντα ἐθέσπιζεν· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. νῦν ἀληθῶς γέγονε τὰ χρήσματα πράγματα, καὶ ἃ πρότερον ἰδεῖν ἐν μέλεσιν ἐπεθύμησε, σήμερον εἶδεν ἐν πράγμασι. καὶ γέγονε μελῶν ὁ πύργος οὐρανός, τὸν παρ' ἐκείνῳ μνημονευόμενον τοῖς νώτοις ὑποδεχόμενος. Καίτοι καὶ παρ' αὐτὸν τὸν τόκον οὐρανὸς ἔτι τικτομένῳ δι' ἀστέρος ὑπέκυπτεν, ὥσπερ ἐπειγόμενος καὶ πρὸ καιροῦ δέξασθαι τὸν ἐν σπηλαίῳ κρυπτόμενον, ἀλλ' ἔδει τοὺς τῆς οἰκονομίας καιροὺς καὶ ὅρους φυλάττεσθαι. ἐμοὶ μὲν θαυμάζειν ἐπέρχεται, πῶς τὴν τοῦ ξύλου αἰσχύνην εἰς εὐδοξίαν μετέβαλε; πῶς τὴν Θεοῦ πρὸς ἡμᾶς ἀγανάκτησιν εἰς μεγίστην εὐμένειαν ἤνεγκεν; ἔπλασεν ἡμᾶς χερσὶν οἰκείαις ὁ Θεός, τροφῆς αὐτοσχεδίου κτήτορας ἔδειξε, τρυφῆς ἐξουσίαν, γῆς ὑπουργίαν ἔδωκεν, ἀέρος δουλείαν, θαλάττης εὐπορίαν παρέσχετο, ἡλίου βολάς, σελήνης αὐγάς, ἀστέρων φοράς, ζώων πάντων ὑποταγάς. παρῆλθέ τις ἐν μέσῳ πολέμιος διαβάλλων εἰς φθόνον Θεόν, ἔπεισεν ἀπατῶν, γίνεται τῆς ἐκείνου μερίδος ὁ ἀπατώμενος, ἀντιθείας ἐνόσησε πάθος, συνέθετο λάθρα κατὰ τοῦ Θεοῦ, ἐκτείνει τὴν χεῖρα κατὰ τῶν τοῦ Θεοῦ προσταγμάτων. ἐπιφαίνεται Θεός, ἐλέγχει τὰς παρανόμους ἐλπίδας. φεύγει τὴν θέαν ἡ τοῦ γένους ἀρχή, καὶ παραιτεῖται τὸν ἔλεγχον. ὑπὸ δένδρον κρύπτεται, φοβουμένη τὸν κτύπον ἡ παρανόμως φαντασθεῖσα θεότητα. Τῆς δὲ ἀξίας γυμνώσας Θεός, τοῦ Παραδεί-

σε

σὺ ἀπαθεῖται τὸν ἄνθρωπον, μονονουχὶ τοιαῦτα πρὸς αὐτὸν ἀποφθεγγόμενος· οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐτεκτηνάμην ἐγώ. οὔτε γὰρ ταῦτα ἐν ταῖς χερσί μου ταύταις διέπλασα, τὸν πηλὸν εἰς φύσιν μεταμορφώσας. σὺ δὲ ἣν ἔλαβες παρ' ἐμοῦ χεῖρα καὶ τῆς ἐμῆς ἐξέτεινας ἐντολῆς. Καὶ γέγονας διαβόλου συμμύστης, καὶ τοῦ ποιητοῦ συμφρυαξάμενος. τοιγαροῦν ἔξιθι τῆς ἀξίας, ἐντίμου χώραν μεθίστασο. γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἀπόστρεφε πρὸς αὐτήν, τὰ παρ' αὐτὸν φαντασθείς· ἀνακαμπτέτω πάλιν ἡ φύσις, μάθε μητέρα τὴν γῆν, θανάτῳ πρὸς αὐτὴν παραπεμπόμενος. ταῦτα τῆς διαβολικῆς ἀπάτης τὰ ἔπαθλα. ταῦτα τῆς τοῦ θλίψεως ἀρχῆς τὰ γνωρίσματα. τοῦτο τὸ ἐλεεινὸν δρᾶμα συνεισῆλθε τῇ φύσει. ἀλλ' οὐκ ἄχρι παντὸς ἠνέγκεν ὁ δημιουργός, ὁρῶν τὸ δημιούργημα συντριβόμενον. ᾤκτειρε δὲ αἰδουμένην καὶ πενθοῦσαν τὴν φύσιν, καὶ ἠλέησε τὴν ἐν τῇ κτίσει πλανωμένην εἰκόνα. τί οὖν ποιεῖ; πλάττει πάλιν ἕτερον Ἀδάμ, ἐκ τῆς φύσεως ἐγείρων προστάτην τῇ φύσει, καὶ χοῦν ἐκ Παρθένου δανεισάμενος, μορφοῖ πρὸς ἀληθεστέραν εἰκόνα, ἐν ἑαυτῷ τὸ πλαττόμενον ἔμβρυον πλάττει, καὶ μένει στολὴν ὑφαίνων ἐν μήτρᾳ, ὡς ἐν θαλάμῳ βασιλικῷ ἐνδύεται τὴν εἰκόνα, ἵνα τῆς εἰκόνος περιέλῃ τὴν γύμνωσιν· ἔδειξε γὰρ ἀπάτης ἰσχυρότερον καὶ ἁμαρτίας ἀνώτερον· ἀθάνατον καὶ μετὰ θάνατον, καὶ λυτῆρα τάφων ἐν τάφῳ γενόμενον, καὶ ἀθανασίᾳ στεφανώσας σήμερον εἰς Οὐρανὸν ἀνεκόμισε. κοινὸν ἐγκαλλώπισμα τῇ κτίσει τὴν τῆς φύσεως ἀπαρχὴν δωρησάμενος. ἆρ' οὖν εἴποι τις ἄν, ὡς τότε θυμῷ μὲν κρατούμενος ὁ δημιουργός, παρὰ πόδας οὔσης τῆς παραβάσεως, τὴν εἰκόνα ἐβδελύττετο, καὶ μισήσας τὴν γνώμην, τὴν φύσιν κατεδικάζετο. νυνὶ δὲ χρόνῳ μεταμαθὼν τὴν ἀγανάκτησιν, μαλαχθέντος τοῦ θυμοῦ, τὸν ἠδικηκότα φιλανθρωπεύεται; οὐ μὲν οὖν. οὔτε γὰρ ἐκεῖνα θυμός, οὔτε ταῦτα μεταμέλεια πάθους χαρίζεται. ἀλλ' ἄνωθεν ὁρῶν, τάξιν βραβεύει τοῖς πράγμασιν. ὁρῶν γὰρ τῇ τοῦ θανάτου καταδίκῃ

τὴν

τὴν φύσιν ὀκλάζουσαν, καὶ τῶν ἀνθρωπίνων ὠδίνων ἕτοιμον τὸν τάφον διάδοχον, καὶ πλοῦτον τοῦ ᾅδου γινομένην τῶν ἀνθρώπων τὴν θήραν, καὶ καθημέρας θανάτου γινόμενον περιανάλωμα, λύων τὴν τῆς ἀπειλῆς ἀκμὴν ὁ Θεὸς, ἐλπίδα εὐθὺς ἀθανασίας ἀνατέλλει τῷ γένει, καὶ τὸν Ἐνὼχ ἐκ μέσων ἁρπάσας, θάνατον ἀνθρώπων ἡττώμενον ἔδειξε, καὶ θνητὴν φύσιν ἐδίδασκεν ὅρους ἀθανασίας ἐκδέχεσθαι, καὶ πῶς θανάτου δρόμους ἐμάνθανεν ἐμποδίζεσθαι, καὶ ἡ τοῦ δικαίου μετάστασις θανάτου στάσις ἐγίνετο. τοῦτο γινόμενον ἐν μέσῳ πένθει παλινῳδίαν τὴν φύσιν ἐδίδασκε, καὶ χρησταῖς ἐλπίσιν ἀνίεσθαι. ἵνα δὲ μὴ χρόνος πάλιν ἐν μέσῳ ῥέων πολὺς καταπλύσῃ τὴν μνήμην τοῦ θαύματος, καὶ τὰ τῆς ἐλπίδος ἴχνη ἀπαλείψας τὴν ἀθυμίαν αὐξήσῃ, καὶ πάλιν ὁ θάνατος κατὰ τῶν ἀνθρώπων φοβερώτερος φαίνηται, ἀναλαμβάνει τὸ θαῦμα, καὶ διπλασιάζει τὸ δῶρον, καὶ παρῆν Ἠλίας νικητὴς κατὰ τοῦ θανάτου καλούμενος· ὃς φωνῇ τὰς νεφέλας ὑποδραμὼν, Οὐρανῷ περὶ ἀβροχίας ἠπείλησε, καὶ ῥήματι δήσας τὴν κτίσιν, ἡνίοχος τῶν στοιχείων ἐγένετο, γλώττῃ μακρᾷ τῆς κτίσεως συστείλας τοὺς οἴακας, ὅτε τὸ μέγα θαῦμα δείκνυται, ἄνθρωπον Οὐρανὸς αἰχμαλώμενος. ἵνα γὰρ μὴ τὸ τοῦ ἀνδρὸς εὐτελὲς ὑποκλέψῃ τῆς κατὰ τοῦ θανάτου νίκης τὴν αἴσθησιν, γνώριμον αὐτὸν πρῶτον τῇ κτίσει πάσῃ προτίθησι, καὶ τότε πυρὸς ὀχήματι ἐπιβὰς, παραδόξῳ πτήσει καὶ δρόμῳ κάτω καταλιμπάνει τὸν θάνατον, καὶ ἀλλάσσει τὸν νόμον τῆς φύσεως ἡ ἀξία τῆς χάριτος· ἀνελήφθη γὰρ Ἠλίας ὡς εἰς τὸν Οὐρανὸν, καὶ κέκραγεν ἡ γραφὴ τὸ θαῦμα, τοῖς ὅλοις κηδῶσι τῇ φωνῇ περιπέμπουσα. σὺ δέ μοι λοιπὸν ἀγαπητὲ, τῆς λέξεως τὴν ἀκρίβειαν σκόπησον. καὶ μή σε διαλάθῃ συλλαβῆς γραφικῆς περιουσία καὶ δύναμις· μὴ δὲ τῆς λέξεως παραδρομῇ, τῷ Δεσπότῃ τὸν οἰκέτην νομίσῃς ἰσότιμον. οὐ γὰρ εἰς Οὐρανὸν Ἠλίας ἀνέρχεται, οὐδὲ διαδραμὼν τὸ στερέωμα, τοῖς ἐκεῖσε χωρίοις αὐλίζεται. ἀλλ᾽ ἄκουσον τί φησιν ὁ ἀνάγων. ἐν δὲ τῷ

ἀνα-

ἀνάγειν Κύριον τὸν Ἠλίαν ὡς εἰς τὸν Οὐρανὸν, καὶ πάλιν μικρὰ λέξις, ἔστησε τὸν Ἠλίαν πρὸς τὰ ἄνω φερόμενον· ἀρκεῖ γὰρ τῷ Προφήτῃ τιμηθῆναι τῷ τύπῳ. πρὸ γὰρ τοῦ Δεσπότου τὸν οἰκέτην Οὐρανὸς οὐχ ὑποδέχεται· οὐδεὶς γὰρ ἀναβέβηκεν εἰς τὸν Οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ Οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ Οὐρανῷ. ἐτηρεῖτο γὰρ τῇ τῶν ἀνθρώπων ἀπαρχῇ διὰ τὸν τῶν ἀνθρώπων ποιητὴν, ὁ Οὐρανός. οὕτω μὲν οὖν τοῖς περὶ τὸν Ἐνὼχ καὶ Ἠλίαν ὁ Θεὸς ἀγαθῇ ἐλπίδι εὔφρανε τοὺς ἀνθρώπους, δι' ὧν ἀνθρώποις οὖσι τὸν τοῦ ἀέρος δρόμον ἱππήλατον ἥπλωσαν. Οὐ μὴν ἄχρι γε τούτων ἔστησε τῶν ὑπὲρ τὴν φύσιν τὴν πίστιν, ἀλλὰ καὶ διὰ τῆς καθημέραν θεωρίας ἐθάδας γενέσθαι παρασκευάζει τοῦ θαύματος. τί γὰρ ποιεῖ; προστάττει τὸν συγγραφέα Μωσέα εἰκονογράφον τῆς κτίσεως γενέσθαι, καὶ διὰ σκηνῆς μιμήσασθαι τὸν Ποιητὴν ἐγκελεύεται. γῆς μὲν μίμημα καὶ τῶν ἐν τῇ γῇ, τὸ τῆς σκηνῆς πρόσωπον θεωρούμενον· τὰ δὲ τῆς σκηνῆς ἐνδοτέρω διατειχίσας παραπετάσματι, καὶ ἀνθρώποις καταλείψας ἀθέατα, Οὐρανοῦ τινα τάξιν, τῷ μὴ φαινομένῳ μέρει χαρίζεται. ἀλλ' οὗτος Οὐρανοῦ καὶ γῆς διὰ τῶν σχημάτων νομοθετήσας τὴν μίμησιν, τὰ ἐν ἀδύτῳ ἄβατα πάλιν ἀνθρώποις εἶναι θελήσας, μόνῳ τῷ ἀρχιερατεύοντι τῶν ἀπορρήτων ἀνοίγει τὴν εἴσοδον, τῆς εἰς Οὐρανὸν ἀνόδου τὴν τότε Ἀρχιερέως εἴσοδον τυπικῶς ἐργαζόμενος. ἵνα ὁρῶντες οἱ τότε τὸν Οὐρανὸν ἐν τύπῳ διατεμνόμενον, καὶ τὸν Ἀρχιερέα μόνον τῶν ἀβάτων κατατολμῶντα, προεθισθῶσι τῇ θέᾳ, καὶ μὴ πολεμῶσι τοῖς θαύμασι. τούτων ὑπομιμνήσκων Ἰουδαίους ὁ Παῦλος ὁ τῆς οἰκουμένης παιδευτὴς, ἐβόα τῷ γράμματι· εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες. εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ Ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημά-

τῶν. Χριστὸς δὲ παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος ταύρων καὶ τράγων, διὰ δὲ τοῦ ἰδίου αἵματος, εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια. καὶ πάλιν μετὰ βραχέα· οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν Οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν. οὕτως οἶδε καὶ τύποις ἐντρέπειν τῆς ἀπιστίας ὁ Θεὸς, καὶ θαύμασι πιστοῦσθαι τὰ θαύματα. οὕτω Χριστὸς ἀνήρχετο εἰς Οὐρανόν· οὕτω τοὺς τύπους ἔργῳ ἡ ἀλήθεια ἐκύρωσεν. ἔδει μὲν οὖν συνάπτεσθαι τῇ ἀναστάσει τοῦ Σωτῆρος τὴν ἄνοδον, καὶ τὸν τοῦ ᾅδου νικητὴν, εὐθὺς τὸν Οὐρανὸν ὑποδέξασθαι. ἀλλ' ἵνα μὴ τὸ τάχος τῶν γινομένων κλέψῃ τὴν αἴσθησιν, παγῆναι τῷ χρόνῳ βούλεται· τοῖς Ἀποστόλοις διὰ τῆς θεωρίας τὰ θαύματα, καὶ τῇ συνεχείᾳ τῶν ὀμμάτων προσβολῇ, τῇ ψυχῇ παραπέμψαι τὴν πίστιν, συνεστιᾶται τοῖς Μαθηταῖς, ἀπολαύει τροφῆς ἀνενδεὴς ὤν, συγχωρεῖ ψηλαφᾶσθαι τὸ σῶμα, μάρτυρας τῆς ἀληθείας οὐκ ὀφθαλμοὺς μόνον, ἀλλὰ καὶ δακτύλους ἐφελκόμενος. λύσας οὖν τῆς φαντασίας τὴν ὑποψίαν τῷ χρόνῳ τῆς παρουσίας, καὶ τὰ πρὸς τὴν ἀποδημίαν εἰκότα τοῖς Ἀποστόλοις φθεγξάμενος, θεατὰς τῆς ἀνόδου τοὺς μαθητὰς ἀπεργάζεται. ἔδει γὰρ τῶν θαυμάτων τοὺς κήρυκας, ἀνενδοίαστον φέρειν τῶν κηρυττομένων τὴν γνῶσιν. Ἀνήγετο μὲν οὖν ὁ Σωτὴρ, ἔβλεπον δὲ κάτωθεν οἱ Μαθηταὶ, νέφος δὲ τοὺς πόδας ὑποδραμὸν, ὄχημα πρὸς τὸν δρόμον ἐγίνετο. ὢ παραδόξων θαυμάτων. ὁ ἀὴρ διοδεύεται, αἰθὴρ διαδέχεται, Ἄγγελοι συμπαρατρέχοντες ᾄσμασιν ἐπινικίοις ἐπανηγύριζον, ἐκπεπληγμένους τῇ θέᾳ τοὺς Μαθητὰς ἑορτάζειν ἔπειθον· τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν Οὐρανόν; τί ἑστήκατε; τῷ κόσμῳ τὸ θαῦμα κηρύξατε, τῇ ἀποδημίᾳ τὴν

πα-

παρουσίαν. οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν Οὐρανόν. τούτου ἀκούσας τῆς φωνῆς ὁ Παῦλος, τῆς φωνῆς ἀφίησι τὰς σάλπιγγας διὰ τῶν γραμμάτων κεκραγώς· ἡμῶν τὸ πολίτευμα ἐν Οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν. τούτοις προστίθησι τοὺς ἀνθρώπους, λέγων· ὅτι ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀέρα, εἰς ἀπάντησιν τοῦ Κυρίου. καὶ γὰρ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος. ἐκ τῆς δεσποτικῆς τοίνυν Ἀναλήψεως τοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου καὶ ἀληθινοῦ Θεοῦ Ἰησοῦ Χριστοῦ, τὰς ὁμοίας ἐλπίδας τρυφήσαντες, λέγωμεν πρὸς αὐτόν. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ὅτι σοὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΡΗΓΟΡΙΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ,

### Εἰς Πυλχερίαν Ἐπιτάφιος.

ΟΥ'κ οἶδα ὅπως τῷ λόγῳ χρήσωμαι· διπλῆν τε γὰρ ὁρῶ τὴν ὑπόθεσιν, καὶ σκυθρωπὴν καθ' ἑκάτερον, ὡς μὴ ῥᾴδιον ἔξω δακρύων τὸν λόγον ἐλθεῖν, ὅ,τι κἂν ἐξ ἀμφοτέρων ἑλόμενον. Ἡ παροῦσα τοῦ χρόνου περίοδος, καθὼς ἡμῖν χθὲς τοῦτο παρὰ τοῦ ποιμένος ἤγγελτο, σκυθρωπῶν πραγμάτων τῶν τῇ γείτονι πόλει ποτὲ διὰ τοῦ σεισμοῦ συμπεπτωκότων περιέχει τὴν μνήμην, ἃ τίς ἀδακρυτὶ διεξέλθοι; ἡ δὲ μεγάλη καὶ περιφανὴς αὕτη καὶ τῆς ὑφ' Ἡλίῳ πάσης προτεταγμένη Καλλίπολις ἄλλον σεισμὸν ὑπέστη, καὶ οὐ μικρὸν ἀπεσυλήθη κόσμον, τοῦ ἐν αὐτῇ λάμψαντος φωστῆρος εἰς προθήκην τῆς βασιλικῆς εὐκληρίας ἀθρόως ἀφαιρεθεῖσα, καὶ διὰ τοῦτο τῇ κατηφείᾳ τῶν Βασιλέων συσκυθρωπάζουσα. τὸ δὲ λεγόμενον, οὐκ ἀγνοεῖτε πάντως οἱ πληροῦντες τὸν σύλλογον, ὁρῶντες αὐτόν τε τὸν τόπον τοῦτον ἐν ᾧ συνειλέγμεθα, καὶ τὴν ἐν τῷ τόπῳ κατήφειαν. οὐκ οἶδα τοίνυν πρὸς ποῖον σεισμὸν ῥέψω τὸν λόγον, πρὸς τὸν νῦν, ἢ τὸν πάλαι γενόμενον; ἢ καλῶς ἔχει πρὸς τὸ ὑπερβάλλον τοῦ πάθους εἶναι, καὶ καταπραΰνειν τῆς πόλεως τὴν ἰδίαν ἀλγηδόνα λογισμοῖς τισι τὸ πάθος καταφαρμάσσοντα; Εἰ γὰρ καὶ μὴ πάντες οἱ τοῦ κακοῦ συμμετέχοντες τῷ συλλόγῳ πάρεισιν, ἀλλὰ διὰ τῶν παρόντων ἴσως καὶ εἰς τοὺς μὴ παρόντας ὁ λόγος δια-

δο-

βοηθήσεται. καὶ γὰρ καὶ τῶν ἰατρῶν ἐκεῖνοι σοφοὶ, οἱ πρὸς πλεονάζον τῶν ἀλγηδόνων διὰ τῆς τέχνης ἱστάμενοι, τῶν δὲ ἧττον ὀδυνηρῶν τὴν θεραπείαν ὑπερτιθέμενοι. ὥσπερ δέ φασιν οἱ περὶ ταῦτα δεινοὶ, εἰ δύο κατὰ ταὐτὸν ἐν τῷ σώματι πόνοι συμπέσοιεν, μόνου τοῦ ὑπερβάλλοντος τὴν αἴσθησιν γίνεσθαι, ἐν τῷ πλεονάζοντι τῆς ἐπικρατούσης ἀλγηδόνος ἐκκλεπτομένης τῆς ἥττονος· οὕτω καὶ ἐπὶ τοῦ παρόντος βλέπω. τὸ γὰρ νέον τε καὶ ἡμέτερον ἄλγημα, τῶν διὰ τῆς μνήμης ἀλγυνόντων ἡμᾶς ἐστιν ἐπικρατέστερον. πῶς γὰρ οὐκ αὖτις ἐπὶ τοῖς συμβεβηκόσι πάθοι; τίς οὕτως ἀπαθὴς τὴν ψυχήν; τίς οὕτω τὸν τρόπον σιδήρεος, ὡς ἀναλγητὶ τὸ συμβὰν δέξασθαι; ἔγνωτε πάντως τὴν νέαν ταύτην περιστερὰν τὴν ἐντρεφομένην τῇ βασιλικῇ καλιᾷ, τὴν ἄρτι μὲν πτερουμένην ἐν λαμπρῷ τῷ πτερῷ, ὑπερβᾶσαν δὲ τὴν ἡλικίαν ταῖς χάρισιν, ὅπως ἀφεῖσα τὴν καλιὰν οἴχεται, ὅπως ἔξω τῶν ὀφθαλμῶν ἡμῶν ἀπέπτη, ὅπως αὐτὴν ἀθρόως ὁ φθόνος τῶν χειρῶν ἡμῶν ἀφήρπασεν. εἴτε περιστερὰν χρὴ λέγειν ταύτην, εἴτε νεοθαλὲς ἄνθος, ὃ οὔπω μὲν ὅλον τῶν καλύκων ἐξέλαμψεν, ἀλλὰ τὸ μὲν ἔλαμπεν ἤδη, τὸ δὲ λάμψειν ἠλπίζετο. καὶ ὅμως ἐν τῷ μικρῷ τε καὶ ἀτελεῖ ὑπερέλαμπεν. ὅπως ἀθρόως ἐναπέσβη τῇ κάλυκι, καὶ πρὶν εἰς ἀκμὴν προελθεῖν, καὶ ὅλον εὐωδίᾳ πετάσαι τὸ ἄνθος, αὐτὸ περὶ ἑαυτὸ κατερρύη, καὶ κόνις ἐγένετο, ὃ οὔτε ἔδρεψέ τις, οὔτε ἐστεφανώσατο, ἀλλὰ μάτην ἡ φύσις ἐπόνησεν. οὐ τὸ μὲν ἀγαθὸν ἐν ἐλπίσιν ἦν, ὁ δὲ φθόνος ξίφος δίκην πλάγιος ἐμπεσὼν, τὴν ἐλπίδα διέκοψε. σεισμός τις ἦν ἄντικρυς, ἀδελφοὶ, τὸ γενόμενον· σεισμὸς, οὐδενὸς τῶν χαλεπῶν συμπτωμάτων φιλανθρωπότερος. οὐ γὰρ ἀψύχων οἰκοδομημάτων κάλλος διελυμήνατο, οὐδὲ εὐανθεῖς γραφὰς, ἢ λίθων περικαλλῆ θεάματα εἰς γῆν κατέβαλεν, ἀλλ' αὐτῆς τῆς φύσεως τὸ οἰκοδόμημα λαμπρὸν τῷ κάλλει ὑπεραστράπτον ταῖς χάρισιν, ἀθρόως προσπεσὼν ὁ σεισμὸς

οὕτως διέλυσεν. εἶδον ἐγὼ καὶ τὸ ὑψηλὸν ἔρνος, τὸν ὑψίκομον φοίνικα, τὸ βασιλικόν φημι κράτος, τὸν ταῖς βασιλικαῖς ἀρεταῖς οἱονεί τισι κλάδοις πάσης ὑπεραυξήσαντα τῆς οἰκουμένης καὶ πάντα περιλαμβάνοντα. εἶδον αὐτὸν τῶν μὲν ἄλλων κρατοῦντα, τῇ δὲ φύσει καμπτόμενον, καὶ πρὸς τὴν ἀποβολὴν τοῦ ἄνθους ἐπικλινόμενον. εἶδον καὶ τὴν εὐγενῆ κληματίδα τὴν περιειλημμένην τῷ φοίνικι, τὴν τὸ ἄνθος ἡμῖν τοῦτο ὠδίνασαν, οἵας ὑπέστη ἐκ δευτέρου πάλιν ὠδῖνας ἐν ψυχῇ, οὐκ ἐν σώματι, ὅτε αὐτῆς οὗτος ὁ βλαστὸς ἀπετίλλετο. τίς ἀστενάκτως τὸ πάθος παρέδραμε; τίς τὴν τοῦ βίου ζημίαν οὐκ ὠλοφύρατο; τίς οὐκ ἐπαφῆκε τῷ πάθει δάκρυα; τίς οὐ κατέμιξε τῇ κοινῇ συμφωνίᾳ τοῦ θρήνου τὰς ἰδίας φωνάς; εἶδον θέαμα πιστὸν, ὃ οὐκ ἂν εἰς πίστιν ἔλθοι τοῖς ἀκοῇ παραδεχομένοις τὰ θαύματα. εἶδον ἐξ ἀνθρώπων πέλαγος τῇ πυκνότητι τῶν συνεστώτων, οἱονεί τι ὕδωρ κατὰ πᾶν μέρος τοῖς ὀφθαλμοῖς προφαινόμενον· πλήρης ὁ ναὸς, πλήρης τοῦ ναοῦ τὸ προαύλιον, αἱ ἐκδεχόμεναι πλατεῖαι, τὰ ἄμφοδα, ἡ μέση, τὰ πλάγια, ἡ ἐπὶ τῶν δωμάτων εὐρυχωρία. πᾶν τὸ ὁρώμενον ἀνθρώπων πλήρωμα ἦν, ὥσπερ πάσης τῆς οἰκουμένης εἰς ταὐτὸν συνδραμούσης ἐπὶ τῷ πάθει. θέαμα δὲ προέκειτο πᾶσι τὸ ἱερὸν ἄνθος ἐκεῖνο ἐπὶ κλίνης χρυσῆς κομιζόμενον. πῶς κατηφῆ πάντων ἦν τῶν προορώντων τὰ πρόσωπα; πῶς δεδακρυμένα τὰ ὄμματα; χεῖρες ἀλλήλαις συμκρασσόμεναι; στεναγμοὶ πρὸς τούτοις τὴν ἐγκάρδιον ὀδύνην καταμηνύοντες; ἢ μοι ἔδοξε καὶ τὴν ὥραν ἐκείνην, τάχα δὲ οὐδὲ τοῖς ἄλλοις τῶν τότε παρόντων, τὴν ἐκ φύσεως χάριν ὁ χρυσὸς ἀποστίλβειν, ἀλλὰ καὶ αἱ τῶν λίθων αὐγαὶ, καὶ τὰ ἐν χρυσῷ ὑφάσματα, καὶ αἱ τοῦ ἀργύρου μαρμαρυγαὶ, καὶ τὸ ἐκ τοῦ πυρὸς φῶς, πολύ τε καὶ ἄφθονον κατὰ τὰ πλάγια ἑκατέρωθεν τῇ συνεχείᾳ τῶν ἐκ τοῦ κηροῦ λαμπάδων παρατεινόμενον, πάντα τῷ πένθει συνεμελαίνετο, καὶ πάντα μετεῖχε τῆς κοινῆς κατηφείας. τότε καὶ ὁ μέγας Δα-

Δαβὶδ τὰς ἰδίας ὑμνῳδίας τοῖς θρήνοις ἔχρησε, καὶ ἀντὶ φαιδρᾶς χοροστασίας μεταλαβὼν τὴν γοεράν τε καὶ πένθιμον, ἐξεκαλεῖτο τοὺς θρήνους τοῖς μέλεσι. πάσης δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἡδονῆς τῶν ψυχῶν ἀπελαθείσης, μόνον ἦν ἐν ἡδονῇ τοῖς ἀνθρώποις τὸ δάκρυον. Ἐπειδὴ τοίνυν τοσοῦτον ἡττήθη τοῦ πάθους ὁ λογισμὸς, καιρὸς ἂν εἴη τὸ κεκμηκὸς τῆς διανοίας ἐκ τῆς τῶν λογισμῶν συμβουλῆς, ὡς ἔστι δυνατὸν, ἀναῤῥώννυσθαι· κίνδυνος γὰρ οὐ μικρὸς, παρακούσαντας ἐν τούτῳ τῆς τοῦ Ἀποστόλου φωνῆς, συγκατακριθῆναι τοῖς ἀνελπίστοις. φησὶ γὰρ, καθὼς τοῦ ὑπαναγινώσκοντος ἀρτίως ἠκούσαμεν, μὴ δεῖν ἐπὶ τῶν κεκοιμημένων λυπεῖσθαι. μόνον γὰρ τοῦτο τῶν οὐκ ἐχόντων ἐλπίδα τὸ πένθος εἶναι. Ἀλλ' εἴποι τις ἂν, οἶμαι, τῶν μικροψυχοτέρων, ἀδύνατα κελεύειν τὸν θεῖον Ἀπόστολον, καὶ ὑπερβαίνειν τὴν φύσιν τοῖς ἐπιτάγμασι. πῶς γὰρ ἐστὶ δυνατὸν ὑπεραρθῆναι τοῦ πάθους τὸν ἐν τῇ φύσει ζῶντα, καὶ μὴ κρατηθῆναι τῇ λύπῃ ἐπὶ τοιούτῳ θεάματι; ὅταν μὴ καθ' ὥραν ἐν γήρᾳ συμπέσῃ ὁ θάνατος, ἀλλ' ἐν τῇ πρώτῃ ἡλικίᾳ κατασβεσθῇ μὲν τῷ θανάτῳ ἡ ὥρα, καλυφθῇ δὲ τοῖς βλεφάροις ἡ τῶν ὀμμάτων ἀκτὶς, μεταπέσῃ δὲ εἰς ὠχρότητα τῆς παρειᾶς τὸ ἐρύθημα, κρατηθῇ δὲ τῇ σιωπῇ τὸ στόμα, μελαίνηται δὲ τὸ ἐπὶ τοῦ χείλους ἄνθος· χαλεπὸν δὲ μὴ μόνον τοῖς γεννησαμένοις τοῦτο δοκῇ, ἀλλὰ καὶ παντὶ τῷ πρὸς τὸ πάθος βλέποντι. τί οὖν πρὸς τούτους ἡμεῖς; οὐχ ἡμέτερον ἐροῦμεν ἀδελφοὶ λόγον, ἀλλὰ τὴν ἀναγνωσθεῖσαν ἡμῖν ἐκ τοῦ Εὐαγγελίου ῥῆσιν παραθησόμεθα. ἠκούσατε γὰρ λέγοντος τοῦ Κυρίου· ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν Οὐρανῶν· οὐκοῦν εἰ καὶ σοῦ ἀπεφοίτησε τὸ παιδίον, ἀλλὰ πρὸς τὸν Δεσπότην ἀνέδραμε. σοὶ τὸν ὀφθαλμὸν ἔκλεισεν, ἀλλὰ τῷ φωτὶ τῷ αἰωνίῳ διήνοιξε. τῆς σῆς ἀπέστη τραπέζης, ἀλλὰ τῇ Ἀγγελικῇ προσετέθη. ἔνθεν τὸ φυτὸν ἀνεσπάσθη, ἀλλὰ τῷ Παραδείσῳ ἐνεφυτεύθη. ἐκ βα-

σιλείας εἰς βασιλείαν μετέστη. ἐξεδύσατο τὸ τῆς πορφύρας ἄνθος, ἀλλὰ τῆς ἄνω βασιλείας τὴν περιβολὴν ἐνεδύσατο. εἰ- νῶσοι τὴν ὕλην τοῦ θείου ἐνδύματος, οὐ λίνον ἐστίν, οὐδὲ ἔριον, οὐδὲ τὰ ἐκ σηρῶν νήματα. ἄκουσον τοῦ Δαβίδ, ὅθεν ἐξυφαίνεσθαι λέγει τοῦ Θεοῦ τὰ ἐνδύματα. ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω· ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. ὁρᾷς οἷα ἀνθ᾽ οἵων ἠλλάξατο; λυπεῖ σε τὸ τοῦ σώματος κάλλος μηκέτι φαινόμενον· οὐ γὰρ ὁρᾷς αὐτῆς τὸ ἀληθινὸν τῆς ψυχῆς κάλλος, ὃ νῦν ἐν τῇ πανηγύρει τῶν οὐρανίων ἀγάλλεται. ὡς καλὸς ἐκεῖνος ὁ ὀφθαλμὸς ὁ τὸν Θεὸν βλέπων, ὡς ἡδὺ τὸ στόμα ταῖς θείαις ὑμνῳδίαις καλλωπιζόμενον. ἐκ στόματος γάρ, φησι, νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ὡς καλαὶ αἱ χεῖρες αἱ μηδέποτε τὸ κακὸν ἐνεργήσασαι. ὡς ὡραῖοι οἱ πόδες, οἱ μὴ ἐπιβάντες κακίας, μηδὲ τῇ ὁδῷ τῶν ἁμαρτωλῶν τὸ ἴχνος ἑαυτῶν ἐπιστήσαντες. ὡς καλὴ πᾶσα τῆς ψυχῆς ἐκείνης ἡ ὄψις, οὐ λίθων αὐγαῖς κεκοσμημένη, ἀλλ᾽ ἁπλότητι καὶ ἀκακίᾳ ἐκλάμπουσα. ἀλλὰ λυπεῖ σε τυχὸν τὸ μὴ εἰς γῆρας ἐλθεῖν; τί γάρ, εἰπέ μοι, καλὸν ἐνορᾷς τῷ γήρᾳ; ἆρα καλὸν τὸ κνίζεσθαι τὰ ὄμματα; τὸ ῥυσοῦσθαι τὴν παρειάν; τὸ ἀποῤῥεῖν τοὺς ὀδόντας τοῦ στόματος, καὶ ψελλισμὸν ἐμποιεῖν τῇ γλώσσῃ; τὸ ὑποτρέμειν τῇ χειρί; καὶ εἰς γῆν κύπτειν; καὶ ὑποσκάζειν τῷ ποδί, καὶ χειραγωγοῖς ἐπερείδεσθαι; καὶ παρανοεῖν τῇ καρδίᾳ; καὶ παραφθέγγεσθαι τῇ φωνῇ; οἷα τῇ ἡλικίᾳ ταύτῃ κατ᾽ ἀνάγκην συμβαίνει πάθη. καὶ ὑπὲρ τούτου ἀγανακτοῦμεν, ὅτι μὴ ἀφίκετο εἰς τὴν τῶν τοιούτων πεῖραν; καὶ μὴν συγχαίρειν προσήκει ἐκείνοις, ὧν ἡ ζωὴ τὴν τῶν σκυθρωπῶν πεῖραν οὐ παρεδέξατο, καὶ οὔτε ἐνταῦθα τῶν λυπηρῶν ᾔσθετο, οὔτε τι τῶν ἐκεῖ σκυθρωπῶν ἐπιγνώσεται. ἡ γὰρ τοιαύτη ψυχὴ ἡ οὐκ ἔχουσα ἐφ᾽ ὅτῳ εἰς κρίσιν ἔλθῃ, γέενναν οὐ φοβεῖται, κρίσιν οὐ δέδοικεν, ἄφοβος διαμένει καὶ ἀκατάπληκτος, οὐδενὸς πονηροῦ συνειδότος τὸν τῆς κρίσεως φόβον ἐπάγοντος. ἀλλ᾽ ἔδει,

φη-

φησιν, αὐτὴν εἰς μεῖζον ἡλικίας ἐλθεῖν, καὶ νυμφικῷ θαλάμῳ
ἐμφαιδρυνθῆναι. ἀλλ' ἐρεῖ σοι πρὸς τοῦτο ὁ ἀληθινὸς νυμφίος,
ὅτι κρείττων ἡ οὐρανία παστάς, προτιμότερος ἐκεῖνος ὁ θάλα-
μος, ἐν ᾧ χηρείας φόβος οὐκ ἔστι. τίνος οὖν, εἰπέ μοι, τῶν
καλῶν ἀπεστέρηται, τὸν σάρκινον τοῦτον ἐκδυσαμένη βίον; εἴ-
πω σοι τὰ τοῦ βίου καλά· λῦπαι καὶ ἡδοναί, θυμοὶ καὶ φόβοι,
ἐλπίδες καὶ ἐπιθυμίαι. ταῦτά ἐστι καὶ τὰ τοιαῦτα, οἷς κατὰ τὴν
παροῦσαν ζωὴν συμπεπλέγμεθα. τί οὖν κακὸν πέπονθεν ἡ
τοσούτων ἀπαλλαγεῖσα τυραννιῶν; ἕκαστον γὰρ πάθος, ὅταν
ἐπικρατῇ τῆς ψυχῆς, τύραννος ἡμῶν γίνεται, τοὺς λογισμοὺς
δουλωσάμενον. ἢ λυπεῖ ἡμᾶς, ὅτι μὴ κατεπονήθη διὰ ὠδί-
νων; ὅτι μὴ συνετρίβη διὰ φροντίδων παιδοτροφίας; ὅτι μὴ
τὰς ὁμοίας ἀλγηδόνας ἐδέξατο, ἃς ἐπ' αὐτῆς οἱ γεγεννηκότες
ὑπέμειναν; ἀλλὰ τὰ τοιαῦτα μακαρισμῶν, οὐκ ὀδυρμῶν ἐστιν
ἄξια. τὸ γὰρ ἐν μηδενὶ γενέσθαι κακῷ, κρεῖττον ἢ κατὰ τὴν
ἀνθρωπίνην φύσιν ἐστίν. οὕτω καὶ ὁ σοφὸς Σολομὼν ἐν τῇ ἰδίᾳ
γραφῇ μακαρίζει πρὸ τοῦ ζῶντος τὸν κατοιχόμενον. καὶ ὁ μέ-
γας Δαβὶδ θρήνου καὶ οἰμωγῆς ἀξίαν τὴν ἐν σαρκὶ διαγω-
γὴν εἶναί φησι. καίτοιγε ἀμφότεροι λαμπροὶ κατὰ τὴν βασι-
λείαν ὑπάρχοντες, πάντων κατ' ἐξουσίαν τῶν κατὰ τὸν βίον ἡ-
δέων μετέχοντες, οὐδὲν πρὸς τὴν παροῦσαν ἀπόλαυσιν ἐπε-
κλίθησαν. ἀλλὰ τῶν ἀπορρήτων ἀγαθῶν τῶν ἐν τῇ ἀσωμάτῳ
ζωῇ προκειμένων τὴν ἐπιθυμίαν ἔχοντες, συμφορὰν ἐποιοῦν-
το τὴν ἐν σαρκὶ ζωήν. ἤκουσα πολλαχῇ τοῦ Δαβὶδ ἐν ταῖς ἱε-
ραῖς ψαλμῳδίαις ἔξω γενέσθαι τῆς τοιαύτης ἀνάγκης ἐπιθυ-
μοῦντος, ἐν οἷς φησι· νῦν μέν, ὅτι ἐπιποθεῖ καὶ ἐκλείπει ἡ
ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. νῦν δέ, ὅτι ἐξάγαγε ἐκ
φυλακῆς τὴν ψυχήν μου. ὡσαύτως δὲ καὶ ὁ Ἱερεμίας κατάρας
ἀξίαν κρίνει τὴν ἡμέραν ἐκείνην τὴν ἄρξασαν αὐτῷ τῆς τοι-
αύτης ζωῆς. καὶ πολλάς ἐστι τοιαύτας τῶν παλαιῶν Ἁγίων φω-
νὰς ἐν τῇ θείᾳ Γραφῇ φερομένας εὑρεῖν, οἱ δὲ ἐπιθυμίαν

τῆς ὄντως ζωῆς τὴν ἐν σαρκὶ διαγωγὴν ἐβαρύνοντο, οὕτω καὶ ὁ μέγας ποτὲ Ἀβραὰμ προθύμως τῷ Θεῷ διὰ θυσίας προσῆγε τὸν ἠγαπημένον υἱὸν, εἰδὼς ὅτι πρὸς τὸ κρεῖττόν τε καὶ θειότερον γίνεται τῷ παιδὶ ἡ μετάστασις. ὅσοι δὲ τῆς ἱστορίας ἐμπείρως ἔχετε, πάντως οὐκ ἀγνοεῖτε τὰ περὶ αὐτοῦ διηγήματα. τί γάρ φησιν ἡ γραφή; ὅτι νέῳ μὲν ὄντι τῷ Ἀβραὰμ θεόθεν περὶ τοῦ παιδὸς ἐπαγγελία γίνεται. παρεληλυθότι δὲ τὴν ἀκμὴν, καὶ ἤδη καταμαρανθέντι ὑπὸ τοῦ χρόνου, ὅτε παύεται ἡ φύσις ἑαυτὴν αὔξουσα, οὐκέτι τοῦ γήρως ταῖς ὁρμαῖς ὑπακούοντος, τότε παρὰ τὰς ἀνθρωπίνας ἐλπίδας εἰς πέρας ἡ ὑπόσχεσις ἄγεται, καὶ τίκτεται παῖς ὁ Ἰσαάκ. καὶ συμμέτρου διαγεγονότος χρόνου, οἷόν τι ἔρνος ἀναδραμὼν εἰς κάλλος καὶ μέγεθος, ἡδὺς ἦν τοῖς ὀφθαλμοῖς τῶν γονέων, τῷ τῆς νεότητος κάλλει λαμπόμενος. τότε προσάγεται τῷ Ἀβραὰμ ἡ τῆς ψυχῆς δοκιμασία καὶ βάσανος, εἰ ἀκριβῶς ἐν τῇ τῶν ὄντων φύσει διαγινώσκει τὸ κάλλιον, εἰ μὴ πρὸς τὴν παροῦσαν βλέπει ζωήν. καί φησι πρὸς αὐτὸν ὁ Θεός· ἀνένεγκε τὸν υἱόν σου διὰ θυσίας εἰς ὁλοκάρπωσιν. οἴδατε πάντως ὅσοι πατέρες ἐστὲ καὶ παῖδας ἔχετε, καὶ τὴν πρὸς τὰ τέκνα στοργὴν παρὰ τῆς φύσεως ἐδιδάχθητε, ὅπως εἰκὸς διατεθῆναι τὸν Ἀβραὰμ, εἰ πρὸς τὴν παροῦσαν μόνην ἀφεώρα ζωὴν, εἰ φίλος τῆς φύσεως ἦν, εἰ ἐν τῷ παρόντι βίῳ τὸ γλυκὺ τῆς ζωῆς ἐλογίζετο. τί δὲ περὶ ἐκείνης φημὶ, καταλιπὼν τὴν γυναῖκα τὸ ἀσθενέστερον μέρος τῆς ἀνθρωπίνης φύσεως; εἰ μὴ πεπαίδευτο κἀκείνη ὑπὸ τοῦ ἀνδρὸς τὰ θειότερα, εἰ μὴ ἠπίστατο τὴν κεκρυμμένην ζωὴν εἶναι τῆς φαινομένης ἀμείνω, οὐκ ἂν ἐπέτρεπε τῷ ἀνδρὶ τοιαῦτα κατὰ τοῦ παιδὸς ἐνεργῆσαι· πάντως γὰρ τοῖς μητρικοῖς συγκινηθεῖσα σπλάγχνοις, περιεχύθη ἂν τῷ τέκνῳ, καὶ ταῖς ὠλέναις αὐτὸ ἐμπλεξαμένη, πρὸ αὐτοῦ τὴν καιρίαν ἐδέξατο. ἆρ' οὐκ εἶπεν ἂν πρὸς τὸν Ἀβραὰμ ταῦτα τὰ ῥήματα; φεῖσαι τοῦ παιδὸς ἄνερ; μὴ

πονηρὸν γένηται τοῦ βίου διήγημα· μὴ μῦθος τῷ μετὰ ταῦτα χρόνῳ γενώμεθα· μὴ φθονήσῃς τῷ υἱῷ τῆς ζωῆς, μὴ στερήσῃς αὐτὸν τῆς γλυκείας ἀκτῖνος. θάλαμος τέκνοις, καὶ τάφος παρὰ πατέρων σπουδάζεται· στέφανος γαμικὸς, καὶ ξίφος φονικόν· γαμήλιος λαμπὰς, καὶ πῦρ ἐπιτάφιον. ταῦτα λῃσταὶ καὶ πολέμιοι, οὐ πατέρων χεῖρες ἐπὶ τῶν τέκνων ἐργάζονται. εἰ δὲ χρὴ πάντως γενέσθαι τὸ κακὸν, μὴ ἴδοι Σάῤῥας ὀφθαλμὸς νεκρούμενον τὸν Ἰσαάκ. ἰδὲ δι' ἀμφοτέρων ὦσον τὸ ξίφος, ἀπ' ἐμοῦ τῆς δειλαίας ἀρξάμενος. μία τοῖς δυσὶν ἀρκέσει πληγή. κοινὸν ἐπ' ἀμφοτέρων γενέσθω τὸ χῶμα. μία στήλη τὴν κοινὴν συμφορὰν ἐπαγγελέτω. ταῦτα πάντως ἂν, καὶ τὰ τοιαῦτα διεξῄει ἡ Σάῤῥα, εἰ μὴ ἐκεῖνα τοῖς ὀφθαλμοῖς ἔβλεπεν, ἅπερ ἡμῖν ἐστιν ἀθέατα. ᾔδει γὰρ ὅτι τὸ τέλος τῆς ἐν σαρκὶ ζωῆς ἀρχὴ τοῦ θειοτέρου βίου τοῖς μεταστᾶσι γίνεται. καταλείπει σκιὰς, καταλαμβάνει ἀλήθειαν, ἀφίησιν ἀπάτας καὶ πλάνας καὶ θορύβους, καὶ εὑρίσκει ἐκεῖνα τὰ ἀγαθὰ, ἃ ὑπὲρ ὀφθαλμόν τε, καὶ ἀκοὴν, καὶ καρδίαν ἐστίν. οὔτε ἔρως αὐτὸν ἀνιάσει, οὔτε ἐπιθυμία ῥυπαρὰ περιχρίψει, οὐχ ὑπερηφανία χαυνώσει, οὐκ ἄλλο τι πάθος τῶν λυπούντων τὴν ψυχὴν ἐνοχλήσει, ἀλλὰ πάντα γίνεται αὐτῷ ὁ Θεός. διὰ τοῦτο προθύμως δίδωσι τῷ Θεῷ τὸν παῖδα. τί δὲ ὁ μέγας Ἰώβ; ὅτε αὐτῷ γυμνωθέντι πάντων τῶν περιόντων ἀθρόως, πρὶν ἐπὶ ταῖς προλαβούσαις πληγαῖς τὴν ψυχὴν ἀναλέξασθαι, ἡ τελευταία κατεμηνύθη πληγὴ, ὅπως ἐδέξατο τὴν ἐπὶ τοῖς παισὶ συμφοράν; τρεῖς αὐτῷ θυγατέρες ἦσαν καὶ παῖδες ἑπτά. μακαριστὸς ἦν τῆς εὐπαιδίας. τοσοῦτοι γὰρ ὄντες, εἷς ἦσαν οἱ πάντες τῇ μετ' ἀλλήλων στοργῇ. οὐ διῃρημένως καθ' ἑαυτὸν ἕκαστος βιοτεύοντες, ἀλλὰ πάντες παρ' ἀλλήλοις φοιτῶντες, διὰ τῆς ἐγκυκλίου φιλοφροσύνης διετέλουν εὐφραίνοντες ἀλλήλους ἐν τῷ μέρει καὶ εὐφραινόμενοι. καὶ δὴ τότε κατὰ περίοδον παρὰ τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν ἦν τὸ συμπόσιον. πλήρεις οἱ κρατῆρες,

πλή-

πλήρης τῶν ἐδωδίμων ἡ τράπεζα. ἐν χερσὶν αἱ κύλικες, ἐθυμιάματα, ὡς εἰκὸς ἐπὶ πότοις, καὶ ἀκροάματα, καὶ πᾶσαι θυμηδίαι συμποτικαί. τρόπος εἰς φιλοφροσύνας, παίγνια, μειδιάματα. πάντα ὅσα εἰκὸς ἐν συνόδῳ νέων ἐφεστίας ἀθροίζεσθαι. τί οὖν ἐπὶ τούτοις; ἐν ἀκμῇ τῆς ἀπολαύσεως τῶν ἑστιωμένων, ἐπισεισθέντος αὐτοῖς τοῦ ὀρόφου, τάφος τῶν δέκα παίδων τὸ συμπόσιον γίνεται. καὶ τοῖς αἵμασι τῶν νέων ὁ κρατὴρ κατεμίγνυται, καὶ τὰ ἐδώδιμα τῷ ἐκ τῶν σωμάτων λύθρῳ κατεμολύνετο. τοιαύτης συμφορᾶς τῷ Ἰὼβ ἀγγελθείσης, θέασαί μοι τῷ λόγῳ τὸν ἀθλητὴν, οὐχ ἵνα θαυμάσῃς μόνον τὸν νικητήν· μικρὸν γὰρ τὸ ἐκ τοῦ θαύματος κέρδος· ἀλλ᾽ ἵνα ζηλώσῃς ἐν τοῖς ὁμοίοις τὸν ἄνδρα, καί σοι γένηται παιδοτρίβης ὁ ἀθλητὴς, τῷ καθ᾽ ἑαυτὸν ὑποδείγματι πρὸς ὑπομονὴν καὶ ἀνδρείαν τὴν ψυχὴν ἀλείφων ἐν καιρῷ τῆς τῶν πειρασμῶν συμπλοκῆς. τί οὖν ἐποίησεν ὁ ἀνήρ; ἆρά τι δυσχερὲς καὶ μικρόψυχον; ἢ εἶπε τῷ ῥήματι, ἢ σχήματι ἐνεδείξατο, ἢ παρειὰ ἀμύξας τοῖς ὄνυξιν, ἢ τρίχας τῆς κεφαλῆς ἀποτίλας, ἢ κόνιν καταπασάμενος, ἢ τὰ στήθη ταῖς χερσὶ μαστιγώσας, ἢ ἐπὶ γῆν ἑαυτὸν ῥίψας, ἢ θρηνῳδοὺς ἑαυτῷ παραστήσας, ἢ ἀνακαλῶν τὰ τῶν κατοιχομένων ὀνόματα, καὶ ἐποιμώζων τῇ μνήμῃ; οὐκ ἔστι τούτων οὐδέν. ἀλλ᾽ ὁ μὲν τῶν κακῶν μηνυτὴς τὴν κατὰ τοὺς παῖδας συμφορὰν διηγήσατο· ὁ δὲ ὁμοῦ τε ἤκουσε, καὶ εὐθὺς περὶ τῆς τῶν ὄντων ἐφιλοσόφει φύσεως· πόθεν τὰ ὄντα λέγων, καὶ παρὰ τίνος εἰς γένεσιν ἄγεται, καὶ τίνα εἰκὸς τῶν ὄντων ἐπιστατεῖν; ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ἐκ Θεοῦ, φησὶ, τοῖς ἀνθρώποις ἡ γένεσις, καὶ πρὸς αὐτὸν ἡ ἀνάλυσις. ὅθεν παρῆκται, πρὸς ἐκεῖνο καὶ ἀναλύεται. Θεὸς οὖν ὁ τοῦ διδόναι τὴν ἐξουσίαν ἔχων, ὁ αὐτὸς ἔχει καὶ τοῦ ἀφαιρεῖσθαι τὴν ἐξουσίαν. ἀγαθὸς ὢν, ἀγαθὰ βούλεται. σοφὸς ὢν, τὸ συμφέρον ἐπίσταται. ὡς τῷ Κυρίῳ ἔδοξεν. ἔδοξε δὲ πάντως καλῶς· οὕτω καὶ ἐποίησεν. εἴη τὸ ὄνομα Κυρίου εὐ-

λογη·

λογισάμενον. ὁρᾷς πόσον τὸ ὕψος τῆς τοῦ ἀθλητοῦ μεγαλοφυΐας; τὸν τῆς θλίψεως καιρὸν εἰς ἐπίσκεψιν τῆς περὶ τῶν ὄντων φιλοσοφίας μετέστησεν. ᾔδει γὰρ ἀκριβῶς, ὅτι ἡ ὄντως ζωὴ δι' ἐλπίδος ἀπόκειται, ἡ δὲ παροῦσα ζωὴ οἱονεὶ σπέρμα τῆς μελλούσης ἐστί. πολὺ δὲ διενήνοχε τῶν παρόντων τὰ προσδοκώμενα, ὅσον διαφέρει ὁ στάχυς τοῦ κόκκου, ὅθεν ἐκφύεται. ὁ νῦν βίος ἀναλογεῖ πρὸς τὸν κόκκον. ὁ δὲ προσδοκώμενος βίος, ἐν τῷ κάλλει τοῦ στάχυος δείκνυται. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. πρὸς ταῦτα βλέπων ὁ Ἰὼβ συγχαίρει τοῖς τέκνοις τῆς ἀπαλλαγῆς, ὡς θᾶττον ἐκλυθεῖσι τῶν τοῦ βίου δεσμῶν. τεκμήριον δὲ, ὅτι τῆς ἐπαγγελίας τοῦ Θεοῦ τὸ διπλάσιον ἀντὶ τῶν ἀφαιρεθέντων πάντων ὑποσχομένης, ἐν τοῖς ἄλλοις ἅπασι διπλασιασθείσης τῆς ἀντιδόσεως, μόνων τῶν τέκνων τὸν διπλασιασμὸν οὐκ ἐζήτησεν. ἀλλὰ δέκα μόνα ἀντὶ τῶν ἀφαιρεθέντων δέκα δέδοται. ἐπειδὴ δὲ αἱ τῶν ἀνθρώπων ψυχαὶ εἰς ἀεὶ διαμένουσι, τούτου χάριν τῶν ἀπολλυμένων διπλασίαν δέχεται τὴν ἀντίδοσιν· ἐπὶ δὲ τῶν τέκνων τὰ ἐπιγενόμενα τοῖς προγεννηθεῖσι συναριθμεῖται, ὡς πάντων τῷ Θεῷ ζώντων, καὶ οὐδὲν τοῦ προσκαίρου θανάτου τῆς κατοιχομένης πρὸς τὸ εἶναι κωλύοντος. οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἐπ' ἀνθρώπων ὁ θάνατος, εἰ μὴ κακίας καθάρσιον. ἐπειδὴ γὰρ οἱονεί τι σκεῦος ἀγαθῶν δεκτικὸν τὸ κατ' ἀρχὰς ἡ φύσις ἡμῶν παρὰ τοῦ Θεοῦ τῶν ὅλων κατεσκευάσθη, τοῦ δὲ ἐχθροῦ τῶν ψυχῶν ἡμῶν δι' ἀπάτης ἡμῖν τὸ κακὸν παρεγχέαντος, τὸ ἀγαθὸν χώραν οὐκ ἔσχε. τούτου ἕνεκεν ὡς ἂν μὴ διαιωνίζῃ ἡμῖν ἡ ἐμφυεῖσα κακία, προνοίᾳ κρείττονι θανάτῳ τὸ σκεῦος πρὸς καιρὸν διαλύεται, ἵνα τῆς κακίας ἐκρυείσης, ἀναπλασθῇ τὸ ἀνθρώπινον, καὶ ἀμιγὲς κακίας τῷ ἐξ ἀρχῆς ἀποκατασταθῇ βίῳ. τοῦτο γάρ ἐστιν ἡ ἀνάστασις, ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀναστοιχείωσις. εἰ οὖν ἀμήχανόν ἐστιν ἀναστοιχειωθῆναι πρὸς τὸ κρεῖττον τὴν φύσιν χωρὶς ἀνα-

στά-

στάσεως· θανάτου δὲ μὴ προηγησαμένου, ἀνάστασις γενέσθαι οὐ δύναται· ἀγαθὸν ἂν εἴη ὁ θάνατος, ἀρχὴ καὶ ὁδὸς τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἡμῖν γινόμενος. οὐκοῦν ἐκβάλωμεν, ἀδελφοί, τὴν λύπην περὶ τῶν κεκοιμημένων, ἣν μόνοι ὑπομένουσιν οἱ μὴ ἔχοντες ἐλπίδα. ἐλπὶς δὲ ἡμῶν ὁ Χριστός· ᾧ δόξα, καὶ κράτος, τιμὴ, καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΠΛΑΚΙΛΛΑΝ ΤΗΝ

### Βασίλειαν Ἐπιτάφιος.

Ὁ Πιστὸς καὶ φρόνιμος οἰκονόμος (ἐκ γὰρ τῶν ἀνεγνωσμένων ἀπὸ τοῦ θείου εὐαγγελίου προοιμιάζομαι) ὃν κατέστησεν ὁ Κύριος ἐπὶ τῆς οἰκίας ταύτης, τοῦ διδόναι ἐν καιρῷ τοῖς οἰκονομουμένοις τὸ σιτομέτριον, καλῶς ἐν τῷ προτέρῳ χρόνῳ καταδικάσας τὴν ἀφωνίαν τῷ λόγῳ, ὁ καλῶς τοῦ μεγέθους τῆς συμφορᾶς ἐπαισθόμενος, καὶ τιμήσας τῇ ἡσυχίᾳ τὸ πένθος, οὐκ οἶδα ὅπως ἐν τῷ παρόντι συλλόγῳ πάλιν ἐπισυνάγει τῇ Ἐκκλησίᾳ τὸν λόγον, αὐτὸς ἀνακαλύπτων τὴν ἰδίαν κατὰ τοῦ λόγου ψῆφον. καίτοι γε σφόδρα θαυμάζων τῆς συνέσεως ἐν πολλοῖς τὸν διδάσκαλον, ἐν τούτῳ μάλιστα πλέον ὑπερεθαύμασα, ὡς καλῶς ἐν τῇ συμφορᾷ τὸν λόγον κατασιγάσαντι. προσφυὲς γάρ μοι δοκεῖ καὶ κατάλληλον εἶναι τοῖς πενθοῦσι φάρμακον ἡ σιγή, τὸ διοιδοῦν τῆς ψυχῆς χρόνῳ καὶ κατηφείᾳ δι' ἡσυχίας ἐκπέπτωκεν. ὡς εἴγε τις, ἔτι τὴν ψυχὴν τοῦ πάθους ὑποθερμαίνοντος, ἀνακινοίη τὸν λόγον, δυσαχθέστερον τὸ τῆς λύπης τραῦμα γενήσεται, τῇ μνήμῃ τῶν ἀλγεινῶν οἷόν τισιν ἀκάνθαις ὑπεξαινόμενον. εἰ δὲ μὴ λίαν ἐστὶ τολμηρὸν κἀμέ τι τῶν τοῦ διδασκάλου προσδιορθώσασθαι, τάχα καλῶς εἶχε μέχρι τοῦ

νῦν

νῦν κατακρατεῖν ἡμῶν τὴν ἡσυχίαν, ὡς ἂν μὴ πρὸς τὸ πάθος ὁ λόγος καθελκυσθεὶς, τὴν ἀκοὴν αἰάσειεν. οὔπω γὰρ τοσοῦτος ὁ ἐν τῷ μέσῳ χρόνος, ὥστε προσεθίσαι τῷ κακῷ τὴν διάνοιαν. ἔτι νέον ἐν τῇ ψυχῇ τὸ πάθος, τάχα δὲ καὶ ἀεὶ νέον ἔσται τῷ βίῳ τὸ ἄλγημα. ἔτι ταράσσεται ἡμῶν ἡ καρδία, καὶ καθάπερ τις θάλασσα κυματουμένη τῇ λαίλαπι τῆς συμφορᾶς, ἐκ βυθῶν ἀναστρέφεται. ἔτι διοιδοῦσιν οἱ λογισμοὶ, πρὸς τὴν μνήμην τῶν κακῶν ἀναζέοντες. ἀστατούσης οὖν τῷ τοιούτῳ κλύδωνι τῆς ψυχῆς, πῶς ἔστι προαγαγεῖν ἐπ' εὐθείας τὸν λόγον, οἷόν τινι καταιγίδι τῷ πάθει τῆς λύπης ἐγχειμαζόμενον; ἀλλ' ἐπειδὴ χρὴ κελεύοντι πείθεσθαι, οὐκ οἶδα ὅπως τῷ λόγῳ χρήσωμαι. οὐ γὰρ δι'εἴσηκω τῆς διανοίας τοῦ Διδασκάλου κατεστοχάσασθαι. ἢ τάχα βούλεταί τι καὶ τῷ πάθει χαρίσασθαι, καὶ τοῖς ἐμπαθεστέροις τῶν λόγων ἀνακινῆσαι τῇ Ἐκκλησίᾳ τὸ δάκρυον; καὶ εἰ ταῦτα διανοεῖται, ὀρθῶς, κατάγε τὴν ἐμὴν κρίσιν, καὶ τοῦτο ποιεῖ. δεῖ γὰρ πάντως, ὥσπερ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν προθυμούμεθα, οὕτω καὶ πρὸς τὰ λυπηρὰ τῶν συμπιπτόντων οἰκείως ἔχειν. τοῦτο γὰρ καὶ ὁ Ἐκκλησιαστὴς συμβουλεύει, καιρὸς φησὶ τοῦ γελάσαι, καὶ καιρὸς τοῦ κλαῦσαι. μανθάνομεν γὰρ διὰ τούτων, ὅτι δεῖ καταλλήλως τῷ ὑποκειμένῳ καὶ τὴν ψυχὴν διατίθεσθαι. κατὰ ῥοῦν τὰ πράγματα φέρεται; εὔκαιρον τὸ εὐφραίνεσθαι. μετέπεσε τὸ φαιδρὸν εἰς κατήφειαν; μεταβάλλειν προσήκει καὶ τὴν εὐθυμίαν εἰς δάκρυον. ὥσπερ γὰρ ὁ γέλως σημεῖον τῆς ἔνδον φαιδρότητος γίνεται, οὕτω καὶ ὁ ἐν τῇ καρδίᾳ πόνος ὑπὸ τῶν θρήνων διερμηνεύεται, καὶ γίνεται τῶν τῆς ψυχῆς τραυμάτων ὥσπερ αἷμα τὸ δάκρυον. τοῦτο καὶ ἡ παροιμία Σολομῶντος φησὶν, ὅτι καρδίας εὐφραινομένης πρόσωπον θάλλει. τῆς ψυχῆς δὲ ἐν λύπαις οὔσης, σκυθρωπάζει. οὐκοῦν ἀνάγκη πᾶσα τῇ διαθέσει τῆς καρδίας συσκυθρωπάσαι τὸν λόγον. καὶ εἴθε δυνατὸν ἦν τοιούτους ἐξευρεῖν τινας λόγους, οἷς ὁ μέγας Ἱερεμίας τῇ συμφορᾷ ποτε τῶν Ἰσραηλιτῶν ἐ-

πι-

τεθρηνήκασιν· ἐκείνων γὰρ ἄξια τὰ παρόντα μᾶλλον, ἢ εἴ τι τῶν ἀρχαίων ἐν σκυθρωποῖς μνημονεύεται. χαλεπὰ τὰ τοῦ Ἰὼβ διηγήματα· ἀλλὰ τί χρὴ πρὸς τοῦτο τὸ κακὸν ἀντεξαγαγεῖν μιᾶς οἰκίας διαριθμητὰ πάθη; κἂν τὰ μεγάλα καὶ κοινότερα τῶν κακῶν διεξέλθῃς, σεισμοὺς καὶ πολέμους καὶ ἐπικλύσεις καὶ χάσματα, μικρὰ καὶ ταῦτα, εἰ πρὸς τὰ παρόντα κρίνοιτο. διὰ τί; ὅτι οὐ πάσης ἀθρόως τῆς οἰκουμένης ἡ κατὰ πόλεμον ἅπτεται συμφορά. ἀλλὰ τὸ μέν τι πολεμεῖται αὐτῆς, τὸ δὲ εἰρηνεύεται μέρος· τί πάλιν; ἢ σκηπτὸς ἐπέφλεξεν· ἢ τὸ ὕδωρ ἐπέκλυσεν· ἢ κατεπόθη τῷ χάσματι. τὸ δὲ παρὸν κακὸν πάσης ἀθρόως τῆς οἰκουμένης ἐστὶ πληγή. οὐκ ἔστιν, ἔθνος ἕν, ἢ πόλιν μίαν ἀπολοφύρασθαι. ἀλλὰ ἁρμόζει τάχα τὴν τοῦ Ναβουχοδονόσορ προθέσθαι φωνήν, ἣν πρὸς τοὺς ὑποχειρίους πεποίηται. ὑμῖν λέγω, λαοί, φυλαί, γλῶσσαι, μᾶλλον δὲ συγχωρήσατέ μοι προσθεῖναί τι τῷ Ἀσυρίῳ κηρύγματι, μεγαλοφωνότερον ἀνακηρύξαι τὴν συμφορὰν καὶ εἰπεῖν, ὥς ἄν τις ἐπὶ σκηνῆς ἀναβοήσας εἴποι. ὦ πόλεις, καὶ δῆμοι, καὶ ἔθνη, καὶ σύμπασα γῆ, καὶ τῆς θαλάσσης ὅσον τε πλώϊμον, καὶ ὅσον οἰκούμενον· ὦ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης, ὅσον τῷ σκήπτρῳ τῆς Βασιλείας ἰθύνεται. οἱ πάντες οἱ πανταχόθεν ἄνθρωποι, κοινῇ τῷ πάθει ἐπιστενάξατε, κοινῇ τοῦ θρήνου τὴν συνῳδίαν στήσασθε, κοινῇ τὴν πάντων ζημίαν ἀπολοφύρασθε. ἢ βούλεσθε, καθὼς ἂν οἷός τε ὦ, καὶ τὴν ζημίαν ὑμῖν διηγήσωμαι; ἤνεγκεν ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ἡ ἀνθρωπίνη φύσις ἐκβᾶσα τοὺς ἰδίους ὅρους καὶ τὰ συνήθη μέτρα νικήσασα, μᾶλλον δὲ ὁ τῆς φύσεως Κύριος, ἀνθρωπίνην ψυχὴν ἐν γυναικείῳ τῷ σώματι, ὑπὲρ πάντα σχεδὸν τὰ προλαβόντα τῆς ἀρετῆς ὑποδείγματα. ἐν ᾗ πᾶσα μὲν σώματος, πᾶσα δὲ ψυχῆς ἀρετὴ συνδραμοῦσα, θαῦμα ἄπιστον ἔδειξε τῇ ἀνθρωπίνῃ ζωῇ, πόσων ἀγαθῶν συνδρομὴν μία ψυχὴ ἐν ἑνὶ ἐχώρησε σώματι. πῶς; ἂν μάλιστα καταφανὲς ἅπασι γένοιτο τῆς ζημίας τὸ δυ-

τύχημα, ἐπὶ τὸν ὑψηλὸν θρόνον τῆς βασιλείας ἀνάγεται, ὅπως ἡλίου δίκην ἐκ τοῦ ὑψηλοῦ ἀξιώματος πᾶσαν τὴν οἰκουμένην ταῖς ἀκτῖσι τῶν ἀρετῶν καταλάμψειε. καὶ τὴν κατὰ θείαν ψῆφον τῆς οἰκουμένης ἁπάσης προτεταγμένην εἰς βίου τε καὶ βασιλείας κοινωνίαν συναρμοσθεῖσα, μακαριστὸν ἐποίει δι' ἑαυτῆς τὸν ὑπήκοον· ὄντως, καθώς φησιν ἡ γραφὴ, βοηθὸς αὐτῷ πρὸς πᾶν ἀγαθὸν γινομένη. εἰ φιλανθρωπίας ἦν ὁ καιρὸς, ἢ συνέτρεχεν αὐτῷ πρὸς τὸ ἀγαθὸν τοῦτο, ἢ καὶ προέτρεχεν. ἴσος ἦν ὁ ζυγὸς ἑκατέρωθεν τῇ τῆς φιλανθρωπίας ῥοπῇ. μαρτυρεῖ δὲ τῷ λόγῳ πάντα πρότερον ἀριθμὸν νικῶντα, καὶ τὰ ἐπὶ τοῦ παρόντος κηρύγματα, ἃ νῦν παρὰ τοῦ κήρυκος τῆς ἀληθείας ἠκούσαμεν. εἰ τὸ εὐσεβὲς ἐπιζητεῖς, κοινὸς ἦν ἀμφοτέρων ὁ πρὸς εὐσέβειαν δρόμος. εἰ τὸ προνοητικὸν, εἰ τὸ δίκαιον, εἰ ἄλλο τι τῶν πρὸς τὸ κρεῖττον σπουδαζομένων· πάντα ἐν ἁμίλλῃ ἦν, ἀλλήλους νικᾶν ἐν ταῖς εὐποιΐαις φιλονεικούντων, καὶ οὐκ ἦν ὁ ἡττώμενος. ἴση τις ἀμφοτέρων ἡ ἐπ' ἀλλήλοις χαρά. ἡ μὲν ἀρετῆς ἆθλον εἶχε τὸν τῆς οἰκουμένης προτεταγμένον· ὁ δὲ μικρὰν ἡγεῖτο γῆς τε καὶ θαλάσσης τὴν ἐξουσίαν συγκρίσει τοῦ κατ' αὐτὴν εὐτυχήματος. ἴσας ἀλλήλοις ἀντιπαρεῖχον τὰς εὐφροσύνας, ἀλλήλους τε βλέποντες, καὶ ὑπ' ἀλλήλων ὁρώμενοι. ὁ μὲν τοιοῦτος ἦν, οἷός ἐστι. ποῖον γάρ τις κάλλος ὑπὲρ τὸ φαινόμενον δείξειε; καὶ εἴπερ διαρκέσαι καὶ εἰς ἐκγόνων ζωὴν τὸ ὁρώμενον. τὴν δὲ, οἵα τις ἦν, οὐκ ἔστιν ὑποδεῖξαι τῷ λόγῳ. οὐ γὰρ ὑπολέλειπταί τι αὐτῆς δι' ἀκριβείας παρὰ τῆς τέχνης ὁμοίωμα. ἀλλ' εἰ καί τι γέγονεν ἐν γραφαῖς ἢ ἐν πλάσμασι, πάντα τῆς ἀληθείας ἐστὶν ἐνδεέστερα. τοιαῦτα καὶ μέχρι τούτου τὰ διηγήματα. τὰ δὲ ἐπὶ τούτοις οἷα; πάλιν βοᾶν ἀναγκάζομαι. καί μοι σύγγνωτε ὑπερβοῶντι τὸ πάθος. ὦ Θρᾴκη, τὸ φευκτὸν ὄνομα. ὦ δυστυχὲς χωρίον, ἔθιος ἐκ συμφορῶν γνωριζόμενον. ὦ πρότερον μὲν πολεμίῳ πυρὶ ταῖς τῶν βαρβάρων ἐπιδρομαῖς δῃωθεῖσα, νῦν δὲ τὸ κεφάλαιον τῆς κοινῆς συμφορᾶς ἐν ἑαυτῇ δεξαμένη. ἐκεῖθεν τὸ ἀγαθὸν ἀνεχώ-

πάζεται, ἐκεῖ ὁ φθόνος καὶ τῆς βασιλείας ἐκώμασεν, ἐκεῖ γέγονε τὸ τῆς οἰκουμένης ναυάγιον, ἐκεῖ καθάπερ ἐν κλύδωνι τῷ προβόλῳ προσπταίσαντες τῷ τῆς λύπης βυθῷ καταδεδύκαμεν. ὢ πονηρᾶς ἐκδημίας ἐκείνης, ἣ τὴν ὑποστροφὴν οὐκ ἀπέδωκεν. ὢ πικρῶν ὑδάτων, ὧν τὰς πηγὰς ἐπεπόθησεν, ὡς οὐκ ὤφειλεν. ὢ χωρίον, ἐν ᾧ τὸ πάθος ἐγένετο, διὰ τὸ πάθος τῇ σκοτομήνῃ ἐπώνυμον· ἀκούω γὰρ καὶ τὴν πάτριον αὐτῶν γλῶσσαν Σκότουμιν τὸν τόπον ἐπονομάζεσθαι. ἐκεῖ ἐσκοτίσθη ὁ λύχνος, ἐκεῖ κατεσβέσθη τὸ φέγγος, ἐκεῖ αἱ ἀκτῖνες τῶν ἀρετῶν ἠμαυρώθησαν. οἴχεται τῆς Βασιλείας τὸ ἐγκαλλώπισμα, τὸ τῆς δικαιοσύνης πηδάλιον, ἡ τῆς φιλανθρωπίας εἰκών, μᾶλλον δὲ αὐτὸ τὸ ἀρχέτυπον· ἀφῃρέθη τῆς φιλανδρίας ὁ τύπος, τὸ ἁγνὸν τῆς σωφροσύνης ἀνάθημα, ἡ εὐπρόσιτος σεμνότης, ἡ ἀκαταφρόνητος ἡμερότης, ἡ ὑψηλὴ ταπεινοφροσύνη, ἡ πεπαρρησιασμένη αἰδώς, ἡ σύμμικτος τῶν ἀγαθῶν ἁρμονία. οἴχεται ὁ τῆς πίστεως ζῆλος, ὁ τῆς Ἐκκλησίας στύλος, ὁ τῶν θυσιαστηρίων κόσμος, ὁ τῶν πενομένων πλοῦτος, ἡ πολυαρκὴς δεξιά, ὁ κοινὸς τῶν καταπονουμένων λιμήν. πενθείτω ἡ παρθενία, θρηνείτω ἡ χηρεία, ὀδυρέσθω ἡ ὀρφανία. γνώτωσαν τί εἶχον, ὅτε οὐκ ἔχουσι. μᾶλλον δὲ τί χρή με κατὰ μέρη, καὶ τάξεις διαιρεῖν τὸν θρῆνον; στεναζέτω πᾶσα ἡ φύσις, βύθιον ἐκ μέσης καρδίας τὸν στεναγμὸν ἀναπέμπουσα. συμπενθείτω καὶ ἡ Ἱερωσύνη αὐτὴ, τὸν κοινὸν κόσμον τοῦ φθόνου ἀποσυλήσαντος. ἆρα μὴ τολμηρὸν τὸ τοῦ προφήτου εἰπεῖν; τὸ, ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος; καὶ διωργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; ποίων ἁμαρτημάτων τὰς δίκας ἐκτιννύομεν; ὑπὲρ τίνων ταῖς ἐπαλλήλοις τῶν συμφορῶν μαστιζόμεθα; ἢ τάχα διὰ τὸ πλεονάσαι τὴν ἀσέβειαν τῶν ποικίλων αἱρέσεων, αὕτη καθ' ἡμῶν ἡ ψῆφος ἐκράτησεν; ὁρᾶτε γὰρ οἵοις κακοῖς ἐν βραχεῖ συνηνέχθημεν χρόνῳ. οὔπω ἐπὶ τῇ προτέρᾳ πληγῇ ἀναπνεύσαντες, οὔπω τὸ δάκρυον τῶν ὀφθαλμῶν ἀποψήσαν·

φανείς, πάλιν ἐν τοσαύτῃ γεγόναμεν συμφορᾷ. τότε τὸ νεοθαλὲς ἄνθος ἀπωδυρόμεθα, καὶ αὐτὸ τὸ ἔρνος, ἀφ' οὗ τὸ ἄνθος ἐβλάστησε. τότε τὴν ἐλπιζομένην ὥραν, καὶ τὴν ἀκμάσασαν. τότε τὸ προσδοκώμενον ἀγαθὸν, καὶ τὸ ἐν πείρᾳ ἠδόμενον. ἆρά μοι συγγνώσεσθε, Ἀδελφοὶ, εἴ τι διὰ τὸ πάθος παραληρήσαιμι; τάχα, καθώς φησιν ὁ Ἀπόστολος, καὶ αὐτὴ ἡ κτίσις τῷ ἡμετέρῳ κακῷ συνεστέναξεν. ὑπομνήσω δὲ τῶν γεγονότων ὑμᾶς, καὶ οἶμαι τοὺς πολλοὺς τοῖς λεγομένοις συνεπιστήσεσθαι. ὅτε χρυσῷ καὶ πορφυρίδι κεκαλυμμένη ἐπὶ τὴν πόλιν ἡ Βασιλὶς ἐκομίζετο (κλίνη δὲ ἦν ἡ κομίζουσα) καὶ πᾶσα ἀξία, καὶ ἡλικία πᾶσα προχυθεῖσα τοῦ ἄστεος, ἀπεστενοχώρει διὰ τοῦ πλήθους τὸ ὕπαιθρον, πάντων ἐκ ποδῶν καὶ τῶν ὑπερεχόντων τοῖς ἀξιώμασι προπομπευόντων τοῦ πάθους· μέμνησθε πάντως, ὅπως ὁ ἥλιος ταῖς νεφέλαις τὰς ἀκτῖνας ἑαυτοῦ συγκάλυψεν, ὡς ἂν μὴ ἴδοι τάχα καθαρῷ τῷ φωτὶ μετὰ τοιούτου σχήματος εἰσελαυνομένην τὴν Βασιλίδα τῇ πόλει, οὐκ ἐπὶ ἅρματός τινος, ἢ χρυσοδέτου ἀπήνης, καὶ τὸν βασίλειον κόσμον τοῖς δορυφόροις ἀγαλλομένην, ἀλλ' ἐν ζόφῳ κεκαλυμμένην, ἐπικρυπτομένην τὸ εἶδος ἐκεῖνο τῷ σκυθρωπῷ προκαλύμματι. θέαμα δεινόν τε καὶ ἐλεεινὸν, δακρύων ἀφορμὴ προκειμένη τοῖς ἐντυγχάνουσιν, ἣν ἅπας τῶν συνειλεγμένων ὁ ἔπηλύς τε ὁ ἐγχώριος οὐκ εὐφημίαις, ἀλλὰ θρήνοις εἰσιοῦσαν ἐδέχετο. τότε καὶ ὁ ἀὴρ πενθικῶς ἐσκυθρώπασεν, οἷον ἱμάτιόν τι πενθικὸν τὸν ζόφον περιβαλλόμενος. ἀλλὰ καὶ αἱ νεφέλαι, καθὼς δυνατὸν αὐταῖς ἦν, ἐπεδάκρυον, ἁπαλὰς ψεκάδας ἀντὶ δακρύων ἐπαφιεῖσαι τῷ πάθει. ἢ ταῦτα μὲν ὄντως λῆρός ἐστι, καὶ οὐδὲ λέγειν ἄξιον; εἰ γάρ τι καὶ γέγονεν ἐν τῇ κτίσει τοιοῦτον, οἷον ἐπισημῆναι τὴν συμφορὰν, οὐ παρὰ τῆς κτίσεως γέγονε πάντως, ἀλλὰ παρὰ τοῦ Δεσπότου τῆς κτίσεως, τιμῶντος δι' ὧν ἐποίει τῆς Ὁσίας τὸν θάνατον. τίμιος γάρ φησιν, ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ὁσίων αὐτοῦ. εἰ δὲ

δὲ ἐγὼ τότε ἕτερον θέαμα τῶν εἰρημένων παραδοξότερον. εἶδον διπλοῦν ὄμβρον, τὸν μὲν ἐκ τοῦ ἀέρος, τὸν δὲ ἐκ τῶν δακρύων ἐπὶ τὴν γῆν καταρρέοντα. καὶ οὐκ ἦν ὁ ἐξ ὀφθαλμῶν ὑετὸς τοῦ ἐκ τῶν νεφῶν ἐνδεέστερος. ἐν γὰρ τοσαύταις μυριάσι τῶν συμπαρόντων οὐκ ἦν ὀφθαλμὸς, ὁ μὴ καταβρέχων τὴν γῆν ταῖς τῶν δακρύων σταγόσιν. ἀλλ' οὐ καλῶς τάχα τῆς Διδασκάλου γνώμης ἐστοχασάμεθα, πλέον ἢ ἔδει τοῖς σκυθρωποῖς ἐμβαθύναντες. ἴσως γὰρ βούλεται θεραπεῦσαι μᾶλλον, ἢ ἀνιᾶσαι τὴν ἀκοήν. ἡμεῖς δὲ τὸ ἐναντίον νῦν πεποιήκαμεν. ὥσπερ ἂν εἴ τις ἰατρὸς τραυματίαν λαβὼν, μὴ μόνον ἀμελοίη τῆς θεραπείας, ἀλλὰ καὶ βρωτικοῖς τισι φαρμάκοις προσεπιτρίβοι τὸν ὀδυνώμενον· οὐκοῦν ἐπαντλητέον τὸν ἐλαιώδη λόγον τῇ διοιδούσῃ πληγῇ. οἶδε γὰρ καὶ ἡ Εὐαγγελικὴ ἰατρεία τῇ στύψει τοῦ οἴνου καταμιγνύειν τὸ ἔλαιον. ἐπαλείψωμεν οὖν ὑμῖν, παρὰ τῆς γραφῆς λαβόντες τὴν τοῦ ἐλαίου καμψάκην, ὡς ἔστι δυνατὸν τὸ σκυθρωπὸν τῶν εἰρημένων εἰς παραμυθίαν παλινῳδήσαντες. ἀλλά μοι μηδεὶς ἀπιστείτω τῶν λεγομένων, κἂν παράδοξον ᾖ. ἔστιν, Ἀδελφοὶ, τὸ ἀγαθὸν, ὃ ζητοῦμεν, ἔστι, καὶ οὐκ ἀπόλωλε, μᾶλλον δὲ μικρότερον εἶπον τῆς ἀληθείας. οὐ μόνον γάρ ἐστι τὸ ἀγαθὸν, ἀλλὰ καὶ ἐν ὑψηλοτέροις ἢ πρότερον. τὴν Βασιλίδα ζητεῖς; ἐν τοῖς βασιλείοις τὴν διαγωγὴν ἔχει. ἀλλ' ὀφθαλμῷ γνῶναι τοῦτο ποθεῖς; οὐκ ἔξεστί σοι Βασιλίδος θέαν περιεργάζεσθαι. φοβερὰ περὶ αὐτὴν ἡ τῶν δορυφόρων φρουρά. οὐ τούτων λέγω τῶν δορυφόρων, οἷς σίδηρος τὸ ὅπλον ἐστὶν, ἀλλὰ τῶν τῇ φλογίνῃ ῥομφαίᾳ καθωπλισμένων, ὧν τὸ εἶδος ἀνθρώπων ὄψις οὐχ ὑποδέχεται. ἐν οἷς ἀπορρήτοις τῆς Βασιλείας ἡ οἴκησις, τότε ὄψει, ὅταν καὶ σὺ παρακύψῃς τοῦ σώματος. οὐ γάρ ἐστιν ἄλλως ἐντὸς τῶν ἀδύτων τῆς βασιλείας γενέσθαι, μὴ διασχόντα τὸ τῆς σαρκὸς παραπέτασμα. ἢ κρεῖττον οἴει τὸ διὰ σαρκὸς μετέχειν τοῦ βίου; οὐκοῦν παιδευσάτω σε ὁ θεῖος Ἀπόστολος, ὁ τῶν ἀπορρήτων τοῦ

Παραδείσου μετεσχηκὼς μυστηρίων. τί λέγει περὶ τῆς ὧδε ζωῆς; τάχα ἐκ τοῦ κοινοῦ τῶν ἀνθρώπων φθεγγόμενος· ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἀπὸ τοῦ σώματος τοῦ θανάτου τούτου; διατί τοῦτο λέγει; ὅτι τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι πολλῷ κρεῖττον φησί. τί δὲ ὁ μέγας Δαβίδ, ὁ τοσαύτῃ δυναστείᾳ κομῶν, ὁ πάντα πρὸς ἡδονὴν καὶ κατ' ἐξουσίαν εἰς ἀπόλαυσιν ἔχων; οὐ στενοχωρεῖται τῷ βίῳ; οὐ φυλακὴν ὀνομάζει τὴν ὧδε ζωήν; οὐ βοᾷ πρὸς τὸν Κύριον· ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου; οὐ πρὸς τὴν παράτασιν τῆς ζωῆς δυσχεραίνει, οἴμοι, λέγων, ὅτι ἡ παροικία μου ἐμακρύνθη; ἢ οὐκ ᾔδεισαν διακρῖναι οἱ Ἅγιοι τὸ καλὸν ἐκ τοῦ χείρονος, καὶ διὰ τοῦτο προτιμοτέραν ᾤοντο τῇ ψυχῇ τὴν ἀπὸ σώματος ἔξοδον; σὺ δὲ, τί καλὸν, εἰπέ μοι, περὶ τὸν βίον ὁρᾷς; κατανόησον ἐν τίσιν ἡ ζωὴ θεωρεῖται. οὐ λέγω σοι τὴν τοῦ Προφήτου φωνήν, ὅτι πᾶσα σὰρξ χόρτος. σεμνύνει γὰρ ἐκεῖνος μᾶλλον τῷ ὑποδείγματι τὴν τῆς φύσεως ἀθλιότητα. τάχα γὰρ κρεῖττον ἦν χόρτον εἶναι μᾶλλον, ἢ ὅπερ ἐστί; διατί; ὅτι οὐδεμίαν ὁ χόρτος ἐκ φύσεως ἀηδίαν ἔχει. ἡ δὲ σὰρξ ἡμῶν, δυσοσμίας ἐστὶν ἐργαστήριον, ἅπαν τὸ ληφθὲν εἰς διαφθορὰν ἀγουσα. τὸ δὲ τὸν ἅπαντα χρόνον ἀποκεῖσθαι τῇ τῆς γαστρὸς λειτουργίᾳ, ποίας τιμωρίας οὐκ ἔστιν ἀνιαρώτερον; ὁρᾶτε γὰρ τοῦτον τὸν διηνεκῆ φορολόγον, τὴν γαστέρα, λέγω, ὅσην ἐπάγει καθ' ἡμέραν τὴν ἀνάγκην τῆς ἀπαιτήσεως; ᾧ κἄν ποτε πλέον τοῦ τεταγμένου προκαταβάλωμεν, οὐδὲν τοῦ ἐφεξῆς χρέους προεξετίσαμεν. καθ' ὁμοιότητα τῶν ἐν τῷ μύλωνι ταλαιπωρούντων ζώων κεκαλυμμένοις τοῖς ὀφθαλμοῖς τὴν τοῦ βίου μύλην περιερχόμεθα, ἀεὶ διὰ τῶν ὁμοίων περιχωροῦντες, καὶ ἐπὶ τὰ αὐτὰ ἀναστρέφοντες. εἴπω σοι τὴν κυκλικὴν ταύτην περίοδον. ὄρεξις, κόρος· ὕπνος, ἐγρήγορσις· κένωσις, πλήρωσις. ἀεὶ ἀπ' ἐκείνων ταῦτα, καὶ ἀπὸ τούτων ἐκεῖνα, καὶ πάλιν ταῦτα. καὶ οὐδέποτε κύκλῳ περιϊόντες παυόμεθα, ἕως ἂν ἔξω τοῦ μύλω-

γος ἠρνώμεθα. καλῶς ὁ Σολομῶν πίθον τετρημένον, καὶ οἶκον ἀλλότριον ὀνομάζει τὸν ὧδε βίον. ὄντως γὰρ ἀλλότριος οἶκος καὶ οὐχ ἡμέτερος, ὅτι οὐκ ἐφ' ἡμῖν ἐστιν, ἢ ὅτε βουλόμεθα, ἢ ἐφ' ὅσον ἐπιποθοῦμεν, ἐν αὐτῷ εἶναι· ἀλλὰ καὶ εἰσαγόμεθα ὡς οὐκ οἴδαμεν, καὶ ἐξοικιζόμεθα, ὅτε οὐκ οἴδαμεν. τὸ δὲ τοῦ πίθου αἴνιγμα νοήσεις, ἐὰν εἰς τὸ ἀπλήρωτον τῶν ἐπιθυμιῶν ἀποβλέψῃς. ὁρᾷς πῶς ἐπαντλοῦσιν ἑαυτοῖς οἱ ἄνθρωποι τὰς τιμάς, τὰς δυναστείας, τὰς δόξας, καὶ πάντα τὰ τοιαῦτα; ἀλλ' ἀπορρεῖ τὸ βαλλόμενον, καὶ οὐ παραμένει τῷ ἔχοντι. ἡ μὲν γὰρ περὶ τὴν δόξαν καὶ τὴν δυναστείαν καὶ τὴν τιμὴν σπουδὴ, πάντοτε ἐνεργεῖται· ὁ δὲ τῆς ἐπιθυμίας πίθος μένει ἀπλήρωτος. τί δὲ φιλοχρηματία; οὐκ ἀληθῶς πίθος τετρημένος ἐστὶν, ὅλῳ τῷ πυθμένι ῥέων; ᾧ κἂν πᾶσαν ἐπαντλήσῃς τὴν θάλασσαν, πληρωθῆναι φύσιν οὐκ ἔχει. τί οὖν λυπηρὸν, εἰ τῶν τοῦ βίου κακῶν ἡ μακαρία κεχώρισται, καὶ ὥσπερ τινὰ λήμην τὸν τοῦ σώματος ῥύπον ἀποβαλοῦσα, καθαρᾷ τῇ ψυχῇ πρὸς τὴν ἀκήρατον ζωὴν μετανίσταται; ἐν ᾗ ἀπάτη οὐ πολιτεύεται, διαβολὴ οὐ πιστεύεται, κολακεία χώραν οὐκ ἔχει, ψεῦδος οὐ καταμίγνυται, ἡδονή τε καὶ λύπη, καὶ φόβος καὶ θάρσος, καὶ πενία καὶ πλοῦτος, καὶ δουλεία καὶ κυριότης, καὶ πᾶσα ἡ τοιαύτη τοῦ βίου ἀνωμαλία, ὡς πορρωτάτω τῆς ζωῆς ἐκείνης ἐξώρισται. ἀπέδρα ἐκεῖθεν, καθώς φησιν ὁ Προφήτης, ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. ἀντὶ δὲ τούτων τί; ἀπάθεια, μακαριότης, κακοῦ παντὸς ἀλλοτρίωσις, Ἀγγέλων ὁμιλία, τῶν ἀοράτων θεωρία, Θεοῦ μετουσία, εὐφροσύνη τέλος οὐκ ἔχουσα. ἆρ' οὖν λυπεῖσθαι προσήκει περὶ τῆς Βασιλίδος, μαθόντας οἷα ἀνθ' οἵων ἠλλάξατο; κατέλιπε βασιλείαν γηΐνην, ἀλλὰ τὴν οὐράνιον κατέλαβεν. ἀπέθετο τὸν ἐκ λίθων στέφανον, ἀλλὰ τὸν τῆς δόξης περιεθήκατο· ἀπεδύσατο τὴν πορφυρίδα, ἀλλὰ Χριστὸν ἐνεδύσατο. τοῦτό ἐστι τὸ βασιλικὸν ὄντως καὶ τίμιον ἔνδυμα. τὴν ὧδε πορφύραν ἀκούω αἵματι κόχλου

τι-

τινὸς θαλασσίας φοινίσσεσθαι, τὴν δὲ ἄνω πορφύραν τὸ τοῦ Χριστοῦ αἷμα λάμπειν ποιεῖ. εἶδες ὅσον ἐν τῷ ἐνδύματι τὸ διάφορον; βούλει πεισθῆναι ὅτι ἐν ἐκείνοις ἐστίν; ἀνάγνωθι τὸ Εὐαγγέλιον· δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, φησὶ ταῦτα πρὸς τοὺς δεξιοὺς ὁ Κριτὴς, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. τὴν παρὰ τίνος ἡτοιμασμένην; ἣν ἑαυτοῖς, φησὶ, διὰ τῶν ἔργων προητοιμάσατε· πῶς; ἐπείνων, ἐδίψων, ξένος ἤμην, γυμνὸς, ἀσθενὴς, ἐν φυλακῇ· ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. εἰ οὖν ἡ περὶ ταῦτα σπουδὴ βασιλείας πρόξενος γίνεται, ἀριθμήσατε, εἴπερ δυνατόν ἐστιν ἐξαριθμήσασθαι, πόσοι τοῖς ἐνδύμασι τοῖς παρ' αὐτῆς ἐσκεπάσθησαν; πόσοι τῇ μεγάλῃ ἐκείνῃ δεξιᾷ διετράφησαν; πόσοι τῶν κατακλείστων οὐκ ἐπισκέψεως μόνον, ἀλλὰ καὶ παντελοῦς ἀφέσεως ἠξιώθησαν; εἰ δὲ τὸ ἐπισκέψασθαι τὸν κατάκλειστον προξενεῖ βασιλείαν, τὸ ἐλευθερῶσαι τῆς τιμωρίας δηλαδὴ πλείονος τιμῆς ἄξιον; εἴπερ τι βασιλείας ἐστὶν ἀνώτερον. ἀλλ' οὐ μέχρι τούτων ἐστὶν ἐκείνης ὁ ἔπαινος. παρέρχεται γὰρ καὶ τὰ προστεταγμένα τοῖς κατορθώμασιν. πόσοι δὲ ἐκείνην τὴν τῆς ἀναστάσεως χάριν ἐφ' ἑαυτῶν ἐγνώρισαν, οἱ τοῖς νόμοις ἀποθανόντες, καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον δεξάμενοι, πάλιν δι' αὐτῆς εἰς τὴν ζωὴν ἀνεκλήθησαν; ἐν ὀφθαλμοῖς τῶν εἰρημένων ἡ μαρτυρία. εἶδες παρὰ τὸ θυσιαστήριον ἀπογνόντα τὴν σωτηρίαν μειράκιον; εἶδες γυναῖκα ἐπὶ κατακρίσει ἀδελφοῦ ὀδυρομένην, τοῦ τὰ ἀγαθὰ τῇ Ἐκκλησίᾳ κηρύσσοντος, ὅπως τῇ μνήμῃ τῆς Βασιλίδος ἡ σκυθρωπὴ τοῦ θανάτου ψῆφος εἰς ζωὴν ἀναλύεται; ἆρα καὶ μόνον ταῦτα; τὴν δὲ ταπεινοφροσύνην ποῦ θήσομεν; ἣν προτιμοτέραν ἡ γραφὴ ποιεῖται παντὸς τοῦ κατ' ἀρετὴν κατορθώματος. ἥτις συνηνιοχοῦσα τῷ μεγάλῳ βασιλεῖ τὴν τοσαύτην ἀρχὴν, πάσης δυναστείας ὑποκυπτούσης, τοσούτων ἐθνῶν ὑποφόρους τελούντων, γῆς τε καὶ θαλάττης ἐκ τῶν οἰκείων ἑκατέρας δο-

ρυφορούσης, οὐκ ἔδωκε καθ' ἑαυτῆς τῷ τύφῳ, ἀεὶ πρὸς ἑαυτὴν, οὐκ εἰς τὰ ἔξω ἑαυτῆς ἀποβλέπουσα. διὰ τοῦτο τοῦ μακαρισμοῦ γίνεται κληρονόμος, διὰ τῆς προσκαίρου ταπεινοφροσύνης τὸ ἀληθινὸν ὕψος ἐμπορευσαμένη. εἴπω τι καὶ τῆς φιλανδρίας τεκμήριον. ἔδει πάντως, διαλυομένης τῆς σωματικῆς συζυγίας, καὶ τὰ τίμια τῶν προσόντων αὐτῆς ἀγαθῶν ἐλθεῖν εἰς διαίρεσιν. πῶς οὖν ἐποιήσατο τὴν διανομήν; τριῶν ὄντων τέκνων (ταῦτα γὰρ τῶν ἀγαθῶν τὰ κεφάλαια) τοὺς ἄῤῥενας τῷ Πατρὶ προσκατέλιπεν, ὥστε εἶναι αὐτοῦ τῆς βασιλείας ἐρείσματα. τῆς δὲ ἰδίας μερίδος μόνην τὴν θυγατέρα ἀποπεποίηται. ὁρᾷς πῶς εὐγνώμων τε καὶ φιλόστοργος, ἐν τοῖς τιμίοις τὸ πλέον τῷ ἀνδρὶ συγχωρήσασα; ἀλλ' ὃ μάλιστα παρ' ἡμῶν λέγεσθαι χρὴ, τοῦτο προσθεὶς, καταπαύσω τὸν λόγον. τὸ τῶν εἰδώλων μῖσος κοινὸν πάντων ἐστὶ τῶν μετεχόντων τῆς πίστεως. ἀλλ' ἐκείνης ἐξαίρετον, τὸ τὴν Ἀρειανὴν ἀπιστίαν ὁμοίως τῇ εἰδωλολατρείᾳ βδελύττεσθαι. τοὺς γὰρ ἐν τῇ κτίσει τὸ θεῖον εἶναι νομίζοντας, οὐδὲν ἐλάττονα σέβειν ᾤετο τῶν εἰδωλοποιούντων τὰς ὕλας, καλῶς καὶ εὐσεβῶς τοῦτο κρίνουσα· ὁ γὰρ τὸ κτίσμα προσκυνῶν, κἂν ἐπ' ὀνόματι τοῦ Χριστοῦ τοῦτο ποιῇ, εἰδωλολάτρης ἐστὶ, Χριστοῦ ὄνομα τῷ εἰδώλῳ θέμενος. διὰ τοῦτο μαθοῦσα, ὅτι οὐκ ἔστι Θεὸς πρόσφατος, μίαν προσκυνεῖ Θεότητα, τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ δοξαζομένην. ταύτῃ ἐνηυξήθη τῇ πίστει, ταύτῃ ἐνήκμασε, ταύτῃ τὸ πνεῦμα παρακατέθετο. ὑπὸ ταύτης προσήχθη τῷ κόλπῳ τοῦ Πατρὸς τῆς πίστεως Ἀβραὰμ παρὰ τὴν τοῦ Παραδείσου πηγήν. ἧς ἡ ῥανὶς ἐπὶ τοὺς ἀπίστους οὐκ ἔρχεται, ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς τοῦ πεφυτευμένου παρὰ τὰς διεξόδους τῶν ὑδάτων. ὧν καὶ ἡμεῖς ἀξιωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

# τοῦ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΜΕΛΕΤΙΟΝ

## Ἀρχιεπίσκοπον Ἀντιοχείας Ἐπιτάφιος.

ΗΥ'ξησεν ἡμῖν τὸν ἀριθμὸν τῶν Ἀποστόλων ὁ νέος Ἀπόστολος, ὁ συγκαταψηφισθεὶς μετὰ τῶν Ἀποστόλων. Εἵλκυσαν γὰρ οἱ Ἅγιοι πρὸς ἑαυτοὺς τὸν ὁμότροπον, τὸν ἀθλητὴν οἱ ἀθληταὶ, τὸν στεφανίτην οἱ στεφανῖται, τὸν ἁγνὸν τῇ ψυχῇ οἱ καθαροὶ τῇ καρδίᾳ, τὸν κήρυκα τοῦ λόγου οἱ ὑπηρέται τοῦ Λόγου. ἀλλὰ μακαριστὸς μὲν ὁ Πατὴρ ἡμῶν, τῆς τε Ἀποστολικῆς συσκηνίας, καὶ τῆς πρὸς τὸν Χριστὸν ἀναλύσεως, ἐλεεινοὶ δὲ ἡμεῖς· οὐ γὰρ ἐᾷ μακαρίζειν ἡμᾶς τοῦ Πατρὸς τὴν εὔκληρίαν, ἡ ἀωρία τῆς ὀρφανίας. ἐκείνῳ κρεῖττον ἦν τὸ σὺν Χριστῷ εἶναι διὰ τῆς ἀναλύσεως, ἀλλ' ἡμῖν χαλεπὸν τὸ διαζευχθῆναι τῆς πατρικῆς προστασίας. ἰδοὺ γὰρ βουλῆς καιρὸς, καὶ ὁ συμβουλεύων σιγᾷ. πόλεμος ἡμᾶς περιεστοίχισαι, πόλεμος αἱρετικὸς, καὶ ὁ στρατηγῶν οὐκ ἔστι. κάμνει ταῖς ἀῤῥωστίαις τὸ κοινὸν σῶμα τῆς Ἐκκλησίας, καὶ τὸν ἰατρὸν οὐχ εὑρίσκομεν. ὁρᾶτε ἐν ποταποῖς τὰ ἡμέτερα; ἐβουλόμην, εἴπως οἷόν τε ἦν, τονώσας ἐμαυτοῦ τὴν ἀσθένειαν, συναναβῆναι τῷ ὄγκῳ τῆς συμφορᾶς, καί τινα ῥῆξαι φωνὴν κατ' ἀξίαν τοῦ πάθους. καθάπερ οἱ γενναῖοι πεποιήκασιν οὗτοι, μεγαλοφώνως τὴν ἐπὶ τῷ Πατρὶ συμφορὰν ὀδυρόμενοι. ἀλλὰ τί πάθω; πῶς βιάσομαι γλῶσσαν εἰς ὑπηρεσίαν τοῦ λόγου, καθάπερ τινὶ πέδῃ βαρείᾳ τῇ συμφορᾷ πεδηθεῖσαν; πῶς ἀνοίξω στόμα τῇ ἀφασίᾳ κεκρατημένον; πῶς προῶμαι φωνὴν, εἰς πάθη καὶ θρήνους κατὰ συνηθείας καταλιθαίνουσαν; πῶς ἀναβλέψω τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, τῷ τῆς συμφορᾶς γνόφῳ κεκαλυμμένος; τίς μοι διασχὼν τὴν βαθεῖαν ταύτην καὶ σκοτεινὴν τῆς λύπης νεφέλην, πάλιν ἐξ αἰθρίας λαμπρὰν ἀναδείξει τὴν τῆς εἰρή-

γῆς ἀκτῖνα; πόθεν δὲ καὶ ἀναλάμψει ἡ ἀκτίς, τοῦ φωστῆρος ἡμῖν καταδύντος; ὢ κακῆς σκοτομήνης, ἀνατολὴν φωστῆρος οὐκ ἐλπιζούσης. ὡς ἀπεναντίον ἡμῖν ἐν τῷ παρόντι τύπῳ, νῦν τε καὶ πρώην οἱ λόγοι γίνονται; τότε γαμικῶς ἐχορεύομεν, νῦν ἐλεεινῶς ἐπὶ τῷ πένθει στενάζομεν. τότε ἐπιθαλάμιον, νῦν ἐπιτάφιον ᾄδομεν. μέμνησθε γὰρ ὅτε τὸν πνευματικὸν ὑμᾶς γάμον εἱστιάσαμεν, τῷ καλῷ νυμφίῳ εἰσοικίζοντες τὴν παρθένον, καὶ τὰ τῶν λόγων ἕδνα κατὰ δύναμιν ἡμῶν εἰσηνεγκάμεθα, εὐφραίνοντες ἐν τῷ μέρει, καὶ εὐφραινόμενοι. ἀλλὰ νῦν εἰς θρῆνον ἡμῖν ἡ χαρὰ μεθηρμόσθη, καὶ ἡ τῆς εὐφροσύνης περιβολὴ, σάκκος ἐγένετο. Ἦ τάχα σιωπᾶν ἔδει τὸ πάθος, καὶ ἔνδον ἀποκλείειν τῇ σιωπῇ τὴν ἀλγηδόνα, ὡς ἂν μὴ διοχλοίημεν τοὺς ἐκ τοῦ νυμφῶνος, οὐκ ἔχοντες τὸ φαιδρὸν τοῦ γάμου ἔνδυμα, ἀλλὰ μελανειμονοῦντες τῷ λόγῳ; ἐπειδὴ γὰρ ἀπήρθη ἀφ' ἡμῶν ὁ καλὸς νυμφίος, ἀθρόως τῷ πένθει κατεμελανώθημεν, καὶ οὐκ ἔστι συνήθως καταφαιδρῦναι τὸν λόγον, τὴν κοσμοῦσαν ἡμᾶς στολὴν τοῦ φθόνου ἀποσυλήσαντος. Πλήρεις ἀγαθῶν πρὸς ὑμᾶς ἀπηντήκαμεν. γυμνοὶ καὶ πένητες ἀφ' ὑμῶν ὑποστρέφομεν. ὀρθὴν εἴχομεν ὑπὲρ κεφαλῆς τὴν λαμπάδα, πλουσίῳ τῷ φωτὶ καταλάμπουσαν· ταύτην ἐσβεσμένην ἀνακομίζομεν, εἰς καπνὸν καὶ κόνιν διαλυθέντος τοῦ φέγγους. Ἔχομεν τὸν θησαυρὸν τὸν μέγαν ἐν ὀστρακίνῳ σκεύει. ἀλλ' ὁ μὲν θησαυρὸς ἀφανής, τὸ δὲ ὀστράκινον σκεῦος, κενὸν τοῦ πλούτου τοῖς δεδωκόσιν ἐπανασώζεται. τί ἐροῦμεν οἱ ἀποστείλαντες; τί ἀποκρινοῦνται οἱ ἀπαιτούμενοι; ὢ πονηροῦ ναυαγίου πῶς ἐν μέσῳ τῷ λιμένι τῆς ἐλπίδος ἡμῶν ἐνναυαγήσαμεν; πῶς ἡ μυριοφόρος ὁλκὰς αὐτῷ τῷ πληρώματι καταδῦσα, γυμνοὺς ἡμᾶς τοὺς ποτὲ πλουτοῦντας κατέλιπε; ποῦ τὸ λαμπρὸν ἱστίον ἐκεῖνο τὸ τῷ Ἁγίῳ Πνεύματι διὰ παντὸς ἰθυνόμενον; ποῦ τὸ ἀσφαλὲς τῶν ψυχῶν ἡμῶν πηδάλιον, δι' οὗ τὰς τρικυμίας τὰς αἱρετικὰς ἀπαθῶς παρεπλέομεν; ποῦ

ἡ ἀμε-

ἡ ἀμετάθετος τῆς γνώμης ἄγκυρα, ἢ μετὰ πάσης ἀσφαλείας πεπονηκότες ἀνεπαυόμεθα; ποῦ ὁ καλὸς κυβερνήτης, ὁ πρὸς τὸν ἄνω σκοπὸν διιθύνων τὸ σκάφος; ἆρα μικρὰ τὰ συμβάντα, καὶ μετρίως παθαίνομαι, ἢ μᾶλλον οὐκ ἐφικνοῦμαι τοῦ πάθους, κἂν ὑπερφωνήσω τῷ λόγῳ; κλαύσατε ἡμῖν, ἀδελφοί, κλαύσατε τὸ ἐκ συμπαθείας δάκρυον. Καὶ γὰρ ὅτε ὑμεῖς εὐφραίνεσθε, ἡμεῖς τῆς εὐφροσύνης ὑμῶν ἐκοινωνήσαμεν. οὐκοῦν ἀπόδοτε ἡμῖν τὸ πονηρὸν τοῦτο ἀντάλλαγμα. χαίρειν μετὰ χαιρόντων, τοῦτο ἡμεῖς ἐποιήσαμεν. κλαίειν μετὰ κλαιόντων, τοῦτο ὑμεῖς ἀνταπόδοτε. ἐδάκρυσέ ποτε ξένος λαὸς ἐπὶ τοῦ Πατριάρχου Ἰακὼβ, καὶ τὴν ἀλλοτρίαν συμφορὰν ᾠκειώσατο, ὅτε τὸν πατέρα ἐξ Αἰγύπτου οἱ ἀπ' ἐκείνου μετακομίσαντες, πανδημεὶ τὴν ἐπ' αὐτῷ συμφορὰν ἐπὶ τῆς ἀλλοτρίας κατωλοφύραντο, ἡμέραις τριάκοντα, καὶ τοσαύταις νυξὶ τὸν ἐπ' αὐτῷ θρῆνον συμπαρατείνοντες. μιμήσασθε τοὺς ἀλλοφύλους, ἀδελφοὶ καὶ ὁμόφυλοι. κοινὸν ἦν τότε τῶν ξένων, καὶ τῶν ἐγχωρίων τὸ δάκρυον, κοινὸν ἔστω καὶ νῦν, ἐπεὶ καὶ τὸ πάθος κοινόν. ὁρᾶτε τοὺς Πατριάρχας τούτους; πάντες οὗτοι τέκνα τοῦ ἡμετέρου εἰσὶν Ἰακὼβ, ἐξ ἐλευθέρας οἱ πάντες, οὐδεὶς νόθος, οὐδὲ ὑπόβλητος. οὐδὲ γὰρ ἦν θέμις ἐκείνῳ δουλικὴν συγγένειαν ἐπισάγειν τῇ εὐγενείᾳ τῆς πίστεως. οὐκοῦν καὶ ἡμέτερος ἐκεῖνος πατὴρ, διότι τοῦ παιδὸς ἦν τοῦ ἡμετέρου πατήρ. Ἠκούσατε ἀρτίως τοῦ Ἐφραὶμ, καὶ τοῦ Μανασσῆ, οἷα, καὶ ὅσα περὶ τοῦ παιδὸς διηγήσαντο, ὡς ὑπερβαίνειν λόγον τὰ θαύματα· δότε κἀμοὶ περὶ τούτων εἰπεῖν. καὶ γὰρ ἀκίνδυνον τὸ μακαρίζειν λοιπόν. οὔτε φοβοῦμαι τὸν φθόνον. τί γάρ με χεῖρον ἐργάσεται; οὐκοῦν γνῶτε, τίς ὁ ἀνήρ. Εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν, ἄμεμπτος, δίκαιος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. οὐ γὰρ δὴ ζηλοτυπήσει ὁ μέγας Ἰὼβ, εἰ ταῖς περὶ αὐτοῦ μαρτυρίαις καὶ ὁ μιμητὴς ἐκείνου ἐγκαλλωπίζοιτο. ἀλλ' ὁ τὰ καλὰ πάντα βλέπων φθόνος, εἶδε καὶ τὸ ἡμέτερον ἀγαθὸν

πικρῷ τῷ ὀφθαλμῷ. καὶ ὁ ἐμπεριπατήσας τῇ οἰκουμένῃ, καὶ δι᾿ ἡμῶν περιπατήσας, πλατὺ τὸ ἴχνος τῆς θλίψεως ταῖς διωραγίαις ἡμῶν ἐναπερείσας. οὐ βοῶν καὶ προβάτων ἀγέλας διελυμήνατο. (πλὴν εἰ μὴ ἄρα τις κατὰ τὸ μυστικὸν εἰς τὴν Ἐκκλησίαν μεταλάβοι τὸ ποίμνιον·) πλὴν οὐκ ἐν τούτοις ἡμῖν παρὰ τοῦ φθόνου ἡ βλάβη. οὐδὲ ἐν ὄνοις καὶ καμήλοις τὴν ζημίαν εἰργάσατο, οὐδὲ καύματι σαρκὸς τὰς αἰσθήσεις ἐξέμυξεν, ἀλλ᾿ ἡμᾶς τῆς κεφαλῆς ἀπεσύλησε. τῇ δὲ κεφαλῇ συναπῆλθε τὰ τίμια ἡμῶν αἰσθητήρια. Οὐκέτι ἐστὶν ὀφθαλμὸς, ὁ τὰ οὐράνια βλέπων, οὐδὲ ἀκοὴ, τῆς θείας φωνῆς ἐπαΐουσα, οὐδὲ ἡ γλῶσσα ἐκείνη, τὸ ἁγνὸν ἀνάθημα τῆς ἀληθείας. ποῦ ἡ γλυκεῖα τῶν ὀμμάτων γαλήνη; ποῦ τὸ φαιδρὸν ἐπὶ τοῦ χείλους μειδίαμα; ποῦ ἡ εὐπροσήγορος δεξιὰ, τῇ τοῦ στόματος εὐλογίᾳ τοὺς δακτύλους συνεπισείουσα; προάγομαι δὲ ὡς ἐπὶ σκηνῆς ἀναβοῆσαι τὴν συμφοράν. ἐλεῶ σε, ὦ Ἐκκλησία. πρὸς σὲ λέγω, τὴν Ἀντιόχου πόλιν. ἐλεῶ σε τῆς ἀθρόας ταύτης μεταβολῆς. πῶς ἀπεκοσμήθη τὸ κάλλος; πῶς ἀπεσυλήθη ὁ κόσμος; πῶς ἐξαίφνης ἀπεῤῥύη τὸ ἄνθος; ὄντως ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. τίς ὀφθαλμὸς πονηρός; τίς βασκανία κακὴ κατὰ τῆς Ἐκκλησίας ἐκείνης ἐκώμασεν; οἷα ἀνθ᾿ οἵων ἠλλάξατο; ἐξέλιπεν ἡ πηγὴ, ἐξηράνθη ὁ ποταμός. πάλιν εἰς αἷμα μετεποιήθη τὸ ὕδωρ. ὢ δυστυχοῦς ἀγγελίας ἐκείνης, τῆς διαγγελούσης τῇ Ἐκκλησίᾳ τὸ πάθος. τίς ἐρεῖ τοῖς τέκνοις, ὅτι ἀπωρφανίσθησαν; τίς ἀπαγγελεῖ τῇ νύμφῃ, ὅτι ἐχήρευσεν; ὢ τῶν κακῶν. τί ἐξέπεμψαν; καὶ τί ὑποδέχονται; κιβωτὸν προέπεμψαν, καὶ σορὸν ὑποδέχονται. κιβωτὸς ἦν, ἀδελφοὶ, ὁ τοῦ Θεοῦ ἄνθρωπος. κιβωτὸς, περιέχων ἐν ἑαυτῷ τὰ θεῖα μυστήρια. ἐκεῖ ἡ στάμνος ἡ χρυσῆ πλήρης τοῦ θείου μάννα, πλήρης τῆς οὐρανίου τροφῆς. ἐν ἐκείνῃ αἱ πλάκες τῆς διαθήκης, ἐν ταῖς πλαξὶ τῆς καρδίας ἐγγεγραμμέναι πνεύματι τοῦ Θεοῦ ζῶντος, οὐ μέλανι. οὐδὲν γὰρ τῇ καθαρότητι

τῆς

τῆς καρδίας ζοφῶδες, καὶ μέλαν ἐνεκέκαυτο νόημα, ἐν ἐκείνῃ
οἱ στύλοι, αἱ κεφαλίδες, τὸ θυμιατήριον, ἡ λυχνία, τὸ ἱ-
λαστήριον, οἱ λουτῆρες, τὰ τῶν εἰσόδων καταπετάσματα. ἐν
ἐκείνῃ ἡ ῥάβδος τῆς ἱερωσύνης, ἡ ἐν ταῖς χερσὶ ταῖς ἐκείνου
βλαστήσασα. καὶ εἴ τι ἄλλο τὴν κιβωτὸν ἔχειν ἀκούομεν, πάντα
τῇ ψυχῇ τοῦ ἀνδρὸς περιείληπτο. ἀλλ' ἀντ' ἐκείνων τί; σιω-
πάτω ὁ λόγος. σινδόνες καθαραὶ, καὶ τὰ ἐκ σηρῶν ὑφάσματα.
μύρων καὶ ἀρωμάτων δαψίλεια, γυναικὸς φιλοτιμία κοσμίας
τε καὶ εὐσχήμονος. εἰρήσεται γὰρ, ὡς ἂν καὶ ταῦτα γένοιτο εἰς μαρ-
τύριον αὐτῇ, ἃ περὶ τὸν ἱερέα ἐποίησε, δαψιλῶς τὸν ἀλά-
βαστρον τοῦ μύρου τῆς τοῦ ἱερέως κεφαλῆς καταχέασα. ἀλλὰ τὸ
ἐν τούτοις διασωζόμενον, τί; ὀστέα νεκρὰ, καὶ πρὸ τοῦ θανάτου
μεμελετηκότα τὴν νέκρωσιν. τὰ λυπηρὰ τῶν συμφορῶν ἡμῶν
μνημόσυνα. ὢ οἵα φωνὴ πάλιν ἐν Ῥαμὰ ἀκουσθήσεται. Ῥα-
χὴλ κλαίουσα, οὐχὶ τὰ τέκνα αὐτῆς, ἀλλὰ τὸν ἄνδρα, καὶ οὐ
προσιεμένη παράκλησιν. ἄφετε οἱ παρακαλοῦντες, ἄφετε. μὴ
κατισχύσητε παρακαλέσαι. βαρὺ πενθείτω ἡ χήρα, αἰ-
σθέσθω τῆς ζημίας, ἧς ἐζημίωται. καίτοι οὐκ ἀμελέτητος ἦν τοῦ
χωρισμοῦ, ἐν τοῖς ἀγῶσι τοῦ ἀθλητοῦ προεθισθεῖσα φέρειν τὴν
μόνωσιν. μέμνησθε πάντως, ὅπως ὑμῖν ὁ πρὸ ἡμῶν λόγος τοὺς
ἀγῶνας τοῦ ἀνδρὸς διηγήσατο, ὅτι διὰ πάντων τιμῶν τὴν ἁγίαν
Τριάδα, καὶ ἐν τῷ ἀριθμῷ τῶν ἀγώνων τὴν τιμὴν διεσώσατο,
τρισὶ πειρασμῶν προσβολαῖς ἐναθλήσας. ἠκούσατε τὴν ἀ-
κολουθίαν τῶν πόνων, οἷος ἐν πρώτοις, οἷος ἐν μέσοις, ἐν τε-
λευταίοις οἷος ἦν. περιττὴν κρίνω τὴν παράληψιν τῶν εἰρη-
μένων καλῶς. ἀλλὰ τοσοῦτον εἰπεῖν ἴσως οὐκ ἄκαιρον. ὅτε τὸ
πρῶτον εἶδεν ἡ σώφρων Ἐκκλησία ἐκείνη τὸν ἄνδρα, εἶδε
πρόσωπον ἀληθῶς ἐν εἰκόνι Θεοῦ μεμορφωμένον. εἶδεν ἀγά-
πην πηγάζουσαν. εἶδε χάριν περικεχυμένην τοῖς χείλεσι.
ταπεινοφροσύνης τὸν ἀκρότατον ὅρον, μεθ' ὃν οὐκ ἔστιν ἐπι-
νοῆσαι τὸ πλέον. κατὰ τὸν Δαβὶδ τὴν πρᾳότητα. καὶ

τὸν

τὸν Σολομῶντα τὴν σύνεσιν. καὶ τὸν Μωσέα τὴν ἀγαθότητα. καὶ τὸν Σαμουὴλ τὴν ἀκρίβειαν. καὶ τὸν Ἰωσὴφ τὴν σωφροσύνην. καὶ τὸν Δανιὴλ τὴν σοφίαν. καὶ τὸν μέγαν Ἠλίαν ἐν τῷ ζήλῳ τῆς πίστεως. καὶ τὸν ὑψηλὸν Ἰωάννην ἐν τῇ ἀφθορίᾳ τοῦ σώματος. καὶ τὸν Παῦλον ἐν τῇ ἀνυπερθέτῳ ἀγάπῃ. εἶδε τοσούτων ἀγαθῶν συνδρομὴν περὶ μίαν ψυχήν. ἐτρώθη τῷ μακαρίῳ ἔρωτι, ἐν τῇ ἁγνῇ καὶ ἀγαθῇ φιλοφροσύνῃ τὸν νυμφίον ἑαυτῆς ἀγαπήσασα. ἀλλὰ πρὶν τὴν ἐπιθυμίαν ἐμπλῆσαι, πρὶν ἀναπαῦσαι τὸν πόθον, ἔτι τῷ φίλτρῳ ζέουσα, κατελείφθη μόνη, τῶν πειρασμῶν τὸν ἀθλητὴν ἐπὶ τοὺς ἀγῶνας καλούντων. καὶ ὁ μὲν ἐνήθλει τοῖς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶσιν, ἡ δὲ ὑπέμενεν, ἐν σωφροσύνῃ τὸν γάμον φυλάττουσα. χρόνος ἦν ἐν μέσῳ πολύς, καί τις μοιχικῶς κατεπεχείρει τῆς ἀχράντου παστάδος. ἀλλ' ἡ νύμφη οὐκ ἐμιαίνετο. καὶ πάλιν ἐπάνοδος, καὶ πάλιν φυγή. καὶ ἐκ τρίτου ὡσαύτως, ἕως διασχὼν τὸν αἱρετικὸν ζόφον ὁ Κύριος, καὶ τὴν ἀκτῖνα τῆς εἰρήνης ἐπιβαλὼν, ἔδωκεν ἀνάπαυσίν τινα τῶν μακρῶν πόνων ἐλπίζειν. ἀλλ' ἐπειδὴ πάλιν εἶδον ἀλλήλους, καὶ ἀνενεώθη τὰ τῆς σωφροσύνης, καὶ θυμηδίαι πνευματικαί, καὶ πάλιν ἀνεφλέχθη ὁ πόθος· εὐθὺς διακόπτει τὴν ἀπόλαυσιν ἡ ἐσχάτη αὕτη ἀποδημία. ἦλθε νυμφοστολήσων ὑμᾶς, καὶ οὐ διήμαρτε τοῦ σπουδάσματος. ἐπέθηκε τῇ καλῇ συζυγίᾳ τοὺς τῆς εὐλογίας στεφάνους. ἐμιμήσατο τὸν Δεσπότην. ὡς ἐν Κανᾷ τῆς Γαλιλαίας ὁ Κύριος, οὕτω καὶ ἐνταῦθα ὁ μιμητὴς τοῦ Χριστοῦ. τὰς γὰρ Ἰουδαϊκὰς ὑδρείας τοῦ αἱρετικοῦ ὕδατος πεπληρωμένας, πλήρεις τοῦ ἀκράτου οἴνου ἐποίησεν, ἐν τῇ δυνάμει τῆς πίστεως μεταποιήσας τὴν φύσιν. ἔστησεν ἐν ὑμῖν πολλάκις κρατῆρα νηφάλιον, τῇ γλυκείᾳ αὐτοῦ φωνῇ δαψιλῶς οἰνοχοήσας τὴν χάριν. πολλάκις ὑμῖν προεθήκατο τὴν λογικὴν πανδαισίαν. ὁ μὲν εὐλογῶν καθηγεῖτο· οἱ δὲ καλοὶ αὐτοῦ μαθηταὶ διηκόνουν τοῖς ὄχλοις, μυστοποιοῦντες τὸν λόγον. καὶ

ἡμεῖς

ἡμεῖς εὐφραινόμεθα, τὴν τοῦ γένους ὑμῶν δόξαν, οἰκείαν ποιούμενοι. ὡς καλὰ μέχρι τούτου τὰ διηγήματα. ὡς μακάριον ἦν τούτοις ἐναπολῆξαι τὸν λόγον. ἀλλὰ μετὰ ταῦτα τί; καλέσατε τὰς θρηνούσας, ὁ Ἱερεμίας φησίν. οὐ γάρ ἐστιν ἄλλως φλεγομένην καρδίαν καταψυχθῆναι, ὑπὸ τοῦ πάθους οἰδαίνουσαν, μὴ στεναγμοῖς, καὶ δακρύοις κουφιζομένην. τότε παρεμυθεῖτο τὸν χωρισμὸν ἡ τῆς ἐπανόδου ἐλπίς. νῦν δὲ τὸν ἔσχατον ἡμῶν χωρισμὸν ἀπεσχίσθη. χάσμα μέγα μεταξὺ αὐτοῦ τε, καὶ τῆς Ἐκκλησίας κατὰ τὸ μέσον ἐστήρικται. ὁ μὲν ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ ἀναπαύεται. ὁ δὲ διακομίζων τὴν σταγόνα τοῦ ὕδατος, ἵνα καταψύξῃ τῶν ὀδυνωμένων τὴν γλῶσσαν, οὐκ ἔστιν. οἴχεται τὸ κάλλος ἐκεῖνο· σιγᾷ ἡ φωνή· μέμυκε τὰ χείλη· ἀπέπτη ἡ χάρις· διήγημα γέγονεν ἡ εὐκληρία. ἐλύπει ποτὲ καὶ τὸν Ἰσραηλίτην λαὸν Ἠλίας ἀπὸ γῆς πρὸς Θεὸν ἀνιπτάμενος· ἀλλὰ παρεμυθεῖτο τὸν χωρισμὸν Ἐλισσαῖος, τῇ μηλωτῇ τοῦ διδασκάλου κοσμούμενος. νυνὶ δὲ τὸ τραῦμα ὑπὲρ θεραπείαν ἐστίν· ὅτι καὶ Ἠλίας ἀνελήφθη, καὶ Ἐλισσαῖος οὐχ ὑπελείφθη· ἠκούσατε τοῦ Ἱερεμίου φωνάς τινας σκυθρωπὰς καὶ γοώδεις, ἃς ὡς ἐρημωθεῖσαν τὴν πόλιν Ἱεροσολυμιτῶν κατεθρήνησεν. ὃς ἄλλα τέ τινα περιπαθῶς διεξῆλθε, καὶ τοῦτο, φησίν, ὁδοὶ Σιὼν πενθοῦσι. ταῦτα τότε μὲν εἴρηται, νῦν δὲ πεπλήρωται· ὅταν γὰρ διαγγελθῇ τοῦ πάθους ἡ φήμη, τότε πλήρεις ἔσονται αἱ ὁδοὶ τῶν πενθούντων, καὶ προχεθήσονται οἱ ὑπ' αὐτῶν ποιμαινόμενοι, τὴν τῶν Νινευϊτῶν φωνὴν ἐπὶ τοῦ πάθους μιμούμενοι. μᾶλλον δὲ κἀκείνων ἀλγεινότερον ὀδυνώμενοι. τοῖς μὲν γὰρ ὁ θρῆνος τὸν φόβον ἔλυσε· τοῖς δὲ λύσις οὐδεμία τῶν κακῶν ἀπὸ τῶν θρήνων ἐλπίζεται· οἶδά τινα τοῦ Ἱερεμίου καὶ ἄλλην φωνήν, ταῖς βίβλοις οὖσαν τῶν ψαλμῶν ἐναρίθμιον, ἣν ἐπὶ τῇ αἰχμαλωσίᾳ τοῦ Ἰσραὴλ ἐποιήσατο. φησὶ δὲ ὁ λόγος, ὅτι ἐν ἰτέαις ἐκρεμάσαμεν ἑαυτῶν τὰ ὄργανα, σιωπὴν ἑαυτῶν τε καὶ τῶν ὀργάνων

κατα-

καταδικάσαντες. ἐμὴν ποιοῦμαι τὴν ᾠδὴν ταύτην. ἐὰν ἴδω τὴν αἱρετικὴν σύγχυσιν (Βαβυλὼν δέ ἐστιν ἡ σύγχυσις) καὶ ἐὰν ἴδω τοὺς πειρασμοὺς τοὺς διὰ τῆς συγχύσεως ῥέοντας, ταῦτα ἐκεῖνά φημι τὰ Βαβυλώνια ῥεύματα, οἷς προσκαθήμενοι κλαιόμεθα, ὅτι τὸν διάγοντα ἡμᾶς διὰ τούτων οὐκ ἔχομεν. κἂν τὰς ἰτέας εἴπῃς, καὶ τὰ ἐπὶ τούτων ὄργανα, ἐμὸν καὶ τοῦτο τὸ αἴνιγμα. ὄντως γὰρ ἐν ἰτέαις ὁ βίος· δένδρον γὰρ ἄκαρπον ἡ ἰτέα ἐστίν. ἡμῶν δὲ ἀπερρύη τῆς ζωῆς ὁ γλυκὺς καρπός. κἀκεῖ ἰτέαι γεγόναμεν ἄκαρποι, ἀργὰ καὶ ἀκίνητα τὰ τῆς ἀγάπης ὄργανα ἐπὶ τῶν ξύλων κρεμάσαντες. ἐὰν ἐπιλάθωμαί σου, φησίν, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. δότε μοι μικρὸν ὑπαλλάξαι τὸ γεγραμμένον, ὅτι οὐχ ἡμεῖς τῆς δεξιᾶς, ἀλλ' ἡ δεξιὰ ἡμῶν ἐπιλέλησται. καὶ ἡ γλῶσσα τῷ ἰδίῳ λάρυγγι κολληθεῖσα, τὰς τῆς φωνῆς διεξόδους ἀπέφραξεν. ἵνα μηκέτι ἡμεῖς τῆς γλυκείας ἐκείνης φωνῆς πάλιν ἀκούσωμεν. ἀλλ' ἀποψήσασθέ μοι τὰ δάκρυα. αἰσθάνομαι γὰρ πέρα τοῦ δέοντος ἐπὶ τῷ πάθει γυναικιζόμενος. οὐκ ἀφῃρέθη ἀφ' ἡμῶν ὁ νυμφίος. μέσος ἡμῶν ἕστηκε, κἂν ἡμεῖς μὴ βλέπωμεν. ἐν τοῖς ἀδύτοις ὁ Ἱερεύς. εἰς τὰ ἐνδότερα τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός. κατέλιπε τὸ τῆς σαρκὸς παραπέτασμα. οὐκέτι ὑποδείγματι καὶ σκιᾷ λατρεύει τῶν ἐπουρανίων, ἀλλ' εἰς αὐτὴν βλέπει τὴν τῶν πραγμάτων εἰκόνα. οὐκέτι δι' ἐσόπτρου καὶ αἰνίγματος, ἀλλ' αὐτοπροσώπως ἐντυγχάνει τῷ Θεῷ. ἐντυγχάνει δὲ ὑπὲρ ἡμῶν, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. ἀπέθετο τοὺς δερματίνους χιτῶνας. οὐδὲ γάρ ἐστι χρεία τοῖς ἐν Παραδείσῳ διάγουσι, τῶν τοιούτων χιτώνων. ἀλλ' ἐνδύματα, ἃ τῇ καθαρότητι τοῦ βίου αὐτοῦ ἐξυφήνας, ἀπεκοσμήσατο. τίμιος ἐναντίον Κυρίου τοῦ τοιούτου ὁ θάνατος. μᾶλλον δὲ οὐχὶ θάνατος, ἀλλὰ ῥῆξίς ἐστι δεσμῶν. διέῤῥηξας γάρ, φησι, τοὺς δεσμούς μου. ἀπελύθη ὁ Συμεὼν

ἠλευ-

ἠλευθερώθη ἐκ τῶν δεσμῶν τοῦ σώματος. ἡ παγὶς συνετρίβη, τὸ δὲ στρουθίον ἀπέπτη. κατέλιπε τὴν Αἴγυπτον, τὸν ὑλώδη βίον. ἐπέρασεν οὐχὶ τὴν ἐρυθρὰν ταύτην, ἀλλὰ τὴν μέλαιναν ἐκείνην καὶ ζοφώδη τοῦ βίου θάλασσαν. εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας· ἐπὶ τοῦ ὄρους προσφιλοσοφεῖ τῷ Θεῷ. ἐλύσατο τὸ ὑπόδημα τῆς ψυχῆς, ἵνα καθαρᾷ τῇ βάσει τῆς διανοίας τῆς Ἁγίας Γῆς ἐπιβατεύσειεν, ἐν ᾗ καθορᾶται Θεός· ταύτην ἔχοντες, ἀδελφοὶ, τὴν παράκλησιν, ὑμεῖς οἱ τὰ ὀστᾶ τοῦ Ἰωσὴφ ἐπὶ τὴν χώραν τῆς εὐλογίας μετακομίζοντες, ἀκούσατε τοῦ Παύλου παρεγγυῶντος· μὴ λυπεῖσθε ὡς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα. εἴπατε τῷ ἐκεῖ λαῷ, διηγήσασθε τὰ καλὰ διηγήματα. εἴπατε τὸ ἀπιστούμενον θαῦμα. πῶς εἰς θαλάσσης ὄψιν καταπυκνωθέντες ὁ μυριάνθρωπος δῆμος, ἐν ἦσαν καὶ τὸ συνεχὲς σῶμα οἱ πάντες, οἷόν τι ὕδωρ περὶ τὴν τοῦ σκηνώματος πομπὴν πελαγίζοντες· πῶς ὁ καλὸς Δαβὶδ πολυμερῶς καὶ πολυτρόπως εἰς μυρίας τάξεις ἑαυτὸν καταμερίσας, ἐν ἑτερογλώσσοις καὶ ὁμογλώσσοις περὶ τὸ σκῆνος ἐχόρευσε. πῶς ἑκατέρωθεν οἱ τοῦ πυρὸς ποταμοὶ τῇ συνεχείᾳ τῶν λαμπάδων ὁλκὸς ἀδιάστατος ῥέοντες, ἕως οὐ δυνατὸν ἦν ὀφθαλμῷ λαβεῖν, παρετείνοντο. εἴπατε τοῦ λαοῦ παντὸς τὴν προθυμίαν, τῶν Ἀποστόλων τὴν συσκηνίαν. πῶς τὰ σουδάρια τῶν προσώπων αὐτοῦ, εἰς φυλακτήρια τῶν πιστῶν διετίλλετο. προσκείσθω τῷ διηγήματι Βασιλεὺς σκυθρωπάζων ἐπὶ τῷ πάθει, καὶ θρόνου ἐξαναστάμενος. καὶ πόλις ὅλη τῇ πομπῇ τοῦ Ἁγίου συμμεταβαίνουσα· καὶ παραμυθεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. καλῶς Σολομὼν ἰατρεύει τὴν λύπην. κελεύει γὰρ τοῖς ἐν λύπῃ οἶνον διδόναι, πρὸς ἡμᾶς τοῦτο λέγων, τοὺς τοῦ ἀμπελῶνος ἐργάτας. δότε οὖν τὸν ὑμέτερον οἶνον τοῖς λυπουμένοις, οὐ τὸν τῆς μέθης ἐργάτην, καὶ τῶν φρενῶν ἐπίβουλον, καὶ φθορέα τοῦ σώματος, ἀλλὰ τὸν τὴν καρδίαν εὐφραίνοντα, ὃν ὁ Προφήτης ἡμῖν ἐπεδείκνυε, λέγων· οἶνος εὐ-

εὐφραίνει καρδίαν ἀνθρώπου. ζωροτέρῳ τῷ κράματι, καὶ ἀφθονωτέραις δεξιοῦσθε τοῦ πνευματικοῦ λόγου ταῖς κύλιξιν, ὥστε ἡμῖν πάλιν εἰς εὐφροσύνην καὶ ἀγαλλίασιν μεταστραφῆναι τὸ πένθος, χάριτι τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· δι' οὗ ἡ δόξα τῷ Θεῷ, καὶ Πατρὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ

## Τεσσαράκοντα Μάρτυρας Ἐγκώμιον.

Χθὲς οἱ Μάρτυρες πρὸς ἑαυτοὺς τὸν λαὸν ἐκάλουν, καὶ τῷ καταγωγίῳ τῆς Ἐκκλησίας ἐπιξενοῦνται αὐτόκλητοι. νόμος δέ τις ἐστὶ συμποτικὸς, καὶ τὰς ἐγκυκλίους ταύτας ἑστιάσεις παρὰ τῶν δαιτυμόνων ἀλλήλοις ἐκ περιτροπῆς ἐπιδίδοσθαι. οὐκ οὖν ἀνάγκη καὶ ἡμᾶς τὸν αὐτὸν ἀντιπληρῶσαι τῷ δέπνῳ τοῖς Μάρτυσιν ἔρανον. ἀλλ' ἐπειδὴ πένεται ἡμῖν ἡ χορηγία τοῦ λόγου, καλῶς ἔχει τοῖς παρ' αὐτῶν ἐκείνων λειψάνοις ἡμᾶς δεξιοῦσθαι, τοὺς χθὲς μὲν ἑστιάτορας, σήμερον δὲ δαιτυμόνας. Ἀρκεῖ γὰρ καὶ βραχύ τι μέρος ἐκ πλουσίας τραπέζης, μεγάλης εὐωχίας γίνεσθαι παρασκευὴν, ὅταν τοιοῦτον λείψανον ᾖ. τί οὖν τοῦτο τὸ λείψανον; μέμνησθε πάντως ἐν τίνι ἡμῖν τοῦ λόγου, ὅτε ὁ ἀκταῖος ἐκεῖνος, καὶ ἡδὺς ἡμῖν ἐκ τοῦ πλήθους τῶν συνειλεγμένων θόρυβος συνεῖχε τὴν τῶν λεγομένων ἀκρόασιν, ὅτε ἡ ἔμψυχος ἐκείνη τῆς Ἐκκλησίας θάλασσα τῷ πλήθει τῶν ἐπεισρεόντων πλημμυροῦσα, πρὸς τὴν ῥοπὴν τῶν ἀεὶ βιαζομένων ἐκύμαινε, μιμουμένη καὶ τῷ ἤχῳ τὴν ὄντως θάλασσαν, οἷον αὐταῖς ταῖς ἀκοαῖς ἡμῶν προσρηγνῦσα τῶν κυμάτων τὸν ψόφον. ἐν τίσι τοίνυν κατελίπομεν χειμασθέντα τῷ θορύβῳ τὸν λόγον, μέμνησθε πάντως οἷς μεμελέτηται διὰ μνήμης ἔχειν τοὺς Μάρτυρας. ἦν δὲ, ὡς οἶμαι, ἡ ἀκολουθία τοῦ λόγου αὕτη, ὅτι οὐ τῶν τυχόντων ἦσάν τινες, οἱ εἰς τὸν ἀ-

γῶνα

γένη τούτων ἐξειλεγμένοι, οὐδέ τις σύμμικτος καὶ ἀνώνυμος ὄχλος, ἐκ ταπεινῶν ἐπιτηδευμάτων ὁρμηθέντες, πρὸς τὸ ἀξίωμα τοῦτο ἐπήρθησαν. ἀλλὰ πρῶτον μὲν δι' εὐφυΐαν σώματος, κάλλει καὶ δυνάμει, καὶ ῥώμης περιουσίᾳ τῶν λοιπῶν διενηνοχότες, τοῖς στρατιωτικοῖς καταλόγοις ἐνηριθμήθησαν. μετὰ ταῦτα δὲ τῷ κατ' ἀρετὴν βίῳ, καὶ πολιτείᾳ σώφρονι διαπρέψαντες, ὥσπερ τι γέρας καὶ ἀριστεῖον τὴν χάριν τῆς μαρτυρίας τελειωθέντες ἐδέξαντο. καὶ εἰ δοκεῖ ὡς ἂν ἡδέως διηγοίμεθα, πάντα τὰ τῶν Μαρτύρων ἐφεξῆς ἀναλάβωμεν, οἷον ὑπ' ὄψιν ἄγοντες τῷ παρόντι θεάτρῳ τὴν ἄθλησιν. Ἦν τι τάγμα στρατιωτικὸν παλαιὸν κατὰ τὴν γείτονα πόλιν, παντὸς τοῦ ἔθνους πρὸς τὰς τῶν βαρβάρων ὁρμὰς προκαθήμενον. ἐκείνοις ἔκ τινος προϋπαρχούσης θεόθεν ἐπιφανείας πλεῖον ἢ περὶ τῶν ταγματικῶν ἐσπουδάζετο. καὶ ἴσως οὐκ ἄκαιρον ἕν τι κατόρθωμα τῆς πίστεως τῶν ἀνδρῶν ἐκείνων ἐν παραδρομῇ διηγήσασθαι. συστάντος γὰρ αὐτοῖς ποτε τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, καὶ τῶν ἐπικαίρων πάντων προκαταληφθέντων ὑπὸ τῆς τῶν ἐναντίων στρατιᾶς, καὶ τῶν ὑδάτων ἐν τῇ τῶν ἐχθρῶν ἐξουσίᾳ γεγενημένων, εἰς ἔσχατον ἐλθόντες κίνδυνον, εἴτε δι' ἀπειρίαν τῶν τὰ ἡμέτερα στρατηγούντων, εἴτε διά τινα κρείττονα καὶ θειοτέραν οἰκονομίαν, ὡς ἂν μάλιστα καὶ διὰ τούτου φανείη τῶν Χριστιανῶν τὸ πρὸς τοὺς ἀλλοφύλους διάφορον· ἐπειδὴ οὐκ εἶχον ὅ,τι χρήσονται τοῖς παροῦσι, καὶ πολλή τις ἦν ἡ ἀμηχανία, οὐδεμιᾶς αὐτοῖς πίδακος, ἢ ἀπορροίας ὑδάτων ἐμφαινομένης τῷ τόπῳ, καὶ κίνδυνος ἦν ὑποκύψαι τοῖς ἐναντίοις ἐκπολιορκηθέντας τῇ δίψει, τότε καταλιπόντες οἱ γενναῖοι τὴν ἐκ τῶν ὅπλων βοήθειαν, ἔγνωσαν τὴν ἄμαχον καὶ ἀκαταγώνιστον ἐν τοῖς φοβεροῖς ἐπικαλέσασθαι συμμαχίαν. ἀφέντες γὰρ ἐπὶ τοῦ στρατοπέδου τοὺς μήπω παραδεδεγμένους τὴν πίστιν, καὶ ἐφ' ἑαυτῶν ἰδιάσαντες, μιμοῦνται τὴν ἐπὶ Ἠλιοῦ τοῦ Προφήτου γενομένην θαυματουργίαν, κοινῇ τῇ φωνῇ καὶ συμ-

τεταγμένη λύσιν αὐτοῖς ἐξ ἀμηχάνων γενέσθαι τῆς συμφορᾶς αἰτησάμενοι. καὶ οἱ μὲν ηὔχοντο, ἡ δὲ εὐχὴ παράχρημα ἔργον ἐγίνετο. ἔτι γὰρ αὐτῶν τῇ γονυκλισίᾳ προσκαρτερούντων, πνεύματι βιαίῳ νεφέλη ποθὲν ἀπολειφθεῖσα μετέωρος, ὑπὲρ τὸ τῶν πολεμίων στρατόπεδον ἵστατο. εἶτα βρονταῖς ἐξαισίοις ἐπικτυπήσασα, καὶ ἀστραπὰς φλογώδεις κατὰ τῶν ὑποκειμένων ἐξάψασα, κατέῤῥηγνυεν ὕδωρ ποταμῶν ἀφθονώτερον, ὥστε τοῖς μὲν ὑπεναντίοις, καὶ τῶν σκηνῶν τὴν συνέχειαν, καὶ τὸ πλῆθος τῆς ἐπομβρίας αἴτιον γενέσθαι παντελοῦς καταφθορᾶς· τούτοις δὲ τοῖς διὰ τῶν εὐχῶν παραιτησαμένοις, ἱκανὸν πρὸς ἀμφότερα γενέσθαι, πρός τε τὴν νίκην τῶν ἀντιτεταγμένων, καὶ πρὸς τὴν παραμυθίαν τῆς δίψης, τῆς τῶν χειμάῤῥων ἀποῤῥοῆς ἀφθόνως αὐτοῖς τὸν ποτὸν χορηγούσης. τοιτοις τισὶ συνετάχθη ὁ ἡμέτερος τῆς στρατιᾶς χορός. ἀπ' ἐκείνων τῶν διηγημάτων, καὶ αὐτοὶ πρὸς τὴν πίστιν κυρωθέντες, καὶ τοῖς ὁμοίοις ἐνθαρροῦντες ἐπιτηδεύμασιν, εἰς τοσοῦτον μεγαλοφυΐας ἐπήρθησαν, ὥστε τῷ περιόντι τῆς ἀρετῆς, καθ' ἑαυτῶν ἀναστῆσαι τὸν φθόνον. καθάπερ γὰρ ἐπὶ τῶν νῦν ὑπομνησθέντων ἡμῖν ἐκ τῆς τοῦ Ἰὼβ ἱστορίας ἐμάθομεν, ὅτι ἀδίκημα ἑαυτοῦ ἐποίει ὁ ἀντίπαλος τῆς ἀνθρωπίνης ζωῆς τὴν τοῦ Ἰὼβ εὐδοκίμησιν, καὶ διὰ τοῦτο ἐξῃτεῖτο πρὸς αἰκισμὸν, ὅτι ἐλύπει αὐτὸν ὁ Ἰὼβ, ἀληθινὸς καὶ δίκαιος καὶ ἄμεμπτος ὤν· τὸν αὐτὸν τρόπον εἶδε πονηρῷ τῷ ὀφθαλμῷ ὁ τοῖς ἀγαθοῖς ἐπιφθονούμενος, τοὺς μεγάλους τούτους ἀγωνιστὰς, καὶ ἐκνίζετο πολιὰν ἠθῶν ἐν ἡλικίας νεότητι βλέπων. εἶδε σωμάτων ἄνθος ἐν σωφροσύνῃ κοσμούμενον. εἶδεν ἐνόπλιόν τινα χοροστασίαν, διὰ τῆς στρατιᾶς αὐτῆς τῷ Θεῷ χορεύοντας, καλοὺς προσιδεῖν, βλοσυροὺς τὸ ὄμμα, γαύρους τὸ φρόνημα, τάχος ποδῶν, περιουσίαν δυνάμεως, συμμετρίαν μελῶν, ἐν πᾶσι τοῖς προσοῦσιν αὐτοῖς προτερήμασι τὴν τῆς ψυχῆς ἀρετὴν, τῆς σωματικῆς εὐκληρίας ὑπεραστράπτουσαν. ἐμάθε-

πα·

πατεῖ καὶ δι' ἐκείνων τῷ φθόνῳ, ὁ ἐμπεριπατῶν τὴν οἰκουμένην. εἶδεν οὐχ ἕνα ἄνθρωπον ἀληθινὸν, ἀλλὰ σύστημα θεῖον τοσούτων ἀνθρώπων, πάντων ἀληθινῶν, δικαίων, θεοσεβῶν. ἐξαιτεῖται κἀκείνους εἰς τὸ ἴδιον θέλημα. καὶ πρῶτον μὲν εἰδωλομανοῦντι τῷ τῆς στρατιᾶς ἄρχοντι σύμβουλος γίνεται, μὴ ἂν ἄλλως ὑπερσχεῖν τῆς κατὰ τῶν βαρβάρων νίκης, εἰ μὴ τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ προσκυνοῦντας προθύσαιτο. ἀναδειχθέντων δὲ τούτων ὡς τάχιστα διὰ τῆς ἀγαθῆς ὁμολογίας, καὶ αὐτομολούντων πρὸς τὴν διὰ τοῦ πάθους τελείωσιν, τὸ μὲν εὐθὺς ἐπαγαγεῖν τὸν διὰ τοῦ ξίφους θάνατον, ὥς τι φιλάνθρωπον ὁ ἐχθρὸς παρῃτήσατο, δεσμοῖς δὲ τοῖς ἐκ σιδήρου καταπιέσας, ταύτην ἐποιεῖτο τὴν τῆς τιμωρίας ἀρχήν. τοῖς δὲ ἦν ἄρα καὶ ὁ δεσμὸς ἐγκαλλώπισμα, καὶ θέαμα γλαφυρὸν καὶ ἡδὺ Χριστιανῶν ὀφθαλμοῖς, νεότης ἐξειλεγμένη ἀριθμῷ τοσαύτη, κάλλει διαπρεπὴς, ἡλικίᾳ ὑπὲρ τοὺς ἄλλους, πάντες κατὰ ταὐτὸν μετ' ἀλλήλων τῷ δεσμῷ συνηρμόζοντο, ὥσπερ τις σίφωνος ἢ ὅρμος περιαυχένιος, ἰσομεγέθεις μαργαρίτας ἐν κύκλῳ διειλημμένους ἔχων. τοιοῦτοι ἦσαν οἱ Ἅγιοι, καὶ διὰ πίστεως ἡνωμένοι, καὶ διὰ τῶν δεσμῶν πρὸς ἀλλήλους σφιγγόμενοι· ὄντες γὰρ καὶ καθ' ἑαυτὸν ἕκαστος καλοὶ, προσθήκη τοῦ κάλλους ἀλλήλοις ἐγίνοντο. οἷον ἐπὶ τῶν οὐρανίων συμβαίνει θαυμάτων, ὅταν δι' αἰθρίας καθαρᾶς ἡ τῶν ἀστέρων χάρις δι' ἀλλήλων ποικίλληται, ἑκάστου τὴν οἰκείαν αἴγλην εἰς τὸν κοινὸν κόσμον τοῦ Οὐρανοῦ συνεισφέροντος. τοιοῦτον ἦν τῶν Ἁγίων τὸ θέαμα, ὄντως, καθώς φησί που Ἰεζεκιὴλ ὁ Προφήτης, ὅρασις λαμπάδων συστρεφομένων. ἐμφιλοχωρεῖ ὁ λόγος τῷ κάλλει τῆς ὥρας. οἶδε γὰρ, καθὼς ἡ Σοφία φησὶν, ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων, καὶ τὸ ἐν κρυπτῷ κάλλος ἀναλογίζεσθαι. ἐπειδὴ καὶ ἡ τῆς ψυχῆς καθαρότης διὰ τοῦ φαινομένου διέλαμπε, καὶ ὁ φαινόμενος ἄνθρωπος, ἄξιον ἦν τοῦ ἀφανοῦς οἰκητήριον. ὡς καλὸν κείνων τότε τοῖς ὁρῶσι τὸ θέαμα, καλὸν λέγω τοῖς κα-

καλὸν βλέπειν ἐθέλουσι· καλὸν Ἀγγέλοις, καλὸν ταῖς ὑπερκοσμίαις δυνάμεσι· πικρὸν δὲ τοῖς δαίμοσι, καὶ ὅσοι τὰ τῶν δαιμόνων ἠσπάζοντο, ἄνθρωποι. εἴπερ ἄνθρωποι, οἱ τοσοῦτον ἀφεστηκότες τοῦ μεγαλείου τῆς φύσεως, στρατιῶται τοῦ Χριστοῦ, τοῦ Ἁγίου Πνεύματος ὁπλῖται, τῆς πίστεως πρόμαχοι, πύργοι τῆς θείας Πόλεως, οἱ πᾶσαν αἰκισμῶν τιμωρίαν, πᾶσαν φόβων ἐπανάστασιν, πᾶσαν ἀπειλῆς προσβολήν, ὥς τινα παιδίων ἄνοιαν κατεχλεύαζον. καθάπερ οὐχὶ τὰ σώματα ταῖς αἰκίαις ἐκδόντες, ἀλλὰ τὰς τῶν σωμάτων σκιάς· οἱ σαρκὶ τὴν σάρκα καταπαλαίσαντες, καὶ τῇ πρὸς τὸν θάνατον ὑπεροψίᾳ πάντων τῶν τυραννικῶν φόβων ὑπερφρονήσαντες, ὑψηλότεροι τῶν ἀνθρωπίνων μέτρων ἐδείχθησαν· ὦ καλῶς τοῖς σωματικοῖς ξοπαίοις ἐμμελετήσαντες· ὦ καλῶς μετενεγκόντες τὴν τοῦ πολεμεῖν ἐμπειρίαν εἰς τὴν κατὰ τοῦ διαβόλου παράταξιν. οὐ ξίφει τὰς χεῖρας ὁπλίσαντες, οὐδὲ τὸν ἐκ τοῦ ξύλου θυρεὸν προβαλλόμενοι, οὐδὲ χαλκῇ περικεφαλαίᾳ, καὶ κνημῖσι περιφραξάμενοι, ἀλλὰ τὴν τοῦ Θεοῦ πανοπλίαν ἀναλαβόντες, ἣν διαγράφει ὁ στρατηγὸς τῆς Ἐκκλησίας, ὁ θεῖος Ἀπόστολος, θυρεόν, καὶ θώρακα, καὶ περικεφαλαίαν, καὶ μάχαιραν. οὕτως ἐχώρουν κατὰ τῆς ἐναντίας δυνάμεως· ἐστρατήγει δὲ τούτων μὲν ἡ οὐρανία χάρις, τῆς δὲ τοῦ διαβόλου παρατάξεως ὁ ἔχων τοῦ θανάτου τὸ κράτος· τόπος δὲ τῆς παρατάξεως αὐτοῖς, τὸ τῶν μιαιφόνων δικαστήριον ἦν. ἐν ἐκείνῳ συστάντες διηγωνίζοντο, οἱ μὲν ἀπειλαῖς ἀκροβολιζόμενοι, οἱ δὲ διὰ τῆς ὑπομονῆς ἀμυνόμενοι. πρότασις ἦν παρὰ τῶν ὑπεναντίων, ἐξόμνυσθαι τὴν εἰς τὸν Κύριον πίστιν, ἢ ζημιοῦσθαι θανάτῳ· ἀπόκρισις παρὰ τῶν ἀριστέων, μέχρι θανάτου παραμένειν τῷ λόγῳ. πῦρ ἐπὶ τούτοις ἠπείλητο, καὶ ξίφος, καὶ βάραθρον, καὶ ὅσα ἄλλα τῶν κολαστηρίων ὀνόματα. μία φωνὴ πρὸς ταῦτα πάντα ἠκούετο, Χριστὸς ἐν τοῖς στόμασι τῶν Ἁγίων ὁμολογούμενος· αὕτη ἦν ἡ τῶν ἐναντίων πληγή· ταύτην προέτεινον κατὰ τοῦ ἐχθροῦ τὴν

αἰχ-

αἰχμήν· διὰ ταύτης τῆς φωνῆς μέσην ἐξώθη τὴν καρδίαν ὁ ἀντικείμενος. οὗτος ὁ λίθος ἐστὶν, ὁ ἐν τῇ χειρὶ τοῦ Δαβὶδ σφενδονώμενος, ὁ τυχὼν τῆς κεφαλαίας τοῦ ἀντικειμένου· ἡ γὰρ τοῦ Χριστοῦ ὁμολογία, σφενδόνη γίνεται τοῦ καλοῦ στρατιώτου, πίπτει ὁ ἐχθρὸς καὶ ἀκέφαλος γίνεται. ἀλλὰ παρηνέχθη ἀφηνιάσας ὁ λόγος, καὶ ὑπὲρ τοὺς ὅρους ἐξάλλεται, καὶ τῶν ἀρρήτων κατατολμᾷ, καὶ λέγειν προάγεται, ὥσπερ εἰ θεατὴς τῶν ἀοράτων γινόμενος. ὅτι ἐπὶ τῇ τοιαύτῃ φωνῇ τῇ τὸν Χριστὸν ἐν παρρησίᾳ ὁμολογούσῃ, κρότος μὲν ἦν ἄνω, καὶ ἔπαινος παρὰ τῶν ἁγίων Ἀγγέλων, εὐφημία δὲ τῶν πολιτῶν τῆς οὐρανίας Πόλεως ἐπικροτούντων τῷ κατορθώματι, χαρὰ δὲ πάσης τῆς ἐν Οὐρανῷ πανηγύρεως· οἷον γὰρ συνέστη τότε τοῖς Ἀγγέλοις ἐν τῷ κόσμῳ τῶν ἀνθρώπων τὸ θέατρον; οἵαν εἶδον συμπλοκὴν τοῦ διαβόλου, καὶ τῶν ἀνθρώπων, οἱ θεαταὶ τῆς ἡμετέρας ζωῆς; ὡς ἀπεναντίον τῇ προτέρᾳ πάλῃ τὴν σύστασιν ἔχον, ὅτε ὁ ὄφις τὸν Ἀδὰμ κατηπάλαισεν; οὐκ ἤνεγκε τότε ἄνθρωπος μίαν τοῦ πονηροῦ προσβολὴν, διά τινος ἐννοίας, καὶ δελεάσματος αὐτῷ προσαχθείσης, ἀλλ' ὁμοῦ τε προσέπεσε, καὶ ἀνεβάνη τῷ πτώματι. ἐπὶ τούτων δὲ πάντων ἦν ἀργὰ καὶ ἄπρακτα τοῦ ἐχθροῦ τὰ παλαίσματα· ἐλπίδας προτείνοντος, οἱ δὲ κατεπάτουν· φόβους ἠπείλει, οἱ δὲ κατεγέλων. οὐ φοβερὸν ἦν μόνον αὐτοῖς τὸ τοῦ Χριστοῦ χωρισθῆναι, οὐκ ἀγαθὸν τὸ μετὰ Χριστοῦ εἶναι μόνον· τὰ δὲ ἄλλα πάντα, γέλως, καὶ σκιὰ, καὶ φλυαρία, καὶ ὀνειρώδη φαντάσματα. Διὰ ταῦτα κατατολμᾷ τῶν ἀθεάτων ὁ λόγος, καί φησιν, ἐπαγάλλεσθαι πᾶσαν τὴν ὑπερκόσμιον δύναμιν τῷ τῶν ἀθλητῶν κατορθώματι. ἔτι ὁ λόγος κατὰ τῶν ἀτολμήτων θρασύνεται· ἔτι τολμᾷ διηγεῖσθαι τὰ ὑπερκόσμια, ὅτε τούτων ἐνταῦθα κατορθουμένων ἐν τῇ πρὸς τοὺς ἐναντίους συμπλοκῇ ὁ δίκαιος ἀγωνοθέτης τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους προέτεινε, καὶ ὁ Ἀρχιστράτηγος τῆς θείας δυνάμεως τοὺ

ἀριστεῖα τοῖς νικηταῖς παρεσκεύαζε. καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ποικίλοις παντοδαποῖς ἐδεξιοῦτο χαρίσμασιν. ἐπειδὴ γὰρ εἰς τὴν Τριάδα ἡ πίστις ὡμολογεῖτο, διὰ τοῦτο καὶ ἡ χάρις αὐτοῖς παρὰ τῆς Τριάδος ἀντεμετρεῖτο. τίς δὲ ἡ χάρις ἦν; αὐτὸ τοῦτο, τὸ ὑψηλοτέρους ἀποδειχθῆναι τῶν πρώτων ἀγωνιστῶν, τοῦ Ἀδάμ, λέγω, καὶ τῆς Εὔας. ἐκεῖνοι ἔσωσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς ἁμαρτίας κατήνεγκαν. οὗτοι κειμένην ἐν τῷ πτώματι τῶν προλαβόντων διὰ τῆς ὑπομονῆς πάλιν ἀνώρθωσαν. ἐκεῖνοι ἐκ τοῦ Παραδείσου ἐπὶ γῆν ἀπώσθησαν· οὗτοι ἐντεῦθεν ἐπὶ τὸν Παράδεισον ἀνῳκίσθησαν. ἐκεῖνοι καθ' ἑαυτῶν τὸν θάνατον ὥπλισαν, ὅπλον γὰρ θανάτου ἡ ἁμαρτία, φησίν· οὗτοι καθωπλισμένον τῇ ἁμαρτίᾳ τὸν θάνατον διὰ τῆς ἑαυτῶν ἀνδρείας ἠχρείωσαν, τῇ ὑπομονῇ τῶν παθημάτων, τοῦ κέντρου τὴν ἀκμὴν ἀπαμβλύναντες. ὥστε εἰπεῖν καλῶς, ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; καρποῦ ξύλου τί ἀθλιώτερον; τί δ' εὐτελέστερον ξύλου; καρπὸς εὐχροίᾳ τινί, καὶ ἡδονῇ γεύσεως ἐπικεχρωσμένος, ἀτιμασθῆναι τοῦ Παραδείσου τὴν χάριν ἐποίησε. τοῖς δὲ μεγάλοις τούτοις ἀγωνισταῖς, οὐδὲ αὐτὸς ὁ ἥλιος ἐφάνη γλυκύς, ἀλλὰ καὶ τούτου ἑκουσίως ἠλλοτριοῦντο, ἵνα μὴ τοῦ ἀληθινοῦ φωτὸς ἀποπέσωσι. Τί λέγει περὶ τῆς Εὔας ὁ λόγος; προάγομαι γὰρ καὶ πέρα τοῦ δέοντος καταδραμεῖν τῶν πρωτογόνων. εἶδε φησίν, ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς καὶ ὡραῖον εἰς γεῦσιν. εἶτα τὴν ἐν τούτοις χάριν ἀντὶ τοῦ Παραδείσου ἠλλάξαντο. τούτοις δὲ ἄρα καὶ γεύσεως ἡδονὴν τὰ ὁρώμενα. Οὐρανός, ἥλιος, γῆ, ἄνθρωποι, πατρίς, μητέρες, ἀδελφοί, φίλοι, συνήθεις, ἡλικιῶται, ὧν τί μὲν ὀφθῆναι γλυκύτερον; τί δὲ εἰς γεῦσιν ἐλθεῖν τιμιώτερον; οἴδατε οἱ παῖδες τὴν εἰς τοὺς γονέας στοργήν· οἴδατε οἱ Πατέρες τὴν πρὸς τὰ τέκνα διάθεσιν· οἶδας ὁ βλέπων τὸ ἐν ἡλίῳ γλυκύ. οὐκ ἀγνοεῖς ὁ φιλάδελφος τὴν φυσικὴν πρὸς τὴν ἀδελφότητα σχέσιν. ἐπίστασαι ὁ νέος τὴν ἐκ τῶν ἡλικιωτῶν [illegible] ὅσον σοι τὸν βίον ἡδύνουσιν.

σιν. ἀλλ' ἐκείνοις πάντα ἐχθρά, πάντα ἀλλότρια ἦν. ἓν μόνον ἀγαθὸν ὁ Χριστός. πάντα ἠρνήσαντο, ἵνα τοῦτον κερδήσωσι. Χρόνος ἦν τῶν δεσμῶν οὐκ ὀλίγος, καὶ τοῖς Ἁγίοις τῇ παρατάσει τῆς τιμωρίας ἡ πρὸς τὴν τελείωσιν ἐπιθυμία συνήκμαζε. καὶ ὥσπερ οἱ τὴν σωματικὴν δεξίαν μελετῶντες, ἐπειδὰν ἱκανὴν ἐν παιδοτρίβῃ τὴν δύναμιν κτήσωνται, οὕτω θαρροῦντες ἐπὶ τοὺς ἀγῶνας χωροῦσι, τὸν αὐτὸν τρόπον καὶ οὗτοι διὰ τῶν δεσμῶν, καὶ τῆς φυλακῆς ἱκανῶς παιδοτριβηθέντες πρὸς τὴν εὐσέβειαν, οὕτως ἐπὶ τὸν στέφανον τῶν ἀγώνων προήθλησαν. Ἦλθεν ἡ ἀκολουθία τοῦ λόγου ἐπὶ τὴν τελευτήν, μᾶλλον δὲ ἐπὶ τὴν κορυφὴν ὅλου τοῦ κατορθώματος· ἄστος ἦν ὁ καιρός, αὗται τοῦ ἀγῶνος αἱ ἡμέραι, τοῦτο τὸ τοῦ Πάσχα προοίμιον, τὸ τῆς ἁγίας τεσσαρακοντάδος μυστήριον. τεσσαράκοντα ἐξιλασμοῦ ἡμῖν αἱ ἡμέραι, ἰσάριθμοι καὶ τῶν Ἁγίων οἱ στέφανοι. ἦπου περιττὸς ὑμῖν εἶναι δοκῶ καὶ ἀδολέσχος, τὰ ὑμέτερα θαύματα ἐν ὑμῖν διηγούμενος, καὶ τοῖς ὑμετέροις τὴν ἀκοὴν δεξιούμενος. πλὴν ὡς ἂν μὴ ἀτελεῖς ὑμᾶς παραδράμοι ὁ λόγος, πρὸς τὸ πέρας τῶν ἀγώνων, τοῖς Ἁγίοις καὶ ἡμεῖς συνδραμούμεθα. κρυμὸς ἦν κατὰ τὴν ἡμέραν ἐκείνην. πάντως δὲ οὐδὲν δεῖ μαθεῖν ὑμᾶς, οἷος ὁ κρυμός, ἐκ τῆς παρούσης ἡμέρας στοχαζομένους. κρυμὸς καὶ αὐτῶν τῶν τριχῶν διαδυόμενος. ἴστε τὴν ὑπερβολήν, οἵ τε ἐπήλυδες τῶν τόπων, καὶ οἱ αὐτόχθονες, καὶ οὐδὲν δεῖσθε λόγῳ μαθεῖν. ἀλλὰ κἂν ἕτερος εἴποι τὴν θαυματοποιΐαν τῶν ὑμετέρων χειμώνων, ὅπως ποταμοὶ μὲν ἀέναα ῥέοντες ἵστανται, ἀντιβαινούσης τῷ ῥεῖθρῳ τῆς πήξεως, καὶ ἀπολιθοποιούσης τὰ κύματα. ἡ δὲ γείτων λίμνη σημείων τινῶν πρὸς τὸ ἐπιγνωσθῆναι λίμνη οὖσα προσδέεται, χερσωθεῖσα διὰ τῆς πήξεως, ἐφ' ἧς συνηθές ἐστι τοῖς βουλομένοις ἄνω τῶν κυμάτων αὐτῆς καθιππάζεσθαι. οἶδα πολλάκις καὶ ἐκ πυρὸς ὕδωρ τοῖς ἐγχωρίοις ἐπινοούμενον, ὅταν τι τρύφος ὕδατος ἀποκλάσαντες,

ὥσπερ

ὥσπερ τινὰ χαλκὸν, ἢ σίδηρον τῷ πυρὶ διαπήξαντες, ὕδωρ τὸν λίθον ποιήσωσι. τοιοῦτος ἦν ὁ καιρὸς κατὰ τὸν τῆς ἀθλήσεως χρόνον, ἐπίτασιν τοῦ κακοῦ παρὰ φύσιν ἐκ βορείων πνευματικῶν λαβόντος, καθὼς ἔστιν ἀκούειν τῶν διηγουμένων τὰ θαύματα. Ἐπειδὴ τοίνυν λαμπρῶς τὸ ὄνομα τοῦ Κυρίου δημοσίᾳ κηρύξαντες, καὶ ἤδη στεφανίτας ἑαυτοὺς διὰ τῆς τοιαύτης ἀναῤῥήσεως δείξαντες, ἐχώρουν ἐπὶ τὴν διὰ τοῦ θανάτου τελείωσιν, οὕτως αὐτοῖς ἐπενοήθη τῆς ἀθλήσεως ὁ τρόπος. πρόσταγμα γίνεται τοῦ τυράννου κρυμῷ τοὺς ἀθλητὰς τιμωρήσασθαι. ὢ τῆς ἀσθενείας καὶ τῶν ῥημάτων καὶ τῶν νοημάτων. ὅσον ἀπολείπεται τῆς ἀξίας ὁ λόγος. θανάτου πρόσταγμα, καὶ κρυμὸς, καὶ τιμωρία, καὶ προσδοκία τῆς τοιαύτης κολάσεως. καὶ ἡ μακαρία νεότης ἐν γέλωτι καὶ παιδιᾷ καὶ φαιδρότητι τὸν τῆς τιμωρίας κατελάμβανε τόπον. δρόμος ἦν τῶν ἀθλητῶν ἐπὶ τὸ πάθος. δρόμος ἱερός τε καὶ σύντονος, καὶ φιλονεικία τοῦ προαρπάσαι τῆς ὁμολογίας τὸν στέφανον· ἴση πρὸς τὴν νίκην ἦν αὐτοῖς ἡ σπουδή. οὐδεὶς ὕστερος ὤφθη τῇ προθυμίᾳ. ἀλλ᾽ ὁμοθυμαδὸν ἅπαντες τουτονὶ καταλαβόντες τὸν τόπον, ὥσπερ δημοσίοις τοῖς λουτροῖς σχολάζοντες, ὡς καὶ αὐτοὶ μέλλοντες τῷ λουτρῷ καταφαιδρύνειν τὰ σώματα, ἑτοίμως τὴν τῶν χιτώνων ἐκβολὴν ἀπετίθεντο, τὸ τοῦ Ἰὼβ πάντες ἐπιφθεγγόμενοι· ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν κόσμον, γυμνοὶ πρὸς τὸν εἰσαγαγόντα ἀπελευσόμεθα. οὐδὲν εἰσενηνόχαμεν εἰς τὸν κόσμον, οὐδὲ ἐξενεγκεῖν τι ὀφείλομεν. μᾶλλον δὲ γυμνοὶ εἰσελθόντες, πλήρεις θησαυρῶν τῶν ἐκ τῆς ἀγαθῆς ὁμολογίας ἀπελευσόμεθα. ταῦτα λέγοντες, καὶ τοιούτοις ἑαυτοὺς λόγοις παραθαρσύνοντες, ἐδίδοσαν τῇ πήξει τὸ σῶμα· καὶ ἡ μὲν τῶν στοιχείων φύσις κατεκρατεῖτο τῇ πήξει, ἡ δὲ τῶν Μαρτύρων φύσις, ὡς ἀδούλωτος ἦν. μᾶλλον δὲ ἡ μὲν φύσις τὸ οἰκεῖον ἔπασχε, καὶ τὰ ἀλγεινὰ περιεδέχετο. ἡ δὲ μεγαλοψυχία τῶν Ἀθλητῶν, καὶ πρὸς αὐτὴν τὴν φύσιν διηγωνίζετο. ἡ μὲν γὰρ δύναμις κατὰ μικρὸν

διε-

διελύετο, μαραινομένη καὶ δαπανωμένη διὰ τῆς πήξεως, ὁ δὲ τῆς ψυχῆς τόνος μείζων ἐγίνετο. ἐμελαίνετο μὲν ἡ ὥρα τοῦ σώματος, καὶ ἀπήνθει τὸ κάλλος, καὶ τὸ τῆς σαρκὸς εὔχρουν κατεμαραίνετο. ἀπέρρεον δάκτυλοι, τῷ κρυμῷ κατ' ὀλίγον περιακρωτηριασμένοι. μέλη τε πάντα καὶ αἰσθητήρια τῇ πικρίᾳ τοῦ κρύους περιεθρύπτετο. πελιδνουμένη γὰρ κατ' ὀλίγον ἡ σάρξ, καὶ διοιδοῦσα, καὶ περιλακιζομένη τοῖς μέλεσι, τῶν ὀστέων ἀπέρρει, καὶ τὰ τῆς νεκρότητος πάθη ἐν αἰσθήσει ἐδέχοντο. καὶ οὕτως αὐτοῖς κατὰ μικρὸν ὁ θάνατος προϊὼν ἐμηκύνετο τρισὶν ἡμέραις παρατεινόμενος. μέχρι γὰρ τοσαύτης τῆς αἰσθήσεως αὐτοῖς διαρκεσάσης, ἔμειναν ἐφ' ἧς ἐξ ἀρχῆς ἐτάχθησαν τάξεως, διὰ πάντων νικηταὶ κατὰ τοῦ ἐναντίου γινόμενοι. ἀλλὰ τίς ἄν μοι τὰ ἐπὶ τούτοις πρὸς ἀξίαν ἐκδιηγήσαιτο; τίς ὑπογράψει λόγος τὴν θείαν ἐκείνην πομπήν, ὅτε τὰ ἅγια σώματα δι' ἁμαξῶν ἐπὶ τὸ πῦρ ἐπομπεύετο; πῶς ἀντὶ τοῦ κλαπέντος ὑπὸ τοῦ διαβόλου, ἀντεισήχθη τῷ ἀριθμῷ ὁ δεσμοφύλαξ ὑπὸ τῆς χάριτος; τίς μοι διηγήσεται τὴν μητέρα ἐκείνην τὴν ἀξίαν τοῦ μάρτυρος ῥίζαν, ἣ καταλειφθέντα ὑπὸ τοῦ δημίου τὸν ἐξ αὐτῆς, διότι ἔμπνους ἦν, καὶ διὰ τοῦτο μὴ ἀναληφθέντα μετὰ τῶν ἄλλων ἐπὶ τὴν ἅμαξαν, ἐπειδὴ εἶδε τὴν φιλανθρωπίαν τοῦ δημίου ἐπὶ τῷ ἀριστέᾳ, τὴν ὕβριν οὐκ ἤνεγκεν. ἀλλ' ἐκεῖνον μὲν ἐλοιδόρει, ὅτι τῶν συναγωνιστῶν τὸν ἀθλητὴν ἀπεσχοίνισεν. αὐτὴ δὲ παραστᾶσα τῷ μάρτυρι, ἤδη νεναρκηκότι, καὶ ἀκινήτως ὑπὸ τῆς πήξεως ἔχοντι, καὶ ἰδοῦσα ψυχρῷ καὶ ἀσθενεῖ τῷ ἄσθματι συνεχόμενον, τοσοῦτον ζῶντα μόνον, ὅσον τῶν ἀλγεινῶν ἐπαισθάνεσθαι, ἀμυδρῷ καὶ μεμαρασμένῳ τῷ βλέμματι τὴν μητέρα ἑαυτοῦ ὑποβλέποντα, νεκρᾷ καὶ ἀτονούσῃ τῇ χειρὶ διανεύοντά τε καὶ παραμυθούμενον, ὑποφέρειν γενναίως παρεγγυῶντα· ὅτε δὴ ταῦτα εἶδεν ἡ μήτηρ, ἆρά τι ἔπαθε μικρόν; ἆρα συνεκινήθη τὰ σπλάγχνα; ἢ τὸν χιτῶνα περιερρήξατο; ἢ περιεχύθη τῷ τέκνῳ, θερμαῖς ταῖς ἀγκάλαις τὸν μαρασμὸν

ἐπιθάλπεται; ἄπαγε. καὶ τὸ εἰπεῖν τι τοιοῦτον, τῶν ἀγνώμων ἐστίν. ὄντως ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκομεν· οὐ δύναται δένδρον σαπρὸν καρποὺς καλοὺς ποιῆσαι. ἐπεὶ οὖν ὁ καρπὸς τῆς μαρτυρίας καλός, ἐπαίνεσον τὴν ἀξιοτόκον μητέρα, τὴν διὰ τῆς τεκνογονίας σωζομένην, καθώς φησιν ὁ Ἀπόστολος. ἐπειδὴ γὰρ τοιοῦτον παρέστησε τῷ Θεῷ τὸν καρπόν, ὑπὲρ τῆς κοινῆς τῶν γυναικῶν ἀπελογήσατο φύσεως. οὐκ ἐμόν, φησί, τέκνον, σύ· οὐ τῆς ἐμῆς ὠδῖνος βλάστημα. τὸν Θεὸν δεξάμενος, καὶ Θεὸν ἐγεννήθης. ἔλαβες ἐξουσίαν τέκνον Θεοῦ γενέσθαι. δράμε πρὸς τὸν σὸν πατέρα. μὴ καταλειφθῇς παρὰ τῶν ὁμηλίκων. μὴ δεύτερος ἐπὶ τὸν στέφανον ἔλθῃς. μὴ ἀτελῆ ποιήσῃς μητρῴαν εὐχήν. οὐ λυπήσεις μητέρα, στεφανίτης καὶ νικητὴς καὶ τροπαιοφόρος γενόμενος. ταῦτα λέγουσα, καὶ ὑπὲρ τὴν φύσιν ἑαυτὴν τονώσασα, μᾶλλον δὲ τονωθεῖσα ὑπὸ τοῦ πνεύματος, αὐτὴ τὸν ἐξ αὐτῆς μετὰ τῶν λοιπῶν ἐπὶ τὴν ἀπήνην ἀπέθετο, φαιδρῷ τῷ προσώπῳ τὸν Ἀθλητὴν προπεμψάσα. τὰ δὲ ἐπὶ τούτοις οἷα; ἐνήθλησαν τῷ ἀέρι οἱ Ἅγιοι, ἡγίασαν καὶ τὸ πῦρ τῇ ἑαυτῶν προσθήκῃ, ὕλη τῇ φλογὶ γενόμενοι, ἤνεγκαν καὶ ἐπὶ τὸ ὕδωρ τὴν εὐλογίαν, διὰ πάντων ἐπληροῦτο τὰ θεῖα λόγια. οἱ τρεῖς Παῖδες συμπαραλαμβάνουσιν εἰς τὴν κοινὴν ὑμνολογίαν ψῦχος καὶ καῦμα. τὸ ψῦχος, διὰ τῆς πήξεως, τὸ καῦμα, διὰ τῆς καύσεως. εἶτα διῆλθον διὰ πυρὸς καὶ ὕδατος. ἀλλ' ἐπιθυμεῖ ταῦτα ὡς ἐγνωσμένα παραδραμεῖν ὁ λόγος, καὶ περί τινος τῶν πρώην ζητουμένων ἐν καιρῷ νῦν ἐξετάσαι. ὅτε ἐξωρίσθη τοῦ Παραδείσου ὁ ἄνθρωπος, ἐτάχθη φρουρεῖν τὴν εἴσοδον φλογίνη ῥομφαία ἡ στρεφομένη. καὶ ἡ αἰτία τῆς τοιαύτης τοῦ Θεοῦ προμηθείας, τὸ μὴ παρελθεῖν ἐπὶ τὸ τῆς ζωῆς ξύλον τὸν ἄνθρωπον, καὶ ἅψασθαι, καὶ διαμεῖναι ἀθάνατον. μέμνησθε πάντως τῶν ζητουμένων· μέμνησθε δέ, ὡς εἰκός, καὶ τῶν πρὸς τὸ ζητούμενον ἡμῖν εἰρημένων. ἀλλ' εἰ μέλλοιμεν πάλιν ὑπ' ἀρχῆς ἐπεξιέναι, καὶ ὅλον διαλαμ-

βα-

βαίνειν τὸν λόγον, ὑπὲρ τὸν παρόντα ἔσαι καιρὸν ἡ ἐξέτασις. τὸ μὲν οὖν ζητούμενον τοῦτο ἦν· εἰ καὶ τοῖς Ἁγίοις ἄβατός ἐστιν ὁ Παράδεισος διὰ τῆς στρεφομένης ῥομφαίας, καὶ εἰ τοῦ Παραδείσου οἱ Ἀθληταὶ ἀποκλείονται, τίς ἡ ἐπαγγελία λοιπὸν, ὑπὲρ ἧς ἀναδέχονται τοὺς τῆς εὐσεβείας ἀγῶνας; καὶ εἰ τοῦ λῃστοῦ ἔλαττον ἕξουσι, πρὸς ὃν εἶπεν ὁ Κύριος· ὅτι σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ, καίτοιγε οὐχ ἑκουσίως ὁ λῃστὴς τῷ σταυρῷ προσῆλθεν. ἀλλ' ἐπειδὴ ἐγγὺς τῆς σωτηρίας ἐγένετο, εἶδεν ὁ ὀξὺς καὶ ἀφυὴς κλέπτης τὸν θησαυρὸν, καὶ ἐπιτυχὼν καιροῦ τὴν ζωὴν ἐλῄσατο, καλῶς τῇ κλεπτικῇ καὶ εὐστόχως ἀποχρησάμενος, Κύριε μνήσθητί μου, εἰπὼν, ἐν τῇ βασιλείᾳ σου. εἶτα ἐκεῖνος μὲν ἀξιοῦται τοῦ Παραδείσου, ἐπὶ δὲ τῶν Ἁγίων ἡ φλογίνη ῥομφαία διακωλύει τὴν εἴσοδον; ἢ αὐτόθεν ἔχει τὴν λύσιν τὸ ζήτημα; διὰ τοῦτο γὰρ οὐκ ἀεὶ ἑστῶσαν ἀντιπρόσωπον τοῖς εἰσιοῦσι τὴν ῥομφαίαν ὁ λόγος ἔδειξεν, ἀλλὰ καὶ στρεφομένην ἐποίησεν· ἵνα τοῖς μὲν ἀναξίοις καὶ στόμα προφαίνηται, τοῖς δὲ ἀξίοις στρεφομένη καὶ νῶτα γίνηται, ἀκώλυτον αὐτοῖς τὴν εἴσοδον ἐπὶ τὴν ζωὴν ὑπανοίγουσα, ἧς ἐντὸς ἐκεῖνοι γεγόνασι τῇ παῤῥησίᾳ τῶν ἀγώνων ἀπαθῶς τὴν φλόγα περάσαντες· ἣν καὶ ἡμεῖς ἀδεῶς περάσαντες, τοῦ παραδείσου ἐντὸς γενοίμεθα, διὰ τῆς πρεσβείας αὐτῶν δυναμωθέντες πρὸς τὴν ἀγαθὴν ὁμολογίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΠΕΡΙ Μετανοίας.

ΑΝὴρ Φαρισαῖος, ὡς ἀρτίως ἠκούσαμεν τοῦ Λουκᾶ λέγοντος, προτρέπει τὸν Κύριον εἰς ἑστίασιν καὶ ὑπωρόφιον ἄγει, καὶ κοινὴν παρατίθεται τράπεζαν. ὁ δὲ οὐ πρὸς τὴν κλῆσιν

ἀπα-

ἀπαναίνεται, οὔτε φεύγει τὸν ἄνθρωπον, μήτε μαθητὴν ὄντα, μήτε πιστεύσαντα, τῷ γράμματι δὲ προσδεδεμένον τοῦ νόμου, καὶ οὐδέπω πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας τοὺς ὀφθαλμοὺς ἀνοίξαντα, χαλεπῶς δὲ πρὸς τὰς ἐπαγγελίας ἀμβλυωποῦντα τῶν Προφητῶν. τί οὖν ἡμῖν τοῦτο τὸ κεφάλαιον ἀνέγραψεν ὁ Λουκᾶς; πότερον, ἵνα τὴν γνῶσιν ἔχωμεν, ὧν ὁ Ἰησοῦς κατειργάσατο πολιτευόμενος ἐν τῷ σώματι, καὶ γνῶσιν ἱστορίας ἐπωφελοῦς παραλάβωμεν, ἢ οὐ τινος ἐπωφελοῦς καὶ παιδευτικοῦ γέμει τὰ γράμματα, τὸν ἡμέτερον βίον πρὸς τὸ ὀρθὸν καὶ ἀδιάστροφον κανονίζοντα; οὕτω δὲ ἔχειν ἔγωγε ἡγοῦμαι, καὶ ἡμᾶς προσῆκον πείθεσθαι. πολλοὶ γάρ εἰσι τῶν ἑαυτοὺς δικαιούντων φίλαυτοι καὶ αὐτάρεσκοι, ἐν ὑπολήψει ἀγαθοῦ φρονήματος ὠγκωμένοι, ἁμαρτωλοὺς καλοῦντες τοὺς ἐγγίζοντας, καὶ πρὶν ἐλθεῖν τὸ ἀληθινὸν κριτήριον, ἑαυτοὺς, ὡς ἄρνας ἀπὸ τῶν ἐρίφων, χωρίζοντες, καὶ πρὸς τὴν θύραν τῆς βασιλείας βλέποντες ὡς ἀναπεπταμένην αὐτοῖς, οὐ στέγης, οὐκ ἐδεσμάτων ἀξιοῦντες τοῖς πολλοῖς κοινωνεῖν· βδελυσσόμενοι δὲ πάντας τοὺς μὴ τὴν ἄκραν, ἀλλὰ τὴν μέσην ἐπὶ τοῦ βίου πορευομένους ὁδόν. Ὁ τοίνυν Λουκᾶς ὁ πλέον τῶν ψυχῶν, ἢ τῶν σωμάτων ἰατρὸς, ἔγραψε τὸ ἐν χερσὶ διήγημα, οὐ λόγον ἁπλῶς, ἀλλὰ φάρμακον τῶν νοσούντων αὐθάδειαν, αὐτὸν ἡμῶν τὸν Θεὸν καὶ Σωτῆρα δεικνὺς, τὸν ἀσυγκρίτως καθαρὸν καὶ μόνον δίκαιον, συγγνωμονικῶς λίαν τοῖς κατεγνωσμένοις συναναστρεφόμενον, καὶ τοῖς οὐδέπω κεκαθαρμένοις συνδιαιτώμενον· οὐχ ἵνα τι προσλάβῃ τῆς ἐκείνων κακίας, ἀλλ᾽ ἵνα μεταδῷ τῆς οἰκείας δικαιοσύνης, κατὰ τὴν ἡλιακὴν ταύτην τὴν φαινομένην ἐνέργειαν· (ὅσον ἀπὸ τοῦ κτίσματος παραστῆσαι τοῦ Κτίστου τὴν πρόνοιαν.) ἴσμεν μὲν γὰρ, ὅτι καὶ ὁ ἥλιος οὐ τὰς ἡπλωμένας μόνον ἐπιλάμπει χώρας, ἀλλὰ καὶ ὅσαι κοιλότεραι καὶ τῆς αἰθράδης ἔλαχον θέσεως. παυσώμεθα τοίνυν, οἵτινες ὑπερφρονοῦμεν, ὡς ὁ λόγος φησί. μιμησώμεθα δὲ τοῦ Δεσπότου τὸ ἵλεων

ἢ φιλανθρώπου; τοῖς ταπεινοῖς διὰ τοῦτο συγκαταβαίνοντες· οὐχ ἵνα αὐτοῖς κειμένοις συνταπεινωθῶμεν, ἀλλ' ἵνα κἀκείνους ὑψώσωμεν. οἷον κολυμβηταί τινες ἔφυδροι τοὺς πνιγομένους πρὸς τὸν ζωτικὸν ἀέρα τοῦτον ἀνέλκοντες. Ἐπειδὴ δὲ πρὸς λεπτὴν νόησιν τὸ εὐαγγελικὸν γράμμα χειραγωγεῖ, φέρε πρὸς τὸν ἐμπεσόντα σκοπὸν ἑαυτοὺς ἀποτείνωμεν. Θαυμάζω σφόδρα τὴν ἐμπαθῆ ταύτην καὶ φιλήδονον περικειμένους σάρκα, ἡττωμένους δὲ καθημέραν ὕπνου καὶ γαστρός, οὐ μὴν οὐδὲ τῶν ἄλλων ἐρεθισμῶν ἀπείρως ἔχοντας, τῶν ὅσοι γνώριμοι πᾶσιν ἡμῖν τοῖς τῆς μιᾶς καὶ τῆς αὐτῆς κοινωνοῦσι φύσεως, ὅπως εἰσὶ σκληροὶ δικασταὶ τῶν ἁμαρτανόντων, καὶ ἑαυτῶν συγγνώμονες· ἀσθενεῖς ἀγωνισταὶ καὶ ἀπαραίτητοι νομοθέται, ὡς καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀναιρεῖν τὴν ἐλπίδα, καὶ ἀποφράττειν, ὡς νομίζουσι, τὴν ἄφθονον τοῦ ἐλέους πηγήν, καὶ μετὰ πολλῆς δὲ τῆς αὐθεντίας ἀποκλείειν τοῖς πλανηθεῖσι τῆς βασιλείας τὴν εἴσοδον. τοῦτο δὲ οὐδὲν ἄλλο, ἢ ἀπόγνωσιν ἐμποιεῖν ψυχαῖς ἰατρείαν ζητούσαις. ὁ γὰρ τῆς θεραπείας ἀπελπίσας, δοῦλος γίνεται καθάπαξ τῆς νόσου, καὶ πόρρω γε πάσης τῆς τῶν ἡμετέρων γραφῶν ἐπαγγελίας ἀλλότριος. οὐδὲν γὰρ ἐκεῖ τῷ σωφρόνως ἐξετάζοντι τοιοῦτον, ὃ μὴ χάρις δωρεῖται, καὶ θεραπεύει συγγνώμη. καὶ τίς οὕτως ἀπόκωφος καὶ ἀνήκοος τῶν λόγων τοῦ Ἰὼβ διαῤῥήδην πρὸς πάντας ἐκβοῶντος; ὅτι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, ἡμέρα οὐδ' ἂν μία ἡ ζωὴ αὐτοῦ. τίς δ' ἂν σωφρονῶν τοσοῦτον φρονήσειεν, ὡς ὑποκείμενος εὐθύναις, καὶ ταύταις ἐν δικαστηρίῳ Θεοῦ, περιττὸν οἴεσθαι συγγνώμην καὶ ἀχρεῖον τὸν ἔλεον; Εἰ δὲ καὶ πρὸς τὸ ἀκρότατον δικαιοσύνης καὶ ἀκριβείας ἦσαν ἐληλακότες· πατοῦντες δὲ ἀληθῶς, κατὰ τὸ γεγραμμένον, ἐπάνω ὄφεων καὶ σκορπίων· νικηταὶ δὲ καὶ στεφανῖται κατὰ τῆς ἁμαρτίας ἀνηγορεύθησαν, οὐδ' οὕτως ἐχρῆν πρὸς τὴν οἰκείαν ἀνδρείαν καὶ τὴν ἄλλων ἀπαίτησιν κανονίζειν τὸν βίον· ἀλλὰ τῆς μὲν ἰδίας εὐδοκιμήσεως τῷ δεδωκότι Θεῷ τὴν χάριν ὁμολογεῖν, ὅτι

καὶ φύσιν ἡγεμονικῶς ἐπέσχησαν, καὶ πειρασμῶν σατανικῶν ὑπὲρ ἐγένοντο χεῖρας. τοῖς δὲ ἀσθενήσασιν ὀρέγειν φιλανθρωπίας δεξιὰν, καὶ ἀνεγείρειν ἐκ τοῦ πηλοῦ, καὶ καθαίρειν ἐκ τῶν μολυσμάτων, διπλοῦν γὰρ ἂν οὕτω τὸν ἔπαινον ᾔροντο, τῆς τε ἰδίας ἀνδραγαθίας ὁμοῦ καὶ τῆς φιλαδέλφου καὶ χρηστῆς συμπαθείας τὰ γέρα λαμβάνοντες. νυνὶ δὲ ἄνθρωποί τε ὄντες τῶν χαμαὶ ἐρχομένων, καὶ ζῶντες βίον οὐ τὸν Ἀγγελικὸν καὶ ἐγγὺς τῶν ἀσωμάτων, ἀλλὰ τοιοῦτον, οἷον ἄν τις καὶ ὑπὸ συνηθείας ἀγάγοι καὶ σκάψειε, δικάζουσιν αὐστηρῶς, καὶ μετὰ πολλῆς τῆς αὐθεντίας τὴν καταλείνουσαν φέρουσι ψῆφον. ὡς ἐμὲ πολλάκις ὑπὸ τοῦ τύφου καὶ τῆς ἀλαζονείας ἀποπνιγόμενον εἰπεῖν ἐπ' αὐτοῖς τὰς Εὐαγγελικὰς ῥήσεις· ὅτι τὰς δοκοὺς ἐν τοῖς ἰδίοις ὀφθαλμοῖς μὴ βλέποντες, τῶν ἀλλοτρίων ὄψεων ἀποφυσᾶτε τὰ κάρφη· καὶ τὰ βαρύτατα φορτία τοῖς ἄλλοις δεσμεύοντες, ἐξινοῦτε βαρεῖς κεῖσθαι καὶ ἀσθενεῖς ἀχθοφόροι, τὸ βῆμα τοῦ Χριστοῦ προλαμβάνοντες, καὶ τοῦ Κριτοῦ τὴν ἀπόφασιν προαρπάζοντες· δοῦλοι καταφρονηταὶ, καὶ ἀπαραίτητοι τῶν ὁμοδούλων κριταί. Εἰ ζηλοῦτε Θεὸν, ὡς κατ' εἰκόνα κτισθέντες, μιμήσασθε ὑμῶν τὸ ἀρχέτυπον· ὦ Χριστιανοὶ τὸ φιλάνθρωπον ὄνομα, ζηλώσατε τοῦ Χριστοῦ τὴν ἀγάπην, ἀποβλέψατε πρὸς τὸν πλοῦτον τῆς ἐκείνου φιλανθρωπίας. μέλλων γὰρ ἀνθρώποις ἐπιφαίνεσθαι δι' ἀνθρώπου, προκαθῆκε μὲν τὸν Ἰωάννην, μετανοίας κήρυκα, καὶ μεταμελείας εἰσηγητὴν, καὶ πάντας πρὸ Ἰωάννου Προφήτας, ἐπιστροφῆς Διδασκάλους. εἶτα καὶ αὐτὸς μετ' ὀλίγον ἐπιφανεὶς, οἰκείᾳ φωνῇ βοᾷ αὐτοπροσώπως· δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. τοὺς δὲ τῇ κλήσει πεισθέντας πῶς ὑπεδέξατο; ἄπονον ἔδωκε τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, ἀκαριαίαν καὶ σύντομον τὴν τῶν λυπούντων ἀπαλλαγήν. Λόγος ἡγίασε, Πνεῦμα ἐσφράγισεν· ὁ παλαιὸς ἄνθρωπος συνετάφη· ὁ νέος ἐτέχθη, ἀνηβήσας τῇ χάριτι. τί τὸ ἑξῆς; ὁ ἄν-

θρωπος οἰκεῖος ἀντ' ἀλλοτρίου, υἱὸς ἀντὶ ξένου, μύστης ἐκ βεβήλου, Ἅγιος ἐξ ἀσεβοῦς. ὁ τοίνυν ταῖς οὕτω μεγαλοπρεπέσι καὶ ἀνυπερβλήτοις δωρεαῖς πλουτισθεὶς, ἁμαρτὼν εἰς τὸν φιλότιμον καὶ ἀγαθὸν εὐεργέτην, παρὰ μὲν ὑμῖν τοῖς δυσκόλοις καὶ ἀμαλάκτοις δικασταῖς εὐθὺς μήτε λόγου μεταλαβὼν, πάντως ἂν ἐπὶ τὸν ὄλεθρον ἤχθη, καὶ τῆς ἐνθάδε ζωῆς ἀποκοπεὶς, καὶ τὴν ἐκεῖ κολαζόμενος. ἐπεὶ δὲ ἄλλος ἐστὶν ὁ τῆς ψήφου Κύριος, ὁ ποιῶν τὸ ἔλεος εἰς χιλιάδας καὶ μυριάδας, καὶ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀναμένων δὲ τὴν ἐπιστροφὴν, οὐδὲν οὕτως οἱ τὴν φθάσιν χάριν ὑβρίσαντες ἐτιμωρήθησαν. ἀλλὰ πάλιν δεύτερος ἔλεος, καὶ ἀκολουθεῖ τῷ προτέρῳ, καὶ ἀμνηστεία συγγνώμῃ συνάπτεται. καὶ δάκρυον στάξαν ἰσοδυναμεῖ τῷ λουτρῷ, καὶ στεναγμὸς ἐπίμοχθος ἐπανάγει τὴν χάριν πρὸς ὀλίγον ἀναχωρήσασαν. εἰ ἀπιστεῖς τῷ λόγῳ, Πέτρον ἐρώτησον ἐν τῇ οἰκίᾳ τοῦ Ἀρχιερέως καθήμενον, καὶ λέξει σοι, ὅπως τὸ παράπτωμα τῆς ἀρνήσεως πικρῶς ὀδυράμενος ἐκαθάρθη· καὶ οὐκ ἀνέλυσεν εἰς τὸν Σίμωνα, ἀλλὰ Πέτρος διέμεινεν ὁ Ἀπόστολος. Ἐγὼ δὲ νομίζω, ὅτι καὶ Ἰούδας ὁ Ἰσκαριώτης, εἰ μὴ ταχέως αὐτὸς ἑαυτοῦ ἐγένετο δήμιος, ἀσύγγνωστον κρίνας τὴν ἁμαρτίαν, προσπεσὼν δὲ τὸν ἔλεον ᾔτησεν, οὐκ ἂν τῶν οἰκτιρμῶν τῶν πάσης ὑπερεχουσῶν τῆς οἰκουμένης ἠστόχησε. τεκμήριον δὲ τοῦ λόγου πάντες Ἑβραῖοι οἱ μετὰ τὸν Σταυρὸν πιστεύσαντες, καὶ τῷ λουτρῷ τὰς ψυχὰς ὁμοῦ καὶ τὰς χεῖρας νιψάμενοι. εἰ δὲ οἱ σταυρώσαντες ἠλεήθησαν, πῶς οὐκ ἂν ὁ προδοὺς τῆς ἀμνηστείας ἀπήλαυσεν; ἐδέσμει ποτὲ καὶ Παῦλος Χριστιανοὺς, ἀλλὰ βαστάσας ὕστερον ἁλύσεις ὑπὲρ Χριστοῦ, ἐκ τῆς ταυτοπαθείας ἔλυσε τὰ ἐγκλήματα. ἥμαρτε λιθάζων Στέφανον καὶ συνευδοκῶν τοῖς φονεύουσιν, ἀλλὰ λιθασθεὶς ἐξήλειψε τὸ πλημμέλημα. ἐτελώνουν ποτὲ Ματθαῖος καὶ Ζακχαῖος, ἀλλὰ τῇ καταφρονήσει τῶν χρημάτων τὴν τελωνείαν πατήσαντες, ὁ μὲν τῇ οἰκίᾳ τὸν Ἰησοῦν

ἐδέξατο, καὶ τῇ ψυχῇ πλέον· ὁ δὲ θαυμαστῶν πράξεων Εὐαγγελιστὴς καὶ Συγγραφεὺς ἀπεδείχθη ὁ Τελώνης. μετὰ τοῦ Φαρισαίου ἀναγκαῖον εἰς μνήμην, ἡ γυνὴ ἡ τὴν δραχμὴν ἀπολέσασα καὶ εὑροῦσα. Ἐξ ἀρχῆς δὲ εἰς τέλος εἴτις τοὺς ἀνθρωπίνου βίου παντὸς ἐν τοῖς καθεξῆς χρόνοις λογίσαιτο, τοὺς πολλοὺς εὑρήσει πρότερον μὲν ἐνεχθέντας ἁμαρτήμασιν, εἶτα τῇ πρὸς τὸ κρεῖττον ῥοπῇ μεταθεμένους τῆς γνώμης. Θεοῦ γὰρ οἰκεῖον καὶ μόνον ἐξαίρετον, πλημμελείας χωρὶς πάντα κατορθοῦν. ἄνθρωπος δὲ ὑπὸ φύσιν καὶ φθορὰν ἠγμένος, καὶ παντοίων ὑπάρχων δεκτικὸς παθῶν, οὔποτ᾽ ἂν ἀκατηγόρητος δειχθείη, περικοπείσης συγγνώμης. Ἀπόβλεψον πρὸς τὸν Δαβὶδ τὸν Βασιλέα τοῦ Ἰσραήλ, ὃν κατ᾽ ἐκλογὴν ἐχειροτόνησεν ὁ Θεός, ἐπαίνοις δὲ τοῖς τῆς μαρτυρίας ἐκόσμησε, λέγων· εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου Δαβὶδ τὸν τοῦ Ἰεσσαί. οὗτος μετὰ τὴν λαμπρὰν μαρτυρίαν, ἐπειδὴ τῷ πάθει τῆς ἀκρασίας ἑάλω, καὶ περιέπεσεν ἐκείνοις οἷς γινώσκομεν ἀτόποις, ἦλθε δὲ μετὰ τὸν ἔλεγχον τοῦ Προφήτου εἰς ἀναλογισμὸν τοῦ κακοῦ, ἀνάγραπτον ἀφῆκεν τοῖς εἰς ὕστερον ἐσομένοις τῆς μετανοίας τὸν μόχθον. καὶ θεωροῦμεν, ὡς ἐν εἰκόνι, τὸν ψαλτῳδὸν τὸν μόχθον, νῦν μὲν ἐκτηκόμενον τῇ λύπῃ τὸ σῶμα, αὖθις δὲ τὴν νύκτα καιρὸν θρήνων ποιούμενον, τὴν κοινὴν τῶν πόνων ἀνάπαυσιν, καὶ τῇ κλίνῃ τὸ δάκρυον ἐπιρρέοντα ὡς ἐκ πηγῶν τῶν βλεφάρων, καὶ πάλιν ἡμῖν τὸν πεντηκοστὸν Ψαλμὸν ἐκπονήσαντα, τύπον τὸν ἱλασκόμενον Θεόν· οὐ μὴν ὁ θρῆνος αὐτῷ μάτην ἐξεπονήθη, ἀλλ᾽ οἱ βαρεῖς στεναγμοὶ τὸν ἔλεον ἐφειλκύσαντο· ἀπέλαβε δὲ καὶ τῆς βασιλικῆς αὐθεντίας τὴν ἐξουσίαν, καὶ τῆς πρὸς Θεὸν ἱκεσίας τὴν παρρησίαν. ὁμοίως κἀκεῖνος ὁ τῆς Νινευὶ βασιλεύειν λαχών, τῷ μὲν πλήθει τῶν ἁμαρτιῶν συνηλαύνετο πρὸς τὸν ὄλεθρον ὁμοῦ τοῖς ἀρχομένοις λαοῖς, καὶ ὁ τῆς ἁμαρτίας ἔλεγχος ἐγγίζειν μετ᾽ ὀλίγον τὴν προθεσμίαν τῆς τιμωρίας ἐκήρυττεν. ἐπειδὴ δὲ συ-

ἤπως ἑαυτοὺς κακώσαντος, ἔφυγον τὴν πεῖραν τῆς συμφορᾶς, ἐλυπήθη μὲν ὅτι μὴ ἠλήθευσεν ὁ τῶν κακῶν Προφήτης, καὶ πρὸς τὸν ἔλεον τοῦ Θεοῦ χαλεπῶς ἠγροικίσατο. ὁ δὲ πανταχοῦ καὶ διὰ λόγων καὶ πράξεων γνωρίζων ἡμῖν, ὅσην ἔχει τὴν πρὸς τοὺς ἀνθρώπους εὐμένειαν, φύει μὲν τὴν κολοκύνθην ὑπὲρ κεφαλῆς τοῦ Προφήτου σκέπην τῆς λυπούσης ἀκτῖνος· ὑποκαθέντος δὲ τῇ σκιᾷ, ἀθρόον ἀποξηραίνει αὐτήν. εἶτα ὡς δυσκόλως ἔχοντα ἀφυπνώσας πρὸς τὸ συμβάν, ὀνειδίζει καὶ μέμφεται. εἰ μὲν οὗτος ἐμπαθῶς ἐπιστενάζοι τῷ μαρανθέντι λαχάνῳ, ὁ δὲ Θεὸς οὐκ ἂν ἐπεκλάσθη τηλικαύτῃ πόλει ἐγγὺς ἐλθούσῃ κινδύνου; Μάθετε οὖν οἱ σκληροὶ καὶ δυσμείλικτοι τὴν τοῦ κτίσαντος ἡμᾶς χρηστότητα, καὶ μὴ γίνεσθε τῶν ὁμοδούλων πικροὶ καὶ βαρεῖς δικασταί, ἄχρις ἂν ἀφίκηται ὁ τὰ κρυπτὰ τῶν καρδιῶν ἀποκαλύπτων, καὶ κατ' ἐξουσίαν δεσποτικὴν ἑκάστῳ τῆς προσδοκωμένης ζωῆς ἀποκληρῶν τὴν κατάστασιν. μὴ σκυθρωπὰς ἐκφέρετε τὰς ἀποφάσεις, ἵνα μὴ ταῖς ὁμοίαις ὑποβληθῆτε, καὶ τῶν οἰκείων στομάτων τοῖς λόγοις ὡς ὀδοῦσιν ὀξυτάτοις περιπαρῆτε. δοκεῖ γάρ μοι καὶ ἡ Εὐαγγελικὴ παρόρρησις τούτου προφυλακτικὴ τυγχάνειν τοῦ πλημμελήματος λέγουσα, μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· οὐ γὰρ τὴν κρίσιν καὶ τὴν εὐγνωμοσύνην ἐκβάλλει· κρίσιν δὲ ὀνομάζει τὴν τραχυτέραν κατάκρισιν. ποίησον οὖν, εἰ δοκεῖ, κοῦφον τὸ στάθμιον, εἴπερ βούλει μὴ πρὸς τὴν κατακρίνουσαν πλάστιγγα καὶ τὰς σὰς πράξεις καθελκυσθῆναι, ὅταν ὁ βίος ἡμῶν, ὡς ἐν ζυγῷ, τῇ κρίσει τοῦ Θεοῦ ταλαντεύηται. σῶμα περικείμενος καὶ διαζῶν ἐν σαρκί, μήποτε ἀπελάσῃς τοῦ βίου τὴν ἀπὸ ἰατρικῆς θεραπείαν. κἂν γὰρ ἐπὶ πλεῖστον ὅσον δεξιᾷ τε καὶ ὑγείᾳ συζήσῃς, ἀλλ' οὐχ οὕτω διατελέσεις ἄνοσος, ὡς ἐν χρείᾳ μὴ γενέσθαι τῆς ἐπιμελείας τοῦ θεραπεύοντος. καὶ ψυχὴν ἔχων κατακλινομένην πρὸς τὰ γήϊνα, ἡνίκα ἂν ἑαυτῆς ἐπιλαθομένη τῶν προσπαθειῶν ἐμπλησθῇ τοῦ σώματος, μὴ ἀναίρει τὸν

ἔλεον, ἵνα μὴ ἀμοιρήσῃς συγγνώμης, ὅταν αὐτῆς ἐπιδεὴς καταστῇς. Ἱερεύς τις ἐστὶ, καὶ ἡγεμονεύειν ἔλαχε τοῦ λαοῦ; συμπαθῶν ὁράτω τῶν ὑπηκόων τὰ πταίσματα, εἰδὼς ὅτι κἂν ἡ τάξις τοῦ βίου διαφορὰν ἔχῃ πρὸς τοὺς πολλοὺς, ἀλλὰ τῇ φύσει τῶν ποιμαινομένων οὐδὲν διενήνοχε· κοινωνῶν δὲ αὐτῆς, ἴσως ποτὲ κοινωνήσει καὶ πλημμελήματος. Ταῦτα καὶ Μωϋσῆς ἰδὼν (ἄνθρωπος γὰρ ἦν, καὶ τὴν φύσιν ἐγνώριζε) τὸν μόσχον ὑπὲρ τοῦ Ἱερέως ἱερουργεῖσθαι διέταξεν ἡμαρτηκότος πάντως καὶ καθαρσίων δεομένου καὶ πλειόνων. ὅπερ δὲ ἦν τότε ὁ ἔνσαρκος μόσχος, τοῦτο νῦν ἐστιν ἡ ἀσώματος μεταμέλεια, καὶ ἡ ἀναίμακτος δέησις· ἧς ὑψηλολογούμενοι καὶ μεγαλαυχοῦντες, τὴν εὐεργεσίαν μὴ λύσωμεν, εἰδότες ὅτι καὶ Ἀαρὼν ὁ δοκιμώτατος Ἱερεὺς τοῦ λαοῦ ζητοῦντι Θεοὺς συναπήχθη, καὶ μετὰ τῆς ἀδελφῆς τῆς Μαρίας ἑάλω τοῦ γογγυσμοῦ· καὶ εἰ μὴ ὁ γογγυσθεὶς ἱκέτευσεν, οὐκ ἂν τὴν τιμωρίαν διέφυγεν. ἄλλος ἐστὶν, οὐχ Ἱερεὺς, ἀλλ᾽ εἷς τῶν πολλῶν; φοβείσθω βαρὺ ἐπιτίθεναι ζυγόν. εἰ γὰρ ὁ καθαίρειν τὸν λαὸν προβληθεὶς χρῄζει καθαρσίων ἐνίοτε, τί ἂν πάθοι ὁ μηδὲ τῆς χειροτονίας ἔχων τὴν δύναμιν; Μιμησώμεθα τὴν ποιμαντικὴν τοῦ Δεσπότου. ἐγκύψωμεν τοῖς Εὐαγγελίοις, καὶ ὥσπερ ἐν ἐσόπτρῳ τὴν ἰδίαν καταμάθωμεν τῆς ἐπιμελείας τε καὶ χρηστότητος. βλέπω γὰρ ἐκεῖ ἐν παραβολαῖς καὶ τοῖς ἐπεσκιασμένοις τῶν λόγων ἄνδρα ποιμένα ἑκατὸν προβάτων. ὃς ἑνὸς θρέμματος ἀποσχισθέντος τῆς ἀγέλης καὶ πλανωμένου, οὐ τοῖς ἐν τάξει καὶ ἀπλανῶς νεμομένοις παρέμεινεν, ἀλλ᾽ ὁρμήσας ἐπὶ τὴν ζήτησιν, πολλὰς μὲν διώδευσε κοιλότητάς τε καὶ φάραγγας, μεγάλων δὲ καὶ ὑψηλῶν ὑπερηνέχθη σκοπέλων, καὶ ταῖς ἐρημίαις κραταιῶς ἐνεμόχθησε, μέχρις ἂν εὗρεν. εὑρὼν δὲ οὐκ ἔπληξεν, οὐ μὴν οὐδὲ ἤλασε σφοδρῶς, ἐπείγων πρὸς τὴν ἀγέλην. ἀλλ᾽ ἐπιθεὶς τῷ αὐχένι καὶ κομίσας μετὰ φειδοῦς, τοῖς συννόμοις ἀποκατέστησε, χαίρων ἐπ᾽ ἐκείνῳ πλέον, ἢ τῷ πλήθει τῶν ἄλ-

λων.

λων. Νοήσωμεν τοίνυν τὸ πρᾶγμα τὸ τοῖς αἰνίγμασιν ἐγκρυπτόμενον. τὸ γὰρ πρόβατον οὐκ ὄντως πρόβατον· καὶ ὁ ποιμὴν δὲ πάντως ἄλλο τι, οὐ μὴν ὁ τῶν ἀλόγων νομεύς· ἀλλ' ἐστιν ὑποδείγματα ταῦτα τῶν Ἱερέων παιδευτικά· ἵνα τῶν ἀνθρώπων μήτε προχείρως ἀπελπίζωμεν, μήτε καταρραθυμῶμεν κινδυνευόντων· ζητῶμεν δὲ τὸν ἐμπαθῆ, καὶ ἐπανάγωμεν εἰς τάξιν, καὶ χαίρωμεν τοῖς στρέφουσι, καὶ τῷ πληρώματι τῶν ὀρθῶς βιούντων ἀναμιγνύωμεν. Ἐπὶ τοσοῦτον δὲ τὸν Ἱερέα προσήκει ἀντὶ τῆς ἀποτομίας τὴν φιλανθρωπίαν ἀσκεῖν, ὥστε κἂν ὁ Δεσπότης ἐκκόπτειν κελεύῃ τινά, ὡς φυτὸν ἄχρηστον, αὐτὸν ὡς φυτοκόμον αἰτεῖν δεῖ τὴν φειδὼ καὶ ὑπέρθεσιν. τοῦτον γὰρ ἡμῖν παρίστησι τὸν νοῦν τῆς ἀκάρπου συκῆς ὁ λόγος· τὴν ἐκτομὴν θέλοντος τοῦ Κυρίου διὰ τὴν ἀκαρπίαν, ὁ γεωργὸς ἱκετεύει, καὶ ἀναβολὴν αἰτεῖ καὶ ὑπέρθεσιν, ἐλπίδας αὐτῷ χρηστὰς ὑποτείνων διὰ τῆς οἰκείας ἐπιμελείας. μὴ τοίνυν κόπτε προχείρως, ὁ τὴν τομὴν παρὰ τοῦ Κυρίου ἐπαγομένην κωλύειν ὀφείλων· μηδὲ καταγίνωσκε ταχέως τὴν ἀχρηστίαν· ἀλλ' ἐκπόνει τὴν ἐπιμέλειαν· σκάπτε τοῖς ἐλέγχοις· θάλπε ὡς κόπρῳ ταῖς παρακλήσεσι· πότιζε τῇ ἐπιρροίᾳ τῶν μαθημάτων· περίφραττε τοῖς προφυλακτικοῖς τῶν παραγγελμάτων ὡς χαρακώματι· σὸν ἐστὶ τὸ παραιτεῖσθαι, τοῦ κριτοῦ τὸ δικάζειν. ἐκεῖνο κληθῆναι σπουδάσωμεν, ὃ λέγεται καὶ ὁ Κύριος. Παράκλητος γὰρ ὀνομάζεται, ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων τὸν Πατέρα ἐξιλεούμενος. ὁμοίως καὶ τὸ Πνεῦμα τῆς ἀληθείας, τὴν ὑπὲρ ἡμῶν σπουδὴν ἔλαβεν ὄνομα. Παράκλητος γὰρ κἀκεῖνο λέγεται. πρεσβεία δὲ καὶ παράκλησις ὑπὲρ τῶν ἡμαρτηκότων πάντως σπουδάζεται, οὐ μὴν τῶν ἀνευθύνων καὶ ἀνεγκλήτων. ζήλωσον ὁ Ἱερεὺς τὸ κηδεμονικὸν τοῦ Μωσέως. μίμησαι τὴν ἐκείνου περὶ τοὺς ἀρχομένους διάθεσιν. ὃς παρακαλῶν τὸν Θεόν, ἵνα μὴ δυσμενὴς τῷ λαῷ πλημμελήσαντι, ἐπειδὴ μικρὸν ᾔσθετο παρελκομένης τῆς χάριτος,

τοῦτο γοῦν ἱκέτευε, προαπολέσθαι τοῦ λαοῦ, μὴ θεάσασθαι τῶν ποιμαινομένων τὸν ὄλεθρον. οὐδὲν δὲ οἷον αὐτῆς ἀπομνημονεῦσαι τῆς λέξεως· δέομαι, ἡμάρτηκεν ὁ λαὸς ἁμαρτίαν μεγάλην, καὶ ἐποίησαν ἑαυτοῖς θεοὺς χρυσοῦς. καὶ νῦν εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου, ἧς ἔγραψας. ὁρᾷς ὅπως τὴν τοῦ πλήθους σωτηρίαν τῆς οἰκείας προτίθησι, καὶ ἐξαλειφθῆναι ζητεῖ, εἰ μὴ κατορθοῖ τῷ κοινῷ τὴν συγγνώμην; οἱ δὲ νῦν πρὸς τοὺς ἁμαρτάνοντας πικραινόμενοι, προσιόντας ἐλαύνουσιν, ὑποπίπτοντας παρατρέχουσι, δακρυόντων οὐκ ἐπικλῶσιν τὸ πρόσωπον. τί οὖν ὁ Λουκᾶς, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ Ἅγιον; ἀνέγραψέ μοι τὸν υἱὸν τὸν ἄσωτον, ὃς καθύβρισε μὲν τῇ ἀναχωρήσει πρῶτον τὸν γεννησάμενον, εἶτα πρὸς τὰς ἡδονὰς καὶ μέθας ἐκβακχευθεὶς, καὶ φιλογύνης γενόμενος, πάντα τὸν πατρικὸν πλοῦτον ἐκένωσεν. ἐπειδὴ δὲ χρόνοις ὕστερον ἱκανῶς ἐνταλαιπωρήσας τοῖς μόχθοις, οἷς καὶ συβώτης γενέσθαι μισθωτὸς, καὶ τῆς αὐτῆς μετασχεῖν τοῖς χοίροις τροφῆς, ἐπανῆλθε πρὸς τὴν πατρικὴν ἑστίαν σωφρονισθεὶς, οὐκ ἀπεστράφη ὁ Πατὴρ, οὐδὲ ἐπέθηκεν αὐτῷ τὰς θύρας ἐπανελθόντι· ἀλλὰ καὶ τοὐναντίον, προσέδραμεν ἐγγίζοντι, καὶ ἐπεκλίθη τῷ τραχήλῳ, καὶ δάκρυον ἐπέσταξε συμπαθῶς τῷ αὐχένι. ἐποίησε δὲ πάλιν ἀντὶ ἀθλίου μακαριστὸν, ἐλευθερίῳ ἀμφιέσας ἐσθῆτι, καὶ δακτύλιον τῇ χειρὶ περιθεὶς, καὶ ἑορτὴν ἄγων τὴν ἡμέραν, καὶ διαξενίσας εὐωχίαν λαμπράν. ταῦτα δὲ πάντα λόγος ἐστὶ παραβολικὸς, ὑπανοίγων ὡς πατρικὴν ἑστίαν τὴν Ἐκκλησίαν, καὶ δεχόμενος φιλοφρόνως, ἵνα μὴ ὦσιν ὁμοδίαιτοι τοῖς χοίροις τοῖς δαίμοσι, γένωνται δὲ πάλιν ἐξ ἀλλοτρίων υἱοί. ἵνα τῷ βουλήματι τοῦ Θεοῦ συζῶσιν ὡς γνώμῃ Πατρὸς, καὶ τοῖς Ἁγίοις Ἀνδράσιν, ὡς ἀδελφοῖς. σὺ δὲ μὴ ζήλου τὴν γνώμην τοῦ πρεσβυτέρου, μηδὲ καταγόγγυζε τῆς τοῦ Πατρὸς φιλανθρωπίας, ὅτι καὶ τὸν ἄσωτον καὶ ὑβρισθεὶς ᾠκτίσατο. θαύμαζε μᾶλλον τὴν ἀγαθότητα, καὶ μιμοῦ τοῦ Θεοῦ

τὴν

τὴν ἀμφίεσιν, καὶ τοὺς ἐκ τῆς πλάνης ὑποστρέφοντας ἀναγκαλίζει, καὶ περιπτύσσει. οὕπω γάρ ἐστι τυφλῶν ὁδηγὸς, καὶ πλανωμένων διδάσκαλος. Πρὸς μὲν οὖν τοὺς βραχυτέρους τὴν γνώμην, καὶ τὴν ἀποτομίαν πρὸ τῆς συμπαθείας ἀσκοῦντας ἱκανῶς ἡμῖν εἴρηται, καὶ οὐδὲν δεῖ μακροτέρων. ἄκουε δὲ λοιπὸν καὶ ὁ τῆς ἐπιστροφῆς δεόμενος, ὅπως σοι προσήκει ἐπισυγνάζειν τοῖς ἁμαρτήμασι, καὶ τὰ παραπτώματα τῆς καρδίας ἀποθρηνεῖν. μᾶλλον δὲ, εἰ δοκεῖ, σκόπησον τὴν ἁμαρτωλὸν γυναῖκα τὴν παρὰ τῷ Λουκᾷ ἐπὶ τοῦ παρόντος ἀναγνωσθεῖσαν ἡμῖν. κἀκείνης τὸ ταπεινὸν καὶ εὐσύνετον ζήλωσον, καὶ λάβε κανόνας μετανοίας ἠκριβωμένη. ἐλθοῦσα γὰρ ἐπὶ τὸν οἶκον τοῦ Φαρισαίου, οὔτε τὸ πλῆθος τῶν ἑστιωμένων ἠρυθρίασεν, οὔτε τὸν καιρὸν τῆς εὐωχίας ὡς ἄκαιρον εἰς ἐξομολόγησιν ἔφυγεν. ἀλλὰ τῇ λύπῃ συνεχομένη, καὶ σφοδρὸν ἔχουσα τῶν πλημμελημάτων τὸ πένθος, οὐδὲ τὸ βραχύτατον ἠφίει τὸν τῶν ἁμαρτιῶν ἰατρόν. οὐ μὴν οὐδὲ εἰς τὸ πρόσωπον κατ' ὄψιν ἐρχομένη ἱκέτευεν. ἀλλὰ τὸ ἀνάξιον ἑαυτῆς καὶ ἀπαρρησίαστον διὰ τοῦ σχήματος ἑρμηνεύουσα, τὴν κατὰ νώτου χώραν καταλαβοῦσα, καὶ οὐδὲ ἑστῶσα ἁπλῶς, ἀλλὰ κατόπιν τῶν ποδῶν λαβομένη, λύσασα δὲ τὰς κόμας, καὶ τοῖς πράγμασι δημοσιεύουσα τὴν πενθοῦσαν ψυχὴν, καὶ τοῖς ποσὶ τοῦ Ἰησοῦ τὸ δάκρυον ἐπιρρέουσα, μετὰ πολλῆς τῆς συμπαθείας ᾔτει τὸν ἔλεον. καὶ τοσοῦτον προχεομένη, ὥστε καὶ βρέχειν τοὺς πόδας, καὶ τῇ κόμῃ πάλιν ἐκμάττουσα τὴν ὑγρότητα, πᾶσαν εὐλάβειαν ταπεινὴν ἐπεδείκνυτο. ἵνα δὲ συνελὼν εἴπω, πάσαις ταῖς αἰσθήσεσι καὶ τοῖς μέλεσι τοῖς ἡμαρτηκόσιν ἡ γυνὴ τὴν μετάνοιαν ἐξεπόνει. ἡ δὲ δημοσίᾳ καὶ εἰς τὸ ἐμφανὲς οὕτως ὀδυρομένη τὰς ἁμαρτίας, τίνα οὐκ ἰδίαν ἐπὶ σχολῆς ἔπραττεν; ἔξεστι τεκμηράμενον συνορᾶν. ὁ ἡμῶν δὲ ἡ μὲν ὑπόσχεσις μετάνοιαν ἐπαγγέλλεται, ἡ δὲ πρᾶξις, οὐδὲν ἐπίπονον δείκνυσιν. ἀλλὰ τὴν αὐτὴν ἔχομεν τοῦ βίου κατάστασιν, ἣν καὶ πρὸ τῆς ἁμαρτίας εἴχομεν, φαιδρότης

γὰρ ὁμοία καὶ ἐθὰς ἡ αὐτή, καὶ τραπέζης ἀπόλαυσις δαψιλὴς καὶ ὕπνος μακρὸς καὶ λελυμένος εἰς κόρον· ἀσχολίαι δὲ καὶ φροντίδες ἐπάλληλοι, λήθην ἐμποιοῦσαι τῇ ψυχῇ τῆς οἰκείας ἐπιμελείας. μόνον δὲ τὸ ὄνομα τῆς μετανοίας ἐπιγραφόμεθα ἄκαρπόν τε καὶ ἀνενέργητον· τῶν μὲν μυστηρίων ἑαυτοὺς χωρίζοντες καὶ τῆς κοινωνίας τῶν ἀπορρήτων ἁγιασμάτων. οὐδεμίαν δὲ σπουδὴν τῆς ἐπιστροφῆς τῆς πρὸς αὐτὰ ποιούμενοι, ἀλλ' ὡς δῆθεν καταφρονοῦντες τῆς ἀπολαύσεως. ἐννόησον ἄνθρωπε, πηλίκων ἀξιούμενος ἐχωρίσθης τῆς μετουσίας ἐκείνων. εἰ βασιλικῆς σὺ τραπέζης μετέχων ἦς, εἶτα προσκρούσας, τῆς τιμῆς ἀπερρίφης, πόσων ἂν ἐξωνήσω χρημάτων τὸ πάλιν γενέσθαι φίλος καὶ ὁμοτράπεζος; τίνων δὲ θύρας οὐκ ἂν διώχλησας ἱκετεύων, ἀπορούμενος, στένων, ἀβίωτον νομίζων τὸν βίον, τῇ τήξει καὶ χίσει τοῦ προσώπου τῆς ἐν τῷ βάθει λύπης τὴν ὀδύνην ἐμφαίνων, πάντα λίθον, τὸ τοῦ λόγου, κινῶν, μέχρις οὗ ἑαυτῷ τὴν συμφορὰν ἐπηνώρθωσας; ὁ δὲ τῆς πρὸς Θεὸν οἰκειώσεως χωρισθεὶς, καὶ τῆς ὄντως ὑψηλῆς τιμῆς ἐκπεσὼν, τί μέγα καὶ ἀξιόλογον ποιήσας, ψυχῆς κεκακωμένης ἐνδείξηται ταπεινότητα; οὐκ ἔστιν ἀκόλουθον νοσεῖν λέγοντα, τὴν αὐτὴν ζωὴν μετιέναι τοῖς ὑγιαίνουσιν. ἄλλη γὰρ δίαιτα τοῦ ἀρρώστου, καὶ ἕτερος βίος τοῦ ὑγιαίνοντος. ὁρᾷς ὅση ἐστὶν ἡ τοῦ ὑγιαίνοντος μεταβολὴ, τῆς τοῦ ἀσθενοῦντος μεταβολῆς; τῆς κατὰ τὴν ἕξιν αἰσθόμενος, ἐν δωματίῳ μικρῷ κατάκειται, πάσης συνήθους ἀναχωρήσας φροντίδος, ἀμελεῖ γεωργίας καὶ σφόδρα γεωργικὸς ὑπάρχων· ἀφίησι πλούτου μέριμναν, ὁ χρηματιστὴς καὶ φιλέμπορος· ὕδατι καὶ ψωμῷ διατρέφεται, εἰ καὶ πρότερον τρυφῆς γέμουσαν καὶ συμβοσιτικὴν παρετίθετο τράπεζαν· παισὶν οὐκ ἐπευφραίνεται τὰ συνήθη· γαμετῆς χωρισθεὶς, τοῖς ἰατροῖς συνέστη νύκτωρ τε καὶ μεθ' ἡμέραν, καὶ πολλοῖς μισθοῖς πρὸς ἀγαπητὸν κέρδος ἀποδίδοι τὴν ὑγείαν. ταῦτα ὁ τοῦ σώματος ἄρρωστος. ὁ δὲ τὴν ψυχὴν κακῶς διακείμενος τὸν ἀσώματον

παραγνοστήσας ἰατρόν, καὶ προσποιητῶς ὁμολογῶν καὶ δεικνὺς τὴν εὐθένειαν, καταλιμπάνεις νέμεσθαι καὶ σφακελίζειν τὸ πάθος, ἵνα πρὸς τὸν ὅλον ὄγκον διαχεθῇ· ἀλλὰ σωφρόνισον, γνῶθι σαυτόν. Θεὸν ἐλύπησας, τὸν δημιουργόν σου παρώργισας, τὸν καὶ τῆς παρούσης ζωῆς τὴν ἐξουσίαν ἔχοντα, καὶ τῆς μελλούσης Κύριον καὶ Κριτήν. ἀπὸ τρυφῆς ἐκακώθης· νηστείᾳ θεράπευσον τὴν ἀπόλαυσιν. ἀκολασία τὴν ψυχὴν ἔβλαψε· σωφροσύνη γενέσθω τῆς ἀῤῥωστίας φάρμακον. πλεονεξία πολύϋλος τὸν νοητὸν εἰργάσατο πυρετόν· ἐλεημοσύνη κενωσάτω τὴν πλησμονήν. καθάρσιον γὰρ ἡ τῶν πεπληρωμένων μετάδοσις. ἔβλαψεν ἡμᾶς ἁρπαγὴ τῶν ἀλλοτρίων· ἐπανελθέτω πρὸς τὸν ἴδιον Δεσπότην τὸ ἅρπαγμα. ψεῦδος ἡμᾶς ἐγγὺς τῆς ἀπωλείας ἤγαγεν· ἀπολεῖς γὰρ, φησὶ, πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. ἀλήθεια μελετηθεῖσα σβεσάτω τὸν κίνδυνον. ὅρκος παραβαθεὶς ἄγει πετόμενον τὸ ἀγέλαιον τοῦ Ζαχαρίου δρέπανον, τὴν τομὴν ἀπειλοῦν· ἐνδυσώμεθα πᾶσαν τὴν πανοπλίαν τῆς μετανοίας, ἵνα τὴν ἀκμὴν ἀποκρουσώμεθα τοῦ δρεπάνου. αἱρετικοῖς δόγμασιν ἀσεβῶς τις ἐδούλευσεν· ὀρθῆς δόξης φρονήματι τὴν δεισιδαιμονίαν φυγαδευσάτω. τοῦτο γάρ ἐστιν ἡ μετάνοια· λύσις καὶ ἀφανισμὸς τῶν πρώην ἢ κατὰ πρᾶξιν ἐνεργουμένων, ἢ κατὰ διάνοιαν νοουμένων. ὁ δὲ γνωρίζων τὸ τῆς μετανοίας ὠφέλιμον, ἀεὶ δὲ περὶ τὸν βόρβορον τῆς ἀνομίας στρεφόμενος, δόλῳ συγχαίνει παραπλήσιος γνωρίζοντι τὴν ὀργὴν τοῦ δεσπότου, ἐν ὄψεσι δὲ αὐτοῦ τὸ κακὸν ἐργαζομένῳ, καὶ τὴν ἁμαρτίαν διπλασιάζοντι. ἀδιάθητος ἡμῖν πρὸς τὴν ἐπικειμένην σε νόσον. συνέτριψον σαυτὸν, ὅσον δύνασαι. ζήτησον καὶ ἀδελφῶν ὁμοψύχων πένθος βοηθοῦν σοι πρὸς τὴν ἐλευθερίαν. δεῖξόν μοι πικρόν σου καὶ δαψιλὲς τὸ δάκρυον, μίξω καὶ τὸ ἐμόν. λάβε καὶ τὸν Ἱερέα κοινωνὸν τῆς θλίψεως, ὡς πατέρα. τίς γὰρ οὕτω πατὴρ ψευδώνυμος

ψυχὴν ἀδαμάντινος, ὡς μὴ συνοδύρεσθαι τοῖς τέκνοις λυπουμένοις, ἢ πάλιν συνευφραίνεσθαι χαίρουσιν; Ἱερεὺς οὖν τῆς κατὰ θρησκείαν οὕτως ὀδύρεται τὴν ἁμαρτίαν, ὡς Ἰακὼβ τοῦ Ἰωσὴφ τὸν ᾑμαγμένον χιτῶνα, ὡς Δαβὶδ τοῦ Ἀβεσαλὼμ τὸν ὄλεθρον, ὡς ὁ Ἠλεὶ τὸν Ὀφνὶ καὶ Φινεὲς πεσόντας ἐπὶ τῆς παρατάξεως, ὡς Μωϋσῆς τὸν λαὸν τὸν ἄθεον μοσχοποιΐαν καινοτομήσαντα. πρὸ τῶν σωματικῶν πατέρων, θάρρησον τῷ κατὰ Θεόν σε γεννήσαντι. δεῖξον αὐτῷ ἀνερυθριάστως τὰ κεκρυμμένα. γύμνωσον τὰ τῆς ψυχῆς ἀπόρρητα, ὡς ἰατρῷ πάθος δεικνύων κεκαλυμμένον. αὐτὸς ἐπιμελήσεται καὶ τῆς εὐσχημοσύνης καὶ τῆς θεραπείας. πλέον ἡ αἰδὼς τῶν γονέων ἅπτεται τῶν πεποιθότων αὐτῶν. ἡ γὰρ ἐκείνων δόξα τῶν γεννησαμένων ἐστὶ, καὶ ἡ αἰσχύνη ὁμοίως. ἄδηλος, ἀδελφοὶ, τῆς ζωῆς ἡ προθεσμία. φθάσωμεν τῇ ἐπιμελείᾳ τὴν ἔξοδον. ἄτοπον γὰρ τοὺς μὲν τῆς σαρκὸς λελογισμένως ποιουμένους τὴν πρόνοιαν, καθαίρειν ἑαυτοὺς τῶν ὑλῶν κατὰ τὰς ἐπιτολὰς τοῦ λεγομένου κυνός, ἵνα μὴ διασαπεὶς ἐκ τῆς ἄγαν θερμότητος τὸ ὑγρὸν νοσοποιὸν σῆψιν ἐργάσηται, τοὺς δὲ κατὰ διάνοιαν ἐπιμελείας χρῄζοντας μὴ προφθάνειν τοῦ θανάτου τὴν ἀδηλίαν, καὶ τοῦ κολαστηρίου πυρὸς τὴν ζέσιν τοῦ ἀλήκτως φλέγοντος, καὶ μηδέποτε ψυχομένου. τὴν δραχμὴν εἶχες τὴν Εὐαγγελικὴν, καὶ καλῶς ἐπλούτεις τῷ χρήματι· εἶτα διὰ ῥαθυμίαν ἀπώλεσας; ἅψον τὸν ἐκ τῆς μετανοίας λύχνον, κατάκυψον ἐπιμελῶς, ζήτησον τὸ κειμήλιον τοῖς γηΐνοις ἐγκρυπτόμενον πάθεσιν. εὑρηκὼς ἀνελοῦ καὶ σῶσον, ἵνα σοι συγχαρῶμεν οἱ γείτονες χαρὰν τὴν ἐν Χριστῷ, ᾧ πρέπει δόξα, νῦν, καὶ ἀεὶ, καὶ εἰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΡΟΚΛΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

### Ἐγκώμιον εἰς τὸν Ἅγιον Πρωτομάρτυρα Στέφανον.

Ὁ Μὲν αἰσθητὸς ἥλιος ὑπὲρ γῆν ἀνατέλλων Ἀρκτοῦρον, καὶ Ὠρίωνα, καὶ Πλειάδα, καὶ αὐτὸν τὸν Ἑωσφόρον παρανατέλλοντα ἔχει. ὁ δὲ τῆς δικαιοσύνης ἥλιος ἐκ κόλπων παρθενικῶν ἀναλάμψας, τὰς μὲν Ἀστρῴας χορείας εἰς συνδρομὴν φωτὸς οὐκ ἐπιδέχεται, Στέφανον δὲ τὸν πρωτομάρτυρα συνανατολέα τῶν ἀθανάτων ἀκτίνων πεποίηται. ἐκεῖνος μὲν τὴν ἀρκτῴαν εἰς τὴν νοτιαίαν ζίβον ἐλαύνων, ποτὲ μὲν συστέλλει, ποτὲ δὲ πλατύνει τῆς ἡμέρας τὰ μόζα, οὗτος δὲ τῇ πρὸς ἡμᾶς ἐξ οὐρανοῦ ἐπιδημίᾳ τὴν δικαιοσύνην αὐξήσας, ἀμίαντον καὶ ἀμείωτον τὸ ταύτης ἐτήρησε φέγγος. ἐκεῖνος νυκτὸς διάδοχος, οὗτος θανάτῳ ἀντίπαλος. ἐκεῖνος σκότους φυγαδευτὴς, οὗτος ἁμαρτίας ἀναζοπεύς. ἐκεῖνος δωδεκάωρον φέγγει, οὗτος δι' αἰῶνος ἀστράπτει. ἐκεῖνος δι' Ἀστέρων ὁδεύει, οὗτος δι' Ἀποστόλων ἐκλάμπει. ἐκεῖνος διὰ καιρῶν καὶ χρόνων περιέρχεται, οὗτος διὰ Προφητῶν καὶ Εὐαγγελιστῶν κηρύττεται. ἐκεῖνος τὰς ὥρας τῷ δρόμῳ ὑφαίνει, οὗτος τῷ λόγῳ τὰς Ἐκκλησίας μεγαλύνει. ἐκεῖνον ἐπὶ ἅρματος οἱ ζωγράφοι ἐπιβεβηκότα γράφουσι, τοῦτον οἱ Θεολόγοι ἐπὶ φάτνης ἀναπαυόμενον διαγγέλλουσι. φάτνης, τὸν Οὐρανὸν μιμουμένης. φάτνης, τοῖς Χερουβὶμ παρισουμένης.

φάτ-

φάτνης, τῷ ἀῤῥήτῳ θρόνῳ συγκεκοινωμένης· φάτνης, ἀλόγων λογικὴν τροφὴν περιεχούσης· φάτνης, τὴν τοῦ παντὸς ζωὴν ὑποδεξαμένης· φάτνης, τὸν τὰ πάντα βαστάζοντα βαστασάσης· φάτνης, πάσης ὁμοῦ τῆς κτίσεως πλατυτέρας· ὃν γὰρ κτίσις οὐ χωρεῖ, τοῦτον ἡ φάτνη διὰ τὴν χάριν ἐχώρησε· φάτνης, ὑπὸ ἀστέρος ἡμεροδρόμου μηνυομένης· φάτνης, ἐν ἑαυτῇ τὸ θυσιαστήριον προδιαγραφούσης· φάτνης, Ἐκκλησίαν τὸ σπήλαιον ἀποτελεσάσης. δεῦτε τοίνυν καὶ ἡμεῖς τοὺς εὐσεβεῖς Μάγους ζηλώσωμεν, καὶ τὴν Ἐκκλησίαν ἀντὶ Βηθλεὲμ καταυγάσωμεν. ἀντὶ τοῦ σπηλαίου τὸ ἱερατικὸν ἀσπασώμεθα βῆμα. ἀντὶ τῆς φάτνης τὸ θυσιαστήριον προσκυνήσωμεν. περιπτυξώμεθα τὸν διὰ τοῦ βρέφους εὐλογούμενον ἄρτον. ἐφ᾽ ἅπασι δὲ τούτοις, τὸν ὑπὸ τοῦ Στεφάνου σήμερον καταγγελλόμενον Βασιλέα δοξάσωμεν. ὢ ξένου Βασιλέως παράδοξα πράγματα. χθὲς ἐτέχθη, καὶ σήμερον αὐτῷ Στέφανος προσηνέχθη, Στέφανος, ὁ φερώνυμος μάρτυς. Στέφανος, ὁ ἔμψυχος στέφανος. Στέφανος, τὸ αὐτόπλεκτον διάδημα. Στέφανος, τὸ αὐτοχάλκευτον περίθεμα. Στέφανος, τὸ αὐτοφυὲς τῆς ἰδίας κορυφῆς στεφάνωμα. Στέφανος, τὸ πολυανθὲς τῆς Πίστεως βλάστημα. Στέφανος, τὸ τῆς ἀγάπης εὐωδέστατον ῥόδον. Στέφανος, τὸ τῆς ἐλπίδος ἀμαράντινον ἄνθος. Στέφανος, ὁ τῆς χάριτος εὐθαλέστατος στάχυς. Στέφανος, ὁ τῆς ἀειζώου ἀμπέλου τὸ πολύφορον κλῆμα. Στέφανος τῆς ἀθανασίας ὁ μελισταγὴς βότρυς. Στέφανος, ἡ τοῦ σταυρωθέντος οὐρανομήκης παραφυάς. Στέφανος, παντὸς ἀγαθοῦ ἔργου καὶ λόγου τὸ πλήρωμα. Στέφανος, ὁ τῆς ὁμολογίας ἀκαθαίρετος πύργος. Στέφανος, ὁ τῆς ὑπομονῆς ἀσάλευτος πρόβολος. Στέφανος, ὁ τῆς ἐγκρατείας σταυροφόρος ὁπλίτης. Στέφανος, ὁ τῆς εὐσεβείας ἀήττητος στρατιώτης. Στέφανος, ὁ ἔμψυχος στρατηλάτης. Στέφανος, ὁ κατὰ τῶν Χριστοκτόνων θαρσαλέος ὁπλίτης. ἔκαμον, ἔκαμον, πλέκων τῷ Στεφάνῳ τὸν στέφανον, καὶ οὐδέπω τῆς πλοκῆς ἐφηψάμην. τῇ θεία

θείνων γραφῇ, τὸν Στέφανον στεφανῶσαι παραχωρήσωμεν. Στέφανος γάρ, φησι, πλήρης χάριτος καὶ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. πῶς ἐπαινέσω τὸν Στέφανον, ὃν ἡ χάρις τοῖς οἰκείοις δακτύλοις ἐπλέξατο; τί χαρίσωμαι τῷ Στεφάνῳ, πάντων Μαρτύρων κεφαλὴν στεφανοῦντι; τί δυνάμαι προσθεῖναι τῷ τῇ χάριτι πεπλεγμένῳ Στεφάνῳ; ποίῳ λόγῳ κοσμήσω τὸν παντὸς ἀνθηρότερον κόσμου; ποίοις ῥήμασι θαυμάσω τὸν μυρίοις κομῶντα τοῖς θαύμασι; Στέφανος γάρ, φησι, πλήρης χάριτος καὶ δυνάμεως, ἐποίει τέρατα, καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. χάρις καὶ δύναμις τῷ Στεφάνῳ τὸν στέφανον ἔπλεκον. ἐξ ἑκατέρας χειρὸς πρὸς τὸν ἀγῶνα τὸν καλὸν συνετίθετο. ἡ μὲν πρὸς τὴν πίστιν αὐτὸν, ἡ δὲ πρὸς τὸ μαρτύριον ἥρμοζεν· ἡ μὲν πρὸς τὴν διακονίαν, ἡ δὲ πρὸς τὸν λόγον ὡδήγησεν· ἡ μὲν πρὸς παρρησίαν, ἡ δὲ πρὸς ὑπομονὴν διερρύθμισεν· ἡ μὲν πρὸς θαύματα, ἡ δὲ πρὸς κατορθώματα παρεσκεύαζε. χάρις καὶ δύναμις, ὁμότιμον φύτευμα· χάρις καὶ δύναμις, ὁμόχρονον βλάστημα· χάρις καὶ δύναμις, ὁμόρριζον κλάδευμα· χάρις καὶ δύναμις, ὁμοδίαιτος συζυγία· χάρις καὶ δύναμις, τὸ διττὸν τῆς πίστεως μόχλευμα· χάρις καὶ δύναμις, ἡ ὁμόηχος συμφωνία· χάρις καὶ δύναμις, οἱ καλλιβλέφαροι τῆς ὀρθοδοξίας ὀφθαλμοί· χάρις καὶ δύναμις, οἱ δίδυμοι τῆς Ἐκκλησίας μαστοί· χάρις καὶ δύναμις, αἱ ὁμόσκηνοι τοῦ Χριστοῦ στρατιώτιδες· χάρις καὶ δύναμις, οἱ τοῦ Στεφάνου ἄγρυπνοι φύλακες. Στέφανος γάρ, φησι, πλήρης χάριτος καὶ δυνάμεως. θυμιατήριον τῆς χάριτος ἦν ὁ Στέφανος, τὸ τῆς ἁγιωσύνης [illegible] θυμίαμα. πηγὴ ἦν τῆς χάριτος, ἀεννάοις ἀρετῆς πλημμυρῶν τοῖς νάμασι. Νεῖλος ἦν τῆς χάριτος, τῷ τῆς εὐσεβείας περιβλύζων ῥεύματι. Ἀθλητὴς ἦν τῆς χάριτος, πρὸς πᾶσαν ἀνταγωνιστῶν ἀντιφερόμενος δύναμιν. στρατιώτης ἦν τῆς χάριτος, πρὸς πᾶσαν τὴν ἐναντίων μηχανὴν τῷ τῆς θεο-

θορύβων τὰ παντοῖα, καὶ τὴν ἐπανάστασιν ἐπιφερόμενος, τὰ πάντων τοῖς τοξεύμασι, τοῖς διωγμοῖς ἐγκαρτερῶν, τοῖς θαύμασιν ἐγχορεύων, τὰ πάθη διώκων, τὰς νόσους φυγαδεύων, τοὺς δαίμονας ἀπελαύνων, τοῖς πτωχοῖς ὑπηρετῶν, τοὺς ἀρρώστους παραμυθούμενος, ταῖς χήραις ἐπαμύνων, ὀρφανῶν προϊστάμενος, ἀδικουμένοις προασπίζων, τὸ κήρυγμα πλατύνων, τὴν πίστιν διαγγέλλων, τὸν Σταυρὸν θεολογῶν, τοῖς ἥλοις ἐγκαυχώμενος, τὸν κάλαμον ἐκθειάζων, τὰ δεσμὰ μεγαλύνων, τὴν λόγχην διακηρύττων, τὴν ὑπὲρ τοῦ Κόσμου πληγεῖσαν πλευρὰν εὐφημῶν, τὸ θανατοκτόνον πάθος προσκυνῶν, τὴν φάτνην προβαλλόμενος, τοῖς σπαργάνοις ἐγγαυριώμενος, τῷ ῥαπίσματι σεμνυνόμενος, τὸ Πιλάτου δικαστήριον οὐκ ἐπαισχυνόμενος, τὸν τάφον οὐκ ἀποκρυπτόμενος, τὴν ἀνάστασιν μεγαλαυχούμενος, Ἰουδαίους ἐλέγχων, γραμματεῖς ἐπιστομίζων, τὸν νόμον ἑρμηνεύων, τοὺς Προφήτας διερμηνευόμενος, τὰς γραφὰς διανοίγων, λάμποντα τὸν Χριστὸν ἐν αὐταῖς ἐκκαλύπτων, τοῖς σταυρώσασιν ἐπεμβαίνων, τοῖς παρανόμοις ἐπιτιμῶν, τοῖς ἀσεβέσιν ἐναλλόμενος, τοὺς ἀπίστους τῇ πίστει καταγωνιζόμενος, τοῖς πανταχόθεν ἐπιδημοῦσιν Ἰουδαίοις περὶ τοῦ κηρύγματος συμπλεκόμενος. ἀνέστησαν γάρ τινες ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. πολλὰ τὰ κύματα, ἀλλ' ἔμπειρος ὁ κυβερνήτης. πυκναὶ αἱ θύελλαι, ἀλλὰ σταυροφόρον τὸ πλοῖον. ἐπάλληλαι αἱ καταιγίδες, ἀλλ' ἡ τρόπις ἄνωθεν ἐσφιγμένη. οὐ δύναται τὰ κύματα πρὸς Οὐρανὸν ἀντεγείρεσθαι· οὐ δύναται πνεῦμα πονηρὸν τῷ ἄνωθεν πνεύματι μάχεσθαι· οὐ δύναται λυθῆναι σκάφος τῇ Ζωῇ κυβερνώμενον. ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ

τῶν

τῶν ἀπὸ Κιλικίας, καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ, καὶ τῷ Πνεύματι, ᾧ ἐλάλει. καὶ περὶ τίνος ἡ ζήτησις; περὶ τοῦ ἀῤῥήτως κυοφορηθέντος, περὶ τοῦ παρὰ φύσιν τεχθέντος, περὶ τοῦ ὑπὲρ λόγον θηλάσαντος. πῶς δίχα μίξεως ἡ Παρθένος Μήτηρ ἐγένετο. πῶς μετ᾽ ὠδῖνας πάλιν Παρθένος ηὑρίσκετο· πῶς ἡ φύσις τῷ θαύματι παρεχώρησε. πῶς ἐπὶ τῆς Μαρίας τοὺς ἰδίους οὐκ ἐξήτησεν ὅρους. πῶς ὁ ἀχώρητος εἰς βρέφος συνεστέλλετο. πῶς ἔμβρυον ἦν, καὶ τὰ πανταχοῦ διέπλαττεν ἔμβρυα· πῶς ἐτίκτετο, καὶ πᾶσι παρεῖχε τὸ τίκτεσθαι· πῶς ἐθήλαζε, καὶ πᾶσι τοῖς θηλάζουσι τὰς πηγὰς ἐχορήγει τοῦ γάλακτος. πόση τοῦ νόμου καὶ τῆς χάριτος ἡ διαφορά· πῶς ὁ μὲν κατακρίνει, ἡ δὲ συγχωρεῖ· ὁ μὲν κολάζει, ἡ δὲ διασώζει· ὁ μὲν ὑπηρετεῖ, ἡ δὲ αὐθεντεῖ· ὁ μὲν τὴν ἁμαρτίαν ἐπιτρίβει, ἡ δὲ τὴν ἁμαρτίαν ἐξαφανίζει· ὁ μὲν τὸ ξίφος ἐπιτείνεται, ἡ δὲ τὸ ἔλεος μεταχειρίζεται· ὁ μὲν δημίου τάξιν ἐπέχει, ἡ δὲ βασιλικῶς ἐξουσιάζει· ὁ μὲν τῷ καταδίκῳ τὸ ἀπαρτίον περιτίθησιν, ἡ δὲ φιλανθρώπῳ δεξιᾷ τὸ τοῦ θανάτου σύμβολον ἀφαιρεῖται. τοσαῦτα τὰ τοῦ Στεφάνου περὶ τῆς χάριτος θεολογοῦντος πρὸς τοὺς Ἰουδαίους, ἐπιστάντες, φησὶν, οἱ θεομάχοι, καὶ συναρπάσαντες αὐτὸν, ἤγαγον εἰς τὸ συνέδριον. ὅπου ἁρπαγὴ, ἐκεῖ καὶ Ἰουδαϊκὴ συνδρομή· ὅπου ταραχὴ, ἐκεῖ καὶ ὁ μισόχριστος δῆμος· ὅπου φόνος ἄδικος μελετᾶται, ἐκεῖ γραμματέων συνέδριον. τί μιαίνεις τὴν καθέδραν Μωϋσέως παρανόμε; τί μολύνεις θρόνον, ὃν ὁ νόμος ἐκόσμησεν; ὁ νόμος Μωϋσέως εἶπεν, οὐ φονεύσεις, οὐ ψευδομαρτυρήσεις· ἢ τοίνυν τήρησον τὸν νόμον, ἢ τούτου ἀπόστηθι. ἔστησαν δὲ μάρτυρας ψευδεῖς λέγοντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται λαλῶν ῥήματα βλάσφημα κατὰ τοῦ τόπου τοῦ Ἁγίου τούτου καὶ τοῦ νόμου. ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος, οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν

ἡμῖν

ἡμῖν Μωσῆς. πάλιν οὖν ὑπέβαλον ἄνδρας ψευδεῖς λέγοντας· ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ τὸν Θεόν. νῦν Μωϋσέα θαυμάζεις ὦ συκοφάντα; νῦν ὡς νομοθέτην τιμᾷς, ὃν ζῶντα διέπτυες; νῦν ὡς βλασφημούμενον ἐκδικεῖς; οὐ πρὸ πάντων κατὰ Μωϋσέως λίθους ἔβαλες; οὐ τῷ Θεῷ λίθους καὶ ξύλα, καὶ ξόανα προετίμησας πάντοτε; καὶ νῦν ἵνα ποιήσῃς φόνον, εὐλάβειαν ἐπαγγέλλῃ; ἵνα ἐκχύσῃς αἷμα ἀθῷον, θεοσέβειαν σχηματίζῃ, ὁ καὶ τότε, καὶ νῦν τὴν ἀλήθειαν συνταράσσων; ὁ καὶ τότε τολμηρῶς ἐνυβρίζων, καὶ νῦν ἀνοσίως τιμῶν; ὁ κακῶς ἀγοράζειν αἵματα μελετήσας; ὁ πάντοτε ψευδομαρτύρων ἐργαστήριον συγκροτῶν; ἔστησαν γάρ φησι μάρτυρας ψευδεῖς λαλοῦντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται λαλῶν ῥήματα βλάσφημα εἰς Μωϋσῆν, καὶ εἰς τὸν Θεόν, καὶ κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ τοῦ νόμου. ποῖα ῥήματα; ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος· ὅτι Ἰησοῦς ὁ Ναζωραῖος, οὗτος καταλύσει τὸν τόπον τοῦτον. τί οὖν; ἐὰν φονεύσῃς τὸν Στέφανον, ὁ τόπος οὐ καταλυθήσεται; μᾶλλον οὖν καταλυθήσεται, ὅτι Διακόνην καὶ δοῦλον ἐφόνευσας· ὅτι τῷ ποιμένι τὸ πρόβατον συγκατέθυσας· ὅτι τῷ Βασιλεῖ τὸν στρατιώτην συγκατέσφαξας. οὐ δύναται πόλις ἑστάναι, ἔνθα ὁ Βασιλεὺς κατεσφάγη· οὐκ ἔτι τιμᾶται Ναὸς, ἔνθα δεσποτικὸς φόνος ἐτελέσθη. μὴ γὰρ Στέφανος ἀπεφήνατο, ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος; μὴ γὰρ Στέφανος εἶπεν, οὐ μὴ μείνῃ ἐν τῷ Ναῷ λίθος ἐπὶ λίθον; ὢ τοῦ παραδόξου θαύματος· ὢ τοῦ παραλόγου πράγματος· Θεὸς ἀπεφήνατο, καὶ ἄνθρωπος κρίνεται· Χριστὸς κατεψηφίσατο, καὶ Στέφανος δίδωσι δίκας· ὁ Βασιλεὺς ἠλήθευσε, καὶ ὁ στρατιώτης εὐθύνεται. σὺ τῆς τοιαύτης ἀποφάσεως αἴτιος εἶ, ὦ Ἰουδαῖε. ἔπηξας Σταυρὸν, καὶ τὴν Ἱερουσαλὴμ ἀνεμόχλευσας· εἶπας, τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· δέχου τοίνυν τὴν καταδίκην, ἣν αὐτὸς διώρισας. ὑπάρχων δέ φησι Στέ-

φανος πλήρης πνεύματος Ἁγίου, ἀτενίσας εἰς τὸν Οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. καὶ μὴν πῶς ὁ Παῦλος καθεζόμενον αὐτὸν λέγει; ἐκάθισε γάρ, φησιν, ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης τοῦ Θεοῦ ἐν ὑψηλοῖς. τί οὖν τὸ αἴτιον τοῦ νῦν αὐτὸν ἑστάναι; ποία ἀνάγκη ἐκ τῶν Πατρικῶν αὐτὸν ἐγείρεσθαι θρόνων; εἶδε τὸν Ἀθλητὴν ἀγωνιζόμενον, καὶ βραβεῦσαι αὐτῷ τὴν νίκην ἀνέστη. εἶδε τὸν ἀεροπόρον ναύτην, ἐπειγόμενον ἄνω, καὶ τοὺς Οὐρανοὺς αὐτῷ ἀντὶ λιμένος ἤνοιξε. μὴ φοβηθῇς φησιν ὦ Στέφανε· οὐδείς σου τὴν πάλην παρεβραβεύσει. δεξιάν σοι βουλόμενος δοῦναι, ἐκ τῶν θρόνων ἀνέστην. εἰς ἐμὲ τὸν σταυρωθέντα βλέπων, τῆς συμπλοκῆς κατατόλμησον. ἐκεῖνός εἰμι, ὃν εἶδες ἐν τῷ ξύλῳ κρεμάμενον σαρκί. τῇ προσηλώσει ἐν αὐτῇ σε βραβεύσω. ἀγωνοθέτης εἰμί, ἀλλὰ γὰρ καὶ Ἀθλητὴς μαρτυρίῳ γεγένημαι. ἐπὶ σταυροῦ ὡς ἐπὶ παλαίστρας ἐπάλαισα. ἐν τῷ με συλλαβέσθαι, τὸν ἀντίπαλον διάβολον ἔῤῥηξα. μὴ φοβηθῇς τοὺς λιθάζοντας· ἄκοντές σοι κλίμακα πρὸς Οὐρανὸν προστιθέασι. μὴ φοβηθῇς τοὺς λιθάζοντας· βαθμοί σοι πρὸς Οὐρανὸν οἱ λίθοι γενήσονται. μὴ φοβηθῇς τοὺς λίθους· τὸν ἀκρογωνιαῖον λίθον ἔνδοθεν περιφέρων Ἰησοῦν Χριστὸν τὸν Θεόν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΑΓΙΑ

### Θεοφάνια.

ΧΡιστὸς τῷ Κόσμῳ ἐπεφάνη, καὶ τὸν ἄκοσμον Κόσμον κοσμήσας ἐφαίδρυνε. τὴν τοῦ Κόσμου ἁμαρτίαν ἀνέλαβε, καὶ τὸν τοῦ Κόσμου ἐχθρὸν κατέβαλεν. ἡγίασεν ὑδάτων πηγὰς, καὶ ἐφώτισε τὰς τῶν ἀνθρώπων ψυχάς. θαύματι συμπλέκει μείζονα θαύμασι. σήμερον γὰρ ἡ γῆ καὶ ἡ θάλασσα τὴν τοῦ

Σωτῆρος χαρᾶς ἐμείξαντο, καὶ πᾶς Κόσμος εὐφροσύνης πε-
πλήρωται, καὶ τῆς προλαβούσης ἑορτῆς ἡ σήμερον ἑορτὴ μείζονα
δείκνυσι τῶν θαυμάτων τὴν αὔξησιν. καὶ γὰρ ἐν τῇ προλαβούσῃ
ἑορτῇ τῶν Γενεθλίων τοῦ Σωτῆρος γῆ ἔχαιρεν, ἐν τῇ φάτνῃ τὸν
τῶν ἁπάντων Δεσπότην βαστάζουσα. ἐν δὲ τῇ σήμερον ἑορτῇ
τῶν Θεοφανίων ἡ θάλασσα λίαν εὐφραίνεται. εὐφραίνεται δὲ
ὡς διὰ Ἰορδάνου τῆς τοῦ ἁγιασμοῦ εὐλογίας μεταλαμβάνουσα.
ἐκεῖ τῇ προλαβούσῃ ἑορτῇ ἀτελὲς βρέφος ἐδείκνυτο, τὴν ἡμε-
τέραν ἀτελειότητα δεικνύμενον. ἐν δὲ τῇ σήμερον ἑορτῇ τέλειος
ὁρᾶται, τὸν ἐκ τελείου τέλειον αἰνιττόμενος. ἐκεῖ τὸν τεχθέντα
ἐμήνυσεν ὁ ἐν τῇ ἀνατολῇ προκύψας ἀστήρ· ἐνταῦθα δὲ τὸν
βαπτιζόμενον μαρτυρεῖ ἄνωθεν ὁ γεννήσας Πατήρ. ἐκεῖ Μά-
γοι ἐξ ἀνατολῶν πεζοπορήσαντες, ὡς Βασιλεῖ δῶρα προσέ-
φερον· ἐνταῦθα δὲ Ἄγγελοι ἐξ Οὐρανῶν κατερχόμενοι
ὡς Θεῷ τὴν πρέπουσαν διακονίαν προσήνεγκαν. ἐκεῖ ἐδεσ-
μεῖτο σπαργάνων δεσμοῖς· ἐνταῦθα λύει τὰς τῶν ἁμαρτημά-
των σειράς. ἐκεῖ ὁ Βασιλεὺς τὴν ἁλουργίδα τοῦ Κόσμου ἐνε-
δύετο· ἐνταῦθα ἡ πηγὴ τὸν ποταμὸν ἀμφιέννυται. δεῦτε οὖν
ἴδετε παράδοξα θαύματα, τὸν τῆς δικαιοσύνης Ἥλιον ἐν
Ἰορδάνῃ λουόμενον, καὶ πῦρ ἐν ὕδατι βαπτιζόμενον, καὶ ὑπὸ
ἀνθρώπου τὸν Θεὸν ἁγιαζόμενον. σήμερον πᾶσα ἡ κτίσις
ὑμνοῦσα βοᾷ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου,
ὁ καὶ διὰ τῶν κτισμάτων προνοητικῶς ἐρχόμενος. Οὐρανοῦ μὲν
ὕψος ἄπτωτον συντηρῶν, Ἡλίου δὲ δρόμους εὐτάκτως ἡνιο-
χῶν, ἀστέρων πλῆθος ἀσυγχύτως ταξιαρχῶν, ἀέρα εἰς ἀ-
ναπνοὴν εὐκράτως κιρνῶν, γῆς λαγόνας εἰς καρποφορίαν εὐ-
κράτως πάλιν διαθάλπων, θάλασσαν τὴν πολυκύμαντον
βραχυτάτῃ ψάμμῳ χαλινῶν, πηγὰς ἐκ βυθῶν ἀοράτως ἀ-
θῶν, ποταμῶν ῥεῖθρα ἀπλανῶς ὁδηγῶν. ταῦτα οὖν πάντα
ὁρῶντες, λέγομεν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυ-
ρίου. τίς οὗτος, εἰπὲ φανερῶς ὦ μακάριε Δαβίδ; Θεὸς Κύ-

ριος,

ριος, καὶ ἐπέφανεν ἡμῖν. οὐ μόνον δὲ ὁ Προφήτης λέγει Δαβὶδ, ἀλλὰ καὶ Παῦλος ὁ Ἀπόστολος προσμαρτυρῶν αὐτῷ φθέγγεται· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς. οὐ τισὶν, ἀλλὰ πᾶσι· πᾶσι γὰρ Ἰουδαίοις τε καὶ Ἕλλησι διὰ τοῦ βαπτίσματος τὴν σωτηρίαν χαρίζεται, κοινὸν εὐεργέτημα τὸ βάπτισμα προβαλλόμενος. δεῦτε ἴδετε ξένον κατακλυσμὸν πολὺ βελτίονα καὶ κρείττονα τοῦ ἐπὶ Νῶε θεωρούμενον. τὴν ἀνθρωπείαν φύσιν ἐκεῖ τὸ ὕδωρ ἐθανάτωσεν· ἐνταῦθα δὲ τὸ ὕδωρ τοῦ βαπτίσματος διὰ τοῦ βαπτισθέντος τοὺς θανόντας ἐζωοποίησεν. ἐκεῖ ὁ Νῶε ἐκ ξύλων ἀσήπτων κιβωτὸν συνεπήξατο· ἐνταῦθα δὲ ὁ Χριστὸς ὁ νοητὸς Νῶε ἐκ τῆς ἀφθόρου Μαρίας τὴν τοῦ σώματος κιβωτὸν κατεσκεύασεν. ἐκεῖ ὁ Νῶε τὴν κιβωτὸν τῇ ἀσφάλτῳ ἔσωθεν ἔξωθεν κατέχρισεν· ἐνταῦθα δὲ ὁ Χριστὸς τῇ ἀσφαλείᾳ τῆς πίστεως τὴν τοῦ σώματος κιβωτὸν ἐκραταίωσεν. ἐκεῖ περιστερὰ κάρφος ἐλαίας βαστάζουσα τὴν τοῦ Δεσπότου Χριστοῦ εὐωδίαν ἐμήνυσεν· ἐνταῦθα δὲ τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς παραγινόμενον, τὸν ἐλεήμονα ὑποδείκνυσι Κύριον. ἀλλ' ἐκπλήττει με τῆς τοῦ Κυρίου ταπεινοφροσύνης ἡ ὑπερβολή, ὅτι οὐκ ἤρκησε τὸν ἐκ τελείου τέλειον βρέφος τεχθῆναι ἐκ γυναικός, οὐκ ἤρκησε τὸν σύνθρονον τοῦ Πατρὸς ἀναλαβεῖν τὴν τοῦ δούλου μορφήν, ἀλλὰ καὶ ὡς ἁμαρτωλὸς προσέρχεται τῷ βαπτίσματι. Ἀλλὰ μὴ γενέσθω τὸ κοινὸν εὐεργέτημα τῶν ἀκουόντων σκάνδαλον. βαπτίζεται γὰρ ὁ πάντων Δεσπότης Χριστὸς, οὐ καθαρσίου δεόμενος, ἀλλὰ κατὰ δύο τρόπους τὸ συμφέρον ἡμῖν οἰκονομῶν, ἵνα καὶ τοῖς ὕδασιν ἁγιαστικὴν χάριν δωρήσηται, καὶ πάντα ἄνθρωπον βαπτισθῆναι προτρέψηται. ἔρχεται γάρ, φησιν, ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. τί οὖν τὰ τότε τελούμενα ἀδελφοί, ἐνθυμηθῆναι ἀδύνατον. ὀφθαλμῶν γὰρ ἀνθρωπίνων ἀνώτερα ἦν τὰ τελού-

μένα. τρέμει δὲ πᾶσ' ἡ γλῶσσα φθέγγει ἐκ στόματος, μὴ τολμῶσα φράσαι τὰ ἀνέκφραστα. ὅθεν ἰδὼν ὁ Ἰωάννης τὸν Δεσπότην ἐρχόμενον πρὸς αὐτὸν, ἀγῶνι πολλῷ τὴν καρδίαν συνεχόμενος, προσπίπτων καὶ ὑποκατακλινόμενος, καὶ τῶν ποδῶν αὐτοῦ ἐφαπτόμενος, ἱκετεύων ἐφθέγγετο· τί βιάζῃ ὁ παντοδύναμος ἐμὲ τὸν ἀδύνατον ποιῆσαι τὰ ὑπὲρ δύναμιν; ποιῆσαι ταῦτα οὐ δύναμαι. πῶς τολμήσω βαπτίσαι σε; πότε πῦρ ὑπὸ χόρτου καθαίρεται; πότε πηλὸς πλύνει πηγήν; πῶς βαπτίσω τὸν Κριτὴν ὁ ὑπεύθυνος; πῶς βαπτίσω σε, Δέσποτα; μῶμον οὐ βλέπω ἐν σοί. τῇ κατάρᾳ τοῦ Ἀδὰμ οὐχ ὑπέπεσες· ἁμαρτίαν οὐκ ἐποίησας. εἰ γὰρ καὶ κατέβης, ἀλλ' οὐ παρέβης. τί ποιεῖς Δέσποτα, πρᾶξαί με τὰ ὑπὲρ δύναμιν βιαζόμενος; οὐδέποτε οὐδὲν πρὸς τὴν ἀγανάκτησιν ποιῆσαι ἐτόλμησα· ὡς δοῦλος φιλοδέσποτος προλαβὼν τὴν σὴν παρουσίαν ἐγνώρισα. ἔτι ὢν ἐν τῇ γαστρὶ, τὴν γλῶτταν τῆς μητρὸς μισθωσάμενος, Θεόν σε τοῦ Κόσμου ἐκήρυξα, πάντας πρὸς τὴν σὴν ἀπάντησιν παρεσκεύασα. εἰπὲ γάρ μοι Δέσποτα, πῶς ὑποίσει ὁ ἥλιος, βλέπων τὸν πάντων Δεσπότην ὑπὸ δούλου τολμηροῦ ὑβριζόμενον, καὶ οὐκ εὐθέως ὡς τοὺς Σοδομίτας ταῖς ἐμπύροις αὐτοῦ μαρμαρυγαῖς καταφλέξεται; πῶς βαστάσει ἡ γῆ, ὁρῶσα τὸν τοὺς Ἀγγέλους ἁγιάζοντα, ὑπὸ ἀνθρώπου ἁμαρτωλοῦ βαπτιζόμενον, καὶ οὐ παραχρῆμα τὸ ἑαυτῆς στόμα ἀνοίξασα, ὡς τὸν Δαθὰν, καὶ Ἀβειρὼν, καταπίει με; πῶς δὲ βαπτίσω σε Δέσποτα, τοῖς ἐκ φύσεως μολυσμοῖς οὐ προσομιλήσαντα; ἐξ ἀσπόρου γαστρὸς ἀσπόρως προῆλθες καρπός. πῶς οὖν ἐγὼ κατάρρυπος ἄνθρωπος ἁγιάσω Θεὸν, Θεὸν ἀναμάρτητον; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Βαπτιστήν με ἀπέστειλας Δέσποτα· οὐ παρήκουσα τοῦ σοῦ προστάγματος. πάντας γὰρ προτρεπόμενος εἰς τὸ Βάπτισμα ἔφασκον· ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός. οὐκ ἔστι γὰρ ὁ παραγενόμενος αὐστηρός.

ρός· ἀγαθὸς καὶ ἐξ ἀγαθοῦ γεννᾶται Υἱός, οὐ πρὸς ὀλίγον τὸ ἀγαθὸν ἐπιδεικνύμενος, καὶ εὐθὺς μεταβαλλόμενος, ἀλλ' εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ ἐπειδὴ ἀμέτρητόν ἐστι τὸ ἔλεος αὐτοῦ, διὰ τοῦτο αἱ τῶν οὐρανῶν Δυνάμεις ἀνυμνοῦσαι αὐτὸν, ἔφασκον, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. ἐπέφανεν ὁ τῆς δικαιοσύνης ἥλιος, καὶ τὸ σκότος τῆς ἀγνοίας ἐσκέδασεν. ἐπέφανεν ὁ ποιμὴν ὁ οὐράνιος, καὶ τοῦ διαβόλου τοὺς λύκους τῆς καλῆς ποίμνης ἀπήλασεν. ἐπέφανεν ὁ μονογενὴς Υἱὸς τοῦ Πατρὸς, καὶ διὰ τοῦ βαπτίσματος τοῖς πιστοῖς τὴν υἱοθεσίαν ἐχαρίσατο. ἐπέφανεν ἡ πάντων ζωὴ, καὶ τὸν θάνατον διὰ τοῦ θανάτου θανατώσας ὡς ἀθάνατος, ζωῆς ἀθανάτου τοὺς θανόντας ἠξίωσεν. ἀλλὰ τούτων οὕτω πληρουμένων, ὁ Πατὴρ ἄνωθεν ἀγαλλόμενος ἐπὶ τῇ τῆς ταπεινοφροσύνης ὑπερβολῇ τοῦ Υἱοῦ, ἀθρόον διέσχε τὰς πύλας τοῦ οὐρανοῦ, βροντηδὸν ἐπαφίησι φωνὴν πεπληρωμένην διαθέσεως πατρικῆς, οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. καὶ ἵνα μὴ πλάζηται τῶν ἀκουόντων ἡ διάνοια εἴς τε τὸν Βαπτιστὴν, καὶ εἰς τὸν βαπτιζόμενον, ἔρχεται τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς, δακτυλοδεικτοῦν τὸν βαπτιζόμενον καὶ μαρτυρούμενον· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Τοῦ ΑΥΤΟΥ ΕΙΣ ΤΟ ΠΑΘΟΣ Τοῦ ΧΡΙΣΤΟΥ

### Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ.

Φοβερὰ τῆς σημερινῆς παρατάξεως τὰ μυστήρια· φρικτὰ τοῦ καταχθονίου πολέμου τὰ τρόπαια· ἀδιήγητος τοῦ παλαιοῦ τυράννου ἡ ἀθρόα καθαίρεσις· πάσης ἐνθυμήσεως κρείττων ἡ τοῦ δι' ἡμᾶς σαρκωθέντος ὑπὲρ ἡμῶν νίκη· συνεπλάκη

ἦλθε γὰρ τῷ θανάτῳ ὡς νεκρὸς, ἐσκύλευσε δὲ τὸν ᾅδην ὡς Θεὸς ἰσχυρὸς καὶ δυνατός. Κύριος γὰρ κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ. ποῖος οὖν λόγος ἐπαξίως δυνατὸς ὑπουργῆσαι τῷ θαύματι; ποία δὲ γλῶσσα λαλήσει καὶ διηγήσεται τὴν φοβερὰν παράταξιν; σήμερον γὰρ προφητικῶν φωνῶν πεπλήρωται σφραγίς. σήμερον ὁ ᾅδης ἀγνοῶν κατέπιε δηλητήριον. σήμερον ὁ θάνατος ἐδέξατο τὸν ἀεὶ ζῶντα νεκρόν. σήμερον ἐλύθη δεσμὰ, ἅπερ ὁ ὄφις ἐν Παραδείσῳ ἐχάλκευσε. σήμερον οἱ ἐξ αἰῶνος ἠλευθερώθησαν δοῦλοι. σήμερον ὁ λῃστὴς ἐξετυμβωρύχησε τὸν πεντακισχιλίοις καὶ πεντακοσίοις ἔτεσιν ὑπὸ φλογίνης ῥομφαίας φρουρούμενον Παράδεισον. σήμερον τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ὅλον τοῦ θανάτου τὸν θησαυρὸν ἐκένωσε. σήμερον βασιλικὴ εἰς τὸ δεσμωτήριον ἐκαινοτομήθη εἴσοδος. σήμερον πύλας χαλκᾶς συνέτριψε, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν ὁ καταποθεὶς ὡς ψιλὸς νεκρὸς, καὶ πυρπολήσας ὡς Θεὸς Λόγος. σήμερον ὁ ἀκρογωνιαῖος λίθος Χριστὸς τὸ τοῦ θανάτου προγονικὸν θεμέλιον ἡρμοσμένον συνετάραξε, τὸν Ἀδὰμ ἀνέσπασε, καὶ τὸν Ἄβελ διέσωσε, καὶ πᾶσαν τοῦ ᾅδου τὴν οἰκοδομὴν κατέστρεψε. σήμερον καὶ οἱ πρώην θρηνοῦντες, οὓς κατέπιεν ὁ θάνατος ἰσχύσας, μετὰ μεγάλης φωνῆς κράζουσι· ποῦ σου θάνατε τὸ νῖκος; ποῦ σου ᾅδη τὸ κέντρον; τί λέγεις πρὸς ταῦτα ὦ Ἰουδαῖε; κωμῳδεῖς τὸν σταυρόν; χλευάζεις τὸ πάθος; γελᾷς τὸν θάνατον; διασύρεις τὸν τάφον; ἀλλὰ βλέπε τὴν νίκην, καὶ φρίξον τὸ πάθος τῆς ἑκουσίως παθούσης σαρκὸς, καὶ ἀπαθοῦς ὄντος τοῦ Θεοῦ Λόγου. Πάντας τοὺς δικαίους μὲν ἐξουσίας κατέπιε, καὶ οὐδεὶς τῶν ὁσίων παρεληλύθει θανάτου. τὸν Ἄβελ θαυμάζεις; ἀλλὰ θάνατος ἐρρόφησεν αὐτόν. τὸν Νῶε μοι λέγεις; ἀλλὰ καὶ αὐτὸς εἰς φθορὰν ἐγκυβίστησε. τὸν Ἐνὼχ μοι προφέρεις; ἀλλὰ καὶ οὗτος ἔφυγε, καὶ οὐ τὸν νόμον κατήργησε. τὸν Ἀβραάμ μοι κομπάζεις; ἀλλὰ καὶ τοῦτον διέλυσεν ὁ θάνατος. τὸν Ἰσαὰκ μνημονεύεις; ἀλλὰ πεσὼν οὐκ ἀνέστη. τὸν Ἰακὼβ

προσφέρεις; ἀλλὰ κόνις ὁ πατριάρχης. τὸν Ἰωσὴφ ἐγκαυχᾶσαι; ἀλλ' ἐν γυμνοῖς καὶ ξηροῖς ὀστέοις ἡ μνήμη αὐτοῦ. τὸν Μωϋσέα ἐκθειάζεις; ἀλλ' οὐδὲ τὸν τάφον αὐτοῦ εὑρίσκεις. πάντας τοὺς Προφήτας μοι λέγεις; ἀλλ' ἐννόει τοὺς τάφους, καὶ μὴ κόμπαζε τοῖς λόγοις. τοσούτους ἔλαβεν ὁ θάνατος, καὶ πάντας ἐρρόφησεν. ἕνα δὲ κατέπιε, καὶ κόσμον ὅλον ἀβελτήρως ἐξήμεσε. βλέπε γὰρ σήμερον τοῦ διαβόλου τὴν κατὰ τοῦ [illegible] τοῦ θανάτου πονηρίαν. ὑπηρέτας πρὸς σύλληψιν ὥπλισε, τὸν Ἰούδαν εἰς προδοσίαν ἠγόρασε, τὸν Πέτρον εἰς ἄρνησιν ὑπεσκέλισε, τὸν δοῦλον τοῦ Ἀρχιερέως πρὸς ῥάπισμα ἐξώπλισε, τοὺς στρατιώτας πρὸς χλεύην ἐξεβάκχευσε, τὸν Πιλᾶτον πρὸς ἐπερώτησιν διήγειρε, τὸν δῆμον πρὸς στασιασμὸν ἐκίνησε, βουλόμενος μαθεῖν, τίς ἦν ὁ δεσπότης. ἀλλ' εἱστήκει ὁ μακρόθυμος φέρων τὴν τόλμαν, ἵνα λύσῃ τὴν κατάραν. διὰ τοῦτο ὥσπερ ἐπὶ βασιλικοῦ θανάτου πᾶσα ἡ τῶν πόλεων φαιδρότης φυγαδεύεται, ὅτι σήμερον πᾶσα ἡ κτίσις τὴν ἑαυτῆς ἠρνήσατο λαμπρότητα. Οὐρανὸς ἐμελανειμόνει τὸ σκότος· ὁ ἥλιος ὥσπερ δοῦλος φιλοδέσποτος ἔφυγε, τὰς ἀκτῖνας συστείλας· τὰ ἄστρα τὴν φυσικὴν συνετάραττε τάξιν· ὁ ναὸς περιεσχίζετο διὰ τὸ πένθος· ἡ γῆ θρηνοῦσα, οὐ βραχίονας ἔτυπτεν, ἀλλὰ πέτρας ἔσχιζεν· οἱ Προφῆται πάντες προσιόντες, ἠρώτων τὸν Δεσπότην καὶ ἔλεγον. τί αἱ πληγαὶ αὗται αἱ ἀναμέσον τῶν χειρῶν σου; πῶς σου τὸ πάθος ἅψασθαι ἐτόλμησε; θνήσκεις; ἀλλ' ἀνάλωτος ἡ θεότης. ὃ ἂν πάσχῃ, σαρκὶ πέπονθε. καὶ πῶς οὐκ ᾐδέσθησάν σε οἱ σταυρώσαντες, καὶ οὐκ ἐμνήσθησαν τῆς εὐεργεσίας σου; τί οὖν πρὸς αὐτοὺς ὁ Δεσπότης; αὗται αἱ πληγαὶ, ἃς ἑκὼν ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου. ἐξ Αἰγύπτου μετῆρα ἄμπελον· ἤρδευσα τῇ παρόδῳ τῆς θαλάσσης· περιέσκαψα τοῖς φοβήτροις· ἐκλάδευσα περιτομῇ· ἐχαράκωσα Προφήταις· περιέφραξα νόμῳ· καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας, καὶ οὐ δικαιοσύνην, ἀλλὰ

κραυγήν· καὶ ἐγενόμην ὡς ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος. ὢ πάθος κόσμου καθάρσιον. ὢ θάνατος ἀθανασίας ἀφορμὴ, ζωὴν ἀνατέλλουσα. ὢ κάθοδος ἐν ᾅδου, τῶν ἐξ αἰῶνος νεκρωθέντων γέφυρα πρὸς ἀναβίωσιν. ὢ μεσημβρία τῆς δειλινῆς ἐν Παραδείσῳ καταδίκης ἀνάκλησις. ὢ σταυρὲ δένδρου ἴασις. ὢ ἧλοι τὸν Κόσμον τῇ θεογνωσίᾳ προσηλώσαντες, καὶ θάνατον καταπείραντες. ὢ ἄκανθαι, τοῦ Ἰουδαϊκοῦ ἀμπελῶνος οἱ βότρυες. ὢ χολὴ τοῦ τῆς πίστεως μέλιτος πρόξενος, καὶ τῆς Ἰουδαίων πονηρίας κατήγορος. ὢ σπόγγος τὴν κοσμικὴν ἁμαρτίαν ἀποσπογγίσας, καὶ ἀποσμήξας. ὢ κάλαμος ἐν οὐρανοῖς τοὺς πιστοὺς πολιτογραφήσας, καὶ ἀρχεκάκου ὄφεως τὴν τυραννίδα συντρίψας. ὢ μυστήριον παρὰ ἀπίστοις ἀπιστούμενον, ὑπὸ δὲ πάντων πιστῶν ἀκαταπαύστως προσκυνούμενον. ὢ σημεῖον παρὰ ἀπίστων ἀντιλεγόμενον, καὶ παρὰ πιστῶν δοξαζόμενον. ὢ μυστήριον Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρία, ἡμῖν δὲ Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, καθά φησιν ὁ Ἀπόστολος Παῦλος, ὅτι τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστὶν, ὡς θάνατον καταργῆσαι, καὶ τὸν ᾅδην σκυλεῦσαι, καὶ τοὺς ἀπ᾽ αἰῶνος νεκροὺς ζωοποιῆσαι, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ.

Νικάτω καὶ λόγων εὔροιαν τῆς σωτηρίου πανηγύρεως τὸ θαῦμα. ἡττάσθω πάσης γλώττης μεγαληγορία, μὴ φθάσασα ἐπαξίως κηρύξαι τὴν τοῦ σταυρωθέντος εὐεργεσίαν. τί γὰρ τοιοῦτον ἐξ αἰῶνος γέγονεν, οἷον νῦν τῇ πίστει ὁρῶμεν; ποτε νοῦς ἐφαντάσθη, ἢ καρδία ἐνεθυμήθη, ἢ ἀνέπλασε διάνοια, ἢ λόγος διηγήσατο, ἢ ὀφθαλμὸς ἐθεάσατο, ἢ ἀκοὴ ἐδέξατο

παραγ·

πρᾶγμα τοιοῦτον, οἷον νῦν σαρκωθεὶς Χριστὸς τῷ κόσμῳ ἐδω-
ρήσατο; οὐδέποτε ἥλιος ἐπεῖδεν ἐπὶ ξύλου στηλιτευθέντα διά-
βολον. οὐδέποτε σταυρὸς ἀπὸ κατάρας ἠγόρασε φύσιν. οὐδέποτε
τριάκοντα ἀργυρείων κοσμικὸν λύτρον ἐπράθη. οὐδέποτε πάθος
ἀναμαρτήτου, ἁμαρτίας γέγονε χωνευτήριον. οὐδέποτε ἐπὶ ξύλου
ἐκρεμάσθη ζωή, ἐν ἀπάτῃ σαρκὶ τὸν τύραννον θριαμβεύσα-
σα. οὐδέποτε μνῆμα, θανάτου πορθητὴν ἐδέξατο. οὐδέποτε οὐ-
ρανὸς ἐν ἡμέρᾳ μέσῃ σκότος ἐνεδύσατο, ἵνα μὴ ἴδῃ τὸ δρᾶ-
μα, καὶ Θεοῦ μὲν τολμώμενον, σαρκὸς δὲ ἁπτόμενον. οὐδέποτε
ᾅδης ἔφριξεν, ὃν κατέπιεν. οὐδέποτε ἡ γῆ ἐκαλλωπίσατο ζωο-
δόχῳ μνήματι, μᾶλλον δὲ οὐ μνήματι, ἀλλὰ νυμφῶνι· οὐ γὰρ
ἐφθάρη ὁ ταφείς, ἀλλ' ἐνυμφεύσατο καταβάς. οὐδέποτε τρισὶ
νυχθημέροις φύσις εἰς ἀνάστασιν ἐλοχεύθη. ὁ γὰρ ἐν τῇ γαστρὶ
τῆς Παρθένου τὸ ἴδιον αὐτοῦ σῶμα, ὡς οἶδεν, ἑαυτῷ διαπλά-
σας, αὐτὸς καὶ ἐν τρισὶν ἡμέραις τὴν λύσιν τῆς ψυχῆς αὐτοῦ
ἀπὸ τοῦ ἰδίου σώματος πάλιν ἑνώσας, τὴν ἑαυτοῦ ἀνάστασιν ἔ-
δειξεν. ἐκεῖ μὲν ὁ χρόνος πιστοῦται τὸν τόκον, ὅτι ἄνθρωπος·
ἐνταῦθα δὲ ὁ τάφος πιστοῦται τὸ κράτος, ὅτι Θεός. οὐδέποτε
ἀμνὸς αἴρων ἁμαρτίας κοσμικὰς ἐπετέθη θυσιαστηρίῳ, εἰ μὴ
ὅτε ὁ Θεὸς δούλου μορφὴν ἀνέλαβε, καὶ ὁ πλάσας τὸν χοῦν, ἀ-
νερμηνεύτως ὃν ἔπλασεν ἐνεδύσατο. οὗ ἡ μὲν σὰρξ ζωή, τὸ
δὲ αἷμα λύτρον, τὸ δὲ πνεῦμα σφραγίς, ἡ δὲ θεία φύσις ἄ-
ναρχος. Καλῶς ἔλεγεν ὁ μακάριος Παῦλος· τὰ ἀρχαῖα πα-
ρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. Οὐρανὸς καινός, ὃν ὁ
καταβὰς τῇ ἀνόδῳ ηὐλόγησε. γῆ καινή, ἣν ὁ ἐν φάτνῃ κατὰ
σάρκα τεχθεὶς ἡγίασε. θάλασσα καινή, ἡ μετεωρίσασα ἴ-
χνος, ὅπερ σὰρξ οὐκ ἐπείρεν, ὅτε ἁμαρτία ἐβάρησε. βίος και-
νός, ὃν πολέμου ἀπήλλαξε, καὶ γαλήνης ἐπλήρωσεν. ἀνθρωπότης
καινή, ἣν δι' ὕδατος ἀπέπλυνε, καὶ τῷ πυρὶ τοῦ πνεύματος
ἐχώνευσε· θρησκεία καινή· οὐκέτι γὰρ κνίσσα, καὶ περιτομή,
ἀλλὰ πίστις λαμπρύνεται, ἡ ἐν μιᾷ οὐσίᾳ τρεῖς ὑποστάσεις

δοξο-

δοξολογοῦσα λατρεύεται. ταῦτα εὐαγγελιζόμενος ὁ Προφήτης
Ἡσαΐας ἔλεγεν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμψει ὁ Θεὸς ἐν
βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς. ἐν ποίᾳ ἡμέρᾳ ὦ Προφῆτα; ἐν
ᾗ φησί, πάντα ὑπὲρ φύσιν ὁ Θεὸς, ὡς οἶδεν, ἐργάσεται, ἐκ
γυναικὸς σαρκούμενος. Παρθένος ἄνευ ἀνδρὸς τίκτουσα μυστή-
ριον. ἄνθρωπος ὁ Θεὸς ὁ φιλάνθρωπος γενόμενος, καὶ μὴ τρεπόμε-
νος. θάνατος ἐμῶν, ὃν ἀγνοῶν κατέπιε. τάφος, θησαυρὸς
ζωῆς καὶ ἀναστάσεως. αἰχμαλωσία, μήτηρ ἐλευθερίας. καὶ
τί πολλὰ λέγω; τότε ὁ Θεὸς Λόγος ἄνθρωπος γενόμενος
ἐσταυροῦτο· σαρκὸς μὲν τὸ πάθος, θεότητος δὲ τὸ κράτος. ἀλλ᾽
εἰπὲ ἡμῖν ὦ Προφῆτα, πῶς ἐπιλάμψει ὁ Θεὸς τοῖς ἐπὶ γῆς,
ἄρα ἐκτὸς ἀνθρωπότητος; ἄρα ἄνευ σαρκός; ἄπαγε. οὐ φέρει
τὴν τῆς θεότητος ἀκτῖνα ἡ ὄψις. οὐ προσέρχεται διάβολος
πρὸς πάλην. φρίττει γὰρ τὸν κτίστην ὁ θάνατος, οὐ τολμῶν
καταπιεῖν φύσιν ἀνώλεθρον. τρέμει ὁ ᾅδης Θεὸν, σαρκὸς γε-
γυμνωμένον. ὃν γὰρ οὐ προσβλέπει τὰ Χερουβὶμ, τοῦτον τρέμει
καὶ ᾅδης. ἀλλὰ χρεία καλύμματος τῇ θείᾳ φύσει, οὐκ ἐκεί-
νην καλύπτοντος, ἀλλὰ ἡμετέραν ὕβριν κατακρύπτοντος, οὐ
Μωσαϊκοῦ καλύμματος (ἀγνωσία γὰρ καὶ ὁμίχλη) οὐ ποικί-
λου καταπετάσματος (χρωμάτων γὰρ τὸ ἄνθος) οὐχ ἱλαστηρίου
κεχρυσωμένου (ὕλης γὰρ τὸ κάλλος) οὐ χειροποιήτων Χερου-
βὶμ (τέχνης γὰρ τὸ θαῦμα) ἀλλὰ χρεία μορφῆς προβάτου,
ἵνα δελεάσῃ τὸν ἀνθρωποβόρον λύκον. ἀλλ᾽ εὐθὺς ἐπιπηδᾷ
τοῖς λόγοις Ἰουδαῖος, καὶ κωμῳδεῖ τὴν τοῦ Προφήτου μεγαληγο-
ρίαν, ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ μαχόμενος. καὶ τί φησιν;
ἐγὼ οὐ πιστεύω, ὅτι ὁ Θεὸς ἐπὶ τῆς γῆς ἐπεφάνη, ἢ ἀνθρωπίνη
ὄψις ἐμόρφωσε τὸν ἀσχημάτιστον. ἀλλ᾽ ὦ Ἰουδαῖε, εἰ καὶ νόμον
παρακούεις, καὶ Προφήτας παραλογίζεις, καὶ Εὐαγγέλια δια-
πτύεις, καὶ Ἀποστόλους παραβλέπεις, ἐρωτήσωμεν τὰ στοι-
χεῖα, καὶ ἴδωμεν τίνα ὁμολογεῖ τὸν σαρκὶ παθόντα Δεσπό-
την. καὶ ὡς δεῖ, πρῶτον ἐρωτήσωμεν τὸν ἥλιον. εἰπὲ ἡμῖν

ἥλιε,

ἥλιε, διατί συνέστειλας τὰς ἀκτῖνας, σταυρουμένου τοῦ Δεσπότου; ὅτι ψιλὸς ἄνθρωπος ὁ σταυρούμενος; οὐκοῦν ὤφειλες τοῦτο ποιῆσαι καὶ ἐπὶ τοῦ δικαίου Ἄβελ ἀναιρουμένου. ἐρωτήσωμεν καὶ τὸν οὐρανόν. εἰπὲ ἡμῖν ὦ οὐρανὲ, διατί σκότος ἐνέδυσας ἐν σταθηρᾷ μεσημβρίᾳ, ὅτε Ἰουδαῖοι τὴν δεσποτικὴν πλευρὰν ἐξεκέντησαν; ὅτι ψιλὸς ἄνθρωπος ὁ σταυρούμενος; διατί οὐ μὴ ἐθρήνησας καὶ ἐπὶ τοῦ δικαίου Ναβουθὲ λιθαζομένου; ἐρωτήσωμεν καὶ τὴν γῆν. εἰπὲ ἡμῖν γῆ, διατί ἐβρόμασας, ὅτε οἱ θεομάχοι ταῦτα ἐτόλμων; ὅτι ψιλὸς ἄνθρωπος ὁ σταυρούμενος; πῶς οὖν οὐκ ἐβρόμασας, βλέπουσα τὸν Ἡσαΐαν ὑπὸ τοῦ Μανασσῆ ξυλίνῳ πρίονι πριζόμενον; ἀλλ' ἐρωτήσωμεν καὶ τὸν Ναόν. εἰπὲ ἡμῖν ὦ Ναὲ, διατί ἔσχισας τὸ καταπέτασμα, τοῦ Χριστοῦ σταυρουμένου; ὅτι ψιλὸς ἄνθρωπος ὁ σταυρούμενος; πῶς οὐκ οὖν διέσχισας, ὅτε τὸ αἷμα Ζαχαρίου ἐν μέσῳ σου ἐξεχεῖτο; ἀποκρίνεται ἄνωθεν φωνῆς πᾶσα ἡ κτίσις λέγουσα· ἐκηρύξαμεν τῷ πένθει τὸν Δεσπότην, οὐχ ὁμοδούλου πάθος ἐθρηνήσαμεν, ἀλλὰ Δεσπότου ὕβριν ἐφρίξαμεν. βοᾷ ὁ οὐρανός· Θεὸς ἦν ὁ ἐνανθρωπήσας, καὶ σαρκὶ σταυρωθεὶς, ὃς ἐμὲ ὡς Θεὸς ἔκλινε, καὶ κατῆλθε. βοᾷ ὁ ἥλιος· Δεσπότης μου ἦν, ὁ σαρκὶ σταυρωθείς. ἐγὼ γὰρ τὸ φῶς τῆς θεότητος αὐτοῦ φοβηθεὶς, συνέστειλα τὰς ἀκτῖνας. βοᾷ ἡ γῆ· Δημιουργὸς ἦν σαρκοφορῶν ὁ σαρκὶ σταυρωθείς. εἰ γὰρ καὶ τὴν σάρκα ἐν φάτνῃ ἠγκαλισάμην, ἀλλὰ τὸ κράτος αὐτοῦ οὐ περιέγραψα. βοᾷ καὶ ἡ θάλασσα· οὐκ ἦν ὁμόδουλός μου ὁ σαρκὶ σταυρωθείς. ἴχνος μὲν γὰρ τοῦ ὁμοδούλου Πέτρου βαρεῖ μου τὰ νῶτα, πόδες δὲ Δεσπότου ἁγιάζουσί μου τὴν φύσιν. βοᾷ καὶ ὁ ναός· ὁ πάλαι ἐν ἐμοὶ θρησκευόμενος Θεὸς, οὗτος ἦν ὁ σαρκὶ ὑβριζόμενος· διόπερ μὴ φέρων τὴν τόλμαν, διέρρηξα τὴν ἐσθῆτα. βοᾷ καὶ ὁ ᾅδης· οὐκ ἦν ψιλὸς ἄνθρωπος ὁ ᾅδε καταβάς. οἶδα τί πέπονθα· ὃν γὰρ ἐδεξάμην ὡς αἰχμάλωτον, εὗρον ὡς Θεὸν παντο-

δυνα-

δυνάμεων. ἀλλ᾽ ἀπιστεῖς τοῖς στοιχείοις; ἐρωτήσωμεν καὶ τὰς ἐπουρανίας Δυνάμεις. εἴπατε ἡμῖν Ἄγγελοι, Ἀρχάγγελοι, καὶ πᾶσαι τῶν οὐρανῶν αἱ Δυνάμεις, τίς ἐστιν ὁ ἐπὶ γῆς φανεὶς, καὶ σαρκὶ σταυρωθεὶς; καὶ ἀποκριθήσονται πᾶσαι διὰ τοῦ Προφήτου Δαβὶδ βοῶσαι· Κύριος ὁ Θεὸς τῶν Δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν,

# ΤΟΥ ΑΥΤΟΥ ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΗΝ

## Παναγίαν Θεοτόκον Μαρίαν.

ΠΑρθενικὴ πανήγυρις σήμερον τὴν γλῶτταν ἡμῶν, ἀδελφοί, πρὸς εὐφημίαν καλεῖ, καὶ ἡ παροῦσα ἑορτὴ τοῖς συνελθοῦσιν ὠφελείας γίνεται πρόξενος. καὶ μάλα εἰκότως· ἁγνείας γὰρ ἔχει ὑπόθεσιν, καὶ τοῦ κοινοῦ μὲν τῶν γυναικῶν καύχημα τὸ τελούμενον, καὶ δόξα τοῦ θήλεος διὰ τὴν ἐν καιρῷ μητέρα καὶ Παρθένον. ἐπέραστος αὕτη καὶ ἐξαίσιος ἡ σύνοδος. ἰδοὺ γὰρ γῆ καὶ θάλαττα δωροφορεῖ τῇ Παρθένῳ. ἡ μὲν τὰ νῶτα αὐτῆς ταῖς ὁλκάσι γαληνῶς ὑφαπλώσασα. ἡ δὲ τὰ ἴχνη τῶν βαδιζόντων ἀκωλύτως παραπέμψασα, σκιρτάτω ἡ φύσις, καὶ ἀγαλλιάσθω τὸ γένος τῶν ἀνθρώπων, ὅτι καὶ γυναῖκες τιμῶνται. χορευέτω ἡ ἀνθρωπότης, ὅτι καὶ παρθένοι δοξάζονται· ὅπου γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. συνεκάλεσε γὰρ ἡμᾶς νῦν ἐνταῦθα ἡ ἁγία Θεοτόκος Παρθένος Μαρία, τὸ ἀμόλυντον τῆς παρθενίας κειμήλιον, ὁ λογικὸς τοῦ δευτέρου Ἀδὰμ Παράδεισος, τὸ ἐργαστήριον τῆς ἑνώσεως τῶν δύο φύσεων, ἡ πανήγυρις τοῦ σωτηρίου συναλλάγματος, ἡ παστὰς, ἐν ᾗ ὁ λόγος ἐνυμφεύσατο τὴν σάρκα, ἡ

ἔμ-

ἔμψυχος τῆς φύσεως βάτος, ἣν τὸ τῆς θείας ὠδῖνος πῦρ οὐ κατέκαυσεν, ἡ ὄντως κούφη νεφέλη, ἡ τὸν ἐπὶ τῶν Χερουβὶμ μετὰ σώματος βαστάσασα, ὁ τοῦ ἐξ Οὐρανοῦ ὑετοῦ καθαρώτατος πόκος, ἐξ οὗ ὁ ποιμὴν τὸ πρόβατον ἐνεδύσατο. Μαρία ἡ δούλη καὶ Μήτηρ, ἡ Παρθένος καὶ Οὐρανὸς, ἡ μόνη Θεοῦ πρὸς ἀνθρώπους γέφυρα, ὁ φρικτὸς τῆς οἰκονομίας ἱστὸς, ἐν ᾧ ἀρρήτως ὑφάνθη ὁ τῆς ἑνώσεως χιτών· οὗπερ ἱστουργὸς μὲν, τὸ Πνεῦμα τὸ Ἅγιον· ἔριθος δὲ, ἡ ἐξ ὕψους ἐπισκιάσασα δύναμις· ἔριον δὲ, τὸ ἀρχαῖον τοῦ Ἀδὰμ κῴδιον· κρόκη δὲ, ἡ τῆς Παρθένου ἀμόλυντος σάρξ· κερκὶς δὲ, ἡ ἀμέτρητος τοῦ φορέσαντος χάρις· τεχνίτης δὲ, ὁ δι' ἀκοῆς εἰσπηδήσας Λόγος. τίς εἶδε, τίς ἤκουσεν, ὅτι μήτραν ὁ Θεὸς ἀπεριγράπτως ᾤκησε, καὶ ὃν Οὐρανὸς οὐκ ἐχώρησεν, ἡ γαστὴρ οὐκ ἐστενοχώρησεν, ἀλλ' ἐγεννήθη ἐκ γυναικὸς Θεὸς οὐ γυμνὸς, καὶ ἄνθρωπος οὐ ψιλός; καὶ πύλην σωτηρίας ὁ τεχθεὶς, τὴν πάλαι τῆς ἁμαρτίας ἔδειξε θύραν· ὅπου γὰρ ὁ ὄφις διὰ τῆς παρακοῆς τὸν ἰὸν ἐξέχεεν, ἐκεῖθεν ὁ Λόγος διὰ τῆς ὑπακοῆς εἰσελθὼν, τὸν Ναὸν ἐζωοπλάστησεν. ὅθεν ὁ πρῶτος τῆς ἁμαρτίας Κάϊν προέκυψεν, ἐκεῖθεν ὁ τοῦ γένους λυτρωτὴς Χριστὸς ἀσπόρως ἐβλάστησεν· οὐκ ἐπαισχύνθη ὁ φιλάνθρωπος τὴν ἐκ γυναικὸς ὠδῖνα, ζωὴ γὰρ ἦν τὸ πραγματευόμενον. οὐκ ἐμολύνθη οἰκήσας μήτραν, ἥνπερ αὐτὸς ἀνυβρίστως ἐδημιούργησεν· εἰ μὴ γὰρ Παρθένος ἔμεινεν ἡ μήτηρ, ψιλὸς ἄνθρωπος ὁ τεχθεὶς, καὶ οὐ παράδοξος ὁ τόκος. εἰ δὲ καὶ μετὰ τόκον ἔμεινε Παρθένος, πῶς οὐχὶ καὶ Θεὸς, καὶ τὸ μυστήριον ἄφραστον; ἐκεῖνος ἀφράστως ἐγεννήθη, ὁ καὶ τῶν θυρῶν κεκλεισμένων εἰσελθὼν ἀκωλύτως, οὗ τὴν συζυγίαν τῶν φύσεων ἰδὼν ὁ Θωμᾶς ἀνεκέκραγε λέγων· ὁ Κύριός μου, καὶ ὁ Θεός μου. μὴ ἐπαισχυνθῇς τὴν ὠδῖνα, ὦ ἄνθρωπε· αὕτη γὰρ ἡμῖν γέγονε σωτηρίας ἀφορμή. εἰ μὴ γὰρ ἐκ γυναικὸς ἐγεννήθη, οὐκ ἂν ἀπέθανεν. εἰ μὴ ἀπέθανεν, οὐκ ἂν διὰ τοῦ θανάτου αὐτοῦ κατήργησε τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι

τὸν

τὸν Διάβολον. οὐχ ὕβρις ἀρχιτέκτονι, μεῖναι ἐν οἷς αὐτὸς ᾠκοδόμησεν. οὐ μιαίνει πηλὸς τὸν κεραμέα, ἀνακαινίζοντα ὅπερ ἔπλασε σκεῦος. οὕτως οὐδὲ μιαίνει τὸν ἄχραντον Θεὸν, τὸ ἐκ παρθενικῆς γαστρὸς προελθεῖν. οὗ γὰρ πλαττόμενος οὐκ ἐμολύνθη, διὰ ταύτης προελθὼν οὐκ ἐμιάνθη. ὢ γαστὴρ, ἐν ᾗ τὸ τῆς ἐλευθερίας ἡμῶν γραμματεῖον συνετάγη· ὢ κοιλία, ἐν ᾗ τὸ κατὰ τοῦ Διαβόλου ὅπλον ἐχαλκεύθη· ὢ ἄρουρα, ἐν ᾗ ὁ τῆς φύσεως γεωργὸς τὸν ἄσταχυν ἀσπόρως ἐβλάστησεν· ὢ ναὸς, ἐν ᾧ Θεὸς γέγονεν ἱερεὺς, οὐ τὴν φύσιν μεταβαλὼν, ἀλλὰ τὸν κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ δι' οἶκτον ἐνδυσάμενος. ὁ Λόγος σὰρξ ἐγένετο, κἂν Ἰουδαῖοι ἀπιστῶσιν· ὁ Θεὸς μορφὴν ἀνθρώπου ἐφόρεσεν ἀληθῶς, κἂν Ἕλληνες κωμῳδῶσι τὸ θαῦμα. διὰ γὰρ τοῦτο Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, ὁ Παῦλος ἐβόα. τοῦ γὰρ μυστηρίου τὴν δύναμιν οὐκ ἔγνωσαν, ἐπειδὴ ὑπὲρ λόγον τὸ θαῦμα. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. εἰ μὴ γὰρ ὁ Λόγος ᾤκησε γαστέρα, οὐκ ἂν ἐκαθέσθη ἡ σὰρξ ἐπὶ τοῦ Ἁγίου θρόνου. εἰ τῷ Θεῷ ὕβρις εἰς μήτραν, ἣν ἔπλασεν, ἐλθεῖν, ἄρα καὶ τὸ τοῖς ἀνθρώποις διακονεῖν. καὶ εἰ τῷ Θεῷ ὕβρις τοῖς ἀνθρώποις διακονεῖν, οὐκ ἂν δι' ἡμᾶς ἐπτώχευσε, πλούσιος ὤν· ὢν κατὰ φύσιν ἀπαθὴς, γέγονε δι' οἶκτον πολυπαθὴς, οὐκ ἐκ προκοπῆς γέγονε Θεὸς ὁ Χριστὸς, μὴ γένοιτο· ἀλλὰ Θεὸς ὢν, δι' οἶκτον γέγονεν ἄνθρωπος, ὡς πιστεύομεν. οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ Θεὸν σαρκωθέντα ὁμολογοῦμεν. τὴν οἰκείαν δούλην ἐπεγράψατο μητέρα ὁ κατ' οὐσίαν ἀμήτωρ, καὶ κατ' οἰκονομίαν ἐπὶ γῆς ἀπάτωρ. ἐπεὶ πῶς ὁ αὐτὸς κατὰ Παῦλον ἀμήτωρ, καὶ ἀπάτωρ; εἰ ψιλὸς ἄνθρωπος, οὐκ ἀμήτωρ· ἔχει γὰρ μητέρα. εἰ γυμνὸς Θεὸς, οὐκ ἀπάτωρ· ἔχει γὰρ πατέρα. νῦν δὲ ὁ αὐτὸς, ἀμήτωρ μὲν ὡς πλάστης, ἀπάτωρ δὲ ὡς ἄνθρωπος. αἰδέσθητι, ὦ ἄνθρωπε, κἂν τὴν τοῦ Ἀρχαγγέλου προσηγορίαν, ὁ τὴν Μαρίαν εὐαγγελισάμενος Γαβριὴλ ἐλέγετο. τί δὲ ἑρ-

μη-

μνηστεύεται Γαβριήλ; μάθε ἀκούσας, ὅτι Θεὸς καὶ ἄνθρωπος. ἐπεὶ γὰρ ὁ παρ᾽ αὐτοῦ εὐαγγελισμένος Θεός ἐστι καὶ ἄνθρωπος, προέλαβεν ἡ προσηγορία τὸ θαῦμα, ἵνα πιστώσηται τὴν οἰκονομίαν. μάθε πρῶτον τὴν οἰκονομίαν καὶ τὴν αἰτίαν τῆς παρουσίας, καὶ τότε δόξασον τὴν δύναμιν τοῦ σαρκωθέντος. ἐπειδὴ πολλὰ ὤφειλεν ἐξ ἁμαρτιῶν ἡ τῶν ἀνθρώπων φύσις, καὶ ἠπόρει πρὸς τὸ χρέος, διὰ γὰρ τοῦ Ἀδὰμ πάντες τῇ ἁμαρτίᾳ ἐχειρογραφήσαμεν, δούλους ἡμᾶς κατεῖχεν ὁ διάβολος· τὰς ὠνὰς ἡμῶν προέφερε, χάρτῃ κεχρημένος τῷ πολυπαθεῖ ἡμῶν σώματι. εἱστήκει ὁ κακὸς τῶν παθῶν πλαστογράφος, ἐπισείων ἡμῖν τὸ χρέος, καὶ ἀπαιτῶν ἡμᾶς τὴν δίκην. ἔδει τοίνυν δυοῖν θάτερον, ἢ πᾶσιν ἐπαχθῆναι τὸν ἐκ τῆς καταδίκης θάνατον, ἐπειδὴ καὶ πάντες ἥμαρτον, ἢ τοιοῦτον δοθῆναι πρὸς ἀντίδοσιν τίμημα, ὃ παντὶ τῷ χρέει ὑπῆρχε δικαίωμα πρὸς παραίτησιν. ἄνθρωπος μὲν σῶσαι οὐκ ἠδύνατο· ὑπέκειτο γὰρ χρέει τῆς ἁμαρτίας. Ἄγγελος δὲ ἐξαγοράσασθαι τὴν ἀνθρωπότητα οὐκ ἴσχυεν, ἠπόρει γὰρ τοῦ τοιούτου λύτρου. λοιπὸν οὖν ὁ ἀναμάρτητος Θεὸς ὑπὲρ τῶν ἡμαρτηκότων ἀποθανεῖν ὤφειλεν· αὕτη γὰρ ἐλείπετο τοῦ κακοῦ λύσις. τί οὖν αὐτὸς ὁ πᾶσαν φύσιν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγών, ᾧ μηδὲν πρὸς παρέχειν ἄπορον, ἐξεῦρε τοῖς κατακρίτοις ζωὴν ἀσφαλεστάτην, καὶ τῷ θανάτῳ λύσιν εὐπρεπεστάτην. καὶ γίνεται ἄνθρωπος ἐκ Παρθένου, ὡς οἶδεν αὐτός· λόγος γὰρ ἑρμηνεῦσαι τὸ θαῦμα οὐ δύναται· καὶ ἀποθνήσκει ὃ ἐγένετο, καὶ λυτροῦται ὃ ὑπῆρχε κατὰ τὸν λέγοντα Παῦλον· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ τὴν ἄφεσιν τῶν παραπτωμάτων. ὢ τῶν μεγάλων πραγμάτων· ἄλλοις ἐπραγματεύσατο τὸ ἀθάνατον, αὐτὸς μόνος ὑπάρχων ἀθάνατος. τοιοῦτος γὰρ κατ᾽ οἰκονομίαν οὔτε γέγονεν, οὔτε ἦν, οὔτε ἔσται ποτὲ, ἢ μόνος ὁ ἐκ Παρθένου τεχθεὶς Θεὸς καὶ ἄνθρωπος· οὐκ ἀντιταλαντεύουσαν μόνον ἔχων τὴν ἀξίαν τῷ πλήθει τῶν ὑποδίκων, ἀλλὰ καὶ πά-

πά-

πᾶσαις ψήφοις ὑπερέχουσαν, ἐν μὲν τῷ υἱὸς εἶναι, τὸ ἀπαράλλακτον σώζων πρὸς τὸν Πατέρα, ἐν δὲ τῷ δημιουργὸς, τὸ τῆς δυνάμεως ἀπροσδεὲς ἔχων, ἐν δὲ τῷ φιλοικτίρμων, τὸ εἰς συμπάθειαν ἀνυπέρβλητον δημοσιεύων, ἐν δὲ τῷ Ἀρχιερεὺς, τὸ εἰς παράστασιν ἀξιόπιστον φέρων· οἷς οὐδὲν εὕροι τις πώ ἐπ᾽ οὐδενὶ ἴσον, ἢ ἀπαράλλακτον. ὅρα γὰρ αὐτοῦ τὴν φιλανθρωπίαν· ἑκὼν κατακριθεὶς, τὸν κατὰ τῶν σταυρωσάντων αὐτὸν λῦσε θάνατον, καὶ ἀπέστρεψε τὴν τῶν ἀποκτεινάντων αὐτὸν ἀνομίαν εἰς τὴν τῶν ἀνομησάντων σωτηρίαν. ἀνθρώπου τοίνυν ψιλοῦ σῶσαι οὐκ ἦν· καὶ γὰρ καὶ αὐτὸς ἐδεῖτο τοῦ σώζοντος κατὰ Παῦλον τὸν λέγοντα· ὅτι πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ. ἐπειδὴ οὖν ἡ ἁμαρτία τῷ διαβόλῳ προσῆγε τὸν αὐτῆς ὑπεύθυνον, ὁ διάβολος τῷ θανάτῳ τοῦτον προσεπόμπευε· τοιγάρτοι ἐν μεγίστῳ κινδύνῳ τὰ καθ᾽ ἡμᾶς προῆγε, καὶ ἐν ἀπόροις ἦν ἡ λύσις τοῦ θανάτου. τί οὖν; ὡς εἶδον οἱ Προφῆται μεῖζον τέχνης ἀνθρωπίνης τὸ τραῦμα, τὸν ἐξ Οὐρανοῦ ἐπεβόων ἰατρόν. καὶ ὁ μὲν ἔλεγε· κλῖνον Οὐρανοὺς καὶ κατάβηθι. ἄλλος· ἴασαί με Κύριε, καὶ ἰαθήσομαι· ἕτερος· ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ἄλλος· εἰ ὄντως οἰκήσει Θεὸς μετ᾽ ἀνθρώπων; ἄλλος· ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. ἕτερος· οἴμοι, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. ἄλλος· ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, καὶ εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. ἄλλος· ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. ἄλλος· ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου τὸν ἐλπίζοντα ἐπὶ σέ. ἄλλος· ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. οὐ παρεῖδε τὴν φύσιν τὴν ἀνθρωπίνην ἐπὶ πολὺ τυραννουμένην ὁ φύσει Βασιλεὺς ὑπάρχων. οὐκ ἀφῆκεν εἰς τέλος εἶναι τῷ διαβόλῳ ὑπεύθυνον, ὁ φιλοικτίρμων Θεός· ἀλλ᾽ ἦλθεν ὁ ἀεὶ παρὼν, καὶ κατέβαλε λύτρον ὑπὲρ ἡμῶν

τὸ ἴδιον αἷμα, καὶ ἔδωκεν ὑπὲρ τῆς φύσεως ἀντάλλαγμα τῷ θανάτῳ, ἣν ἐκ Παρθένου ἐφόρεσε σάρκα, καὶ ἐξηγοράσατο τὸν κόσμον, ἐκ τῆς τοῦ νόμου κατάρας, θανάτῳ τὸν θάνατον καταργήσας. καὶ βοᾷ Παῦλος· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου. ὁ τοίνυν ἀγοράσας ἡμᾶς, οὐ ψιλὸς ἄνθρωπος, ὦ Ἰουδαῖε· ἡ γὰρ τῶν ἀνθρώπων ἅπασα φύσις τῇ ἁμαρτίᾳ δεδούλωτο· ἀλλ' οὔτε μὴν γυμνὸς ἀνθρωπότητος Θεός· σῶμα γὰρ εἶχεν ὦ Μανιχαῖε. εἰ μὴ γὰρ ἐνεδύσατο ἐμὲ, οὐκ ἂν ἔσωσεν ἐμέ· ἀλλ' ἐν τῇ γαστρὶ τῆς Παρθένου ὁ ἀποφηνάμενος τὸν κατάδικον ἐνεδύσατο, καὶ ἐκεῖ τὸ φρικτὸν γέγονε συνάλλαγμα· δοὺς γὰρ πνεῦμα, ἔλαβε σάρκα, ὁ αὐτὸς μετὰ τῆς Παρθένου καὶ ἐκ τῆς Παρθένου. ὁ μὲν γὰρ ἐπεσκίασεν αὐτὴν, ὁ δὲ ἐσαρκώθη ἐξ αὐτῆς. εἰ ἄλλος ὁ Χριστὸς, καὶ ἄλλος ὁ Θεὸς Λόγος, οὐκ ἔστι Τριὰς ἡ Ἁγία Τριὰς, ἀλλὰ κατὰ σὲ αἱρετικὲ, τετράς. μὴ σχίσῃς τὸν τῆς οἰκονομίας χιτῶνα τὸν ἄνωθεν ὑφαντόν· μὴ μαθητεύσῃς Ἀρείῳ· ἐκεῖνος γὰρ ἀσεβῶν, τὴν οὐσίαν τέμνει. σὺ τὴν συνάφειαν μὴ μέριζε, ἵνα μὴ μερισθῇς ἀπὸ Θεοῦ. τίς ἐπέφανεν, εἰπέ μοι, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις; ἄνθρωπος; καὶ πῶς ἠδύνατο ἐν σκότει διάγων, κατὰ Παῦλον τὸν λέγοντα· ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους; ἦμεν γάρ ποτε σκότος κατὰ τὸ γεγραμμένον, νῦν δὲ, φῶς ἐν Κυρίῳ. τίς οὖν ἐπέφανεν ἡμῖν; Δαβίδ σε διδάσκει, λέγων· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. τίς οὗτος; εἰπὲ φανερῶς ὦ Δαβὶδ, ἀναβόησον τῇ ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου· εἰπὲ τίς οὗτος; Κύριος, φησὶ, τῶν δυνάμεων· Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. ὁ γὰρ Λόγος σὰρξ ἐγένετο· συνῆλθον αἱ φύσεις, καὶ ἀσύγχυτος ἔμεινεν ἡ ἕνωσις. ἦλθε σῶσαι, ἀλλ' ἔδει καὶ παθεῖν· πῶς οὖν ἦν δυνατὸν ἑκάτερα γενέσθαι; ἄνθρωπος ψιλὸς σῶσαι οὐκ ἴσχυε· Θεὸς γυμνὸς παθεῖν οὐκ ἠδύνατο. τί οὖν; αὐτὸς Θεὸς ὢν Ἐμμανουὴλ, γέγονεν ἄνθρωπος, καὶ ὃ μὲν ἦν, ἔσωσεν,

ὃ δὲ γέγονεν, ἔπαθε. διὰ τοῦτο ὡς εἶδεν ἡ Ἐκκλησία στεφανώσασαν αὐτὸν τὴν συναγωγὴν ταῖς ἀκάνθαις, θρηνῳδοῦσα τὴν τόλμαν ἔλεγε· Θυγατέρες Ἱερουσαλὴμ, ἐξέλθετε, καὶ ἴδετε τὸν στέφανον, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ· αὐτὴ γὰρ καὶ τὸν ἀκάνθινον ἐφόρησε στέφανον, καὶ τὴν τῶν ἀκανθῶν ἔλυσεν ἀπόφασιν. ὁ αὐτὸς ἦν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, καὶ ἐν γαστρὶ τῆς Παρθένου. ὁ αὐτὸς ἐν ἀγκάλαις Μητρὸς, καὶ ἐπὶ πτερύγων ἀνέμων. ὁ αὐτὸς ἄνω ὑπὸ Ἀγγέλων προσεκυνεῖτο, καὶ κάτω Τελώναις συνανεκλίνετο. Τὰ Σεραφὶμ οὐ προσέβλεπε, καὶ Πιλάτος ἠρώτα· ὁ δοῦλος ἐρράπιζε, καὶ ἡ κτίσις ἐφρίσσε. ἐπὶ Σταυροῦ ὁ αὐτὸς ἐπήγνυτο, καὶ τῆς δόξης αὐτοῦ οὐκ ἐγυμνοῦτο. ἐν τάφῳ κατεκλείετο, καὶ τὸν Οὐρανὸν ἐξέτεινεν ὡσεὶ δέρριν. ἐν νεκροῖς ἐλογίζετο, καὶ τὸν ᾅδην ἐσκύλευεν. ὧδε πλάνος ἐσυκοφαντεῖτο, καὶ ἐκεῖ Ἅγιος ἐδοξολογεῖτο· ὢ τοῦ μυστηρίου· βλέπω τὰ θαύματα, καὶ ἀνακηρύττω τὴν Θεότητα· ὁρῶ τὰ πάθη, καὶ οὐκ ἀπαρνοῦμαι τὴν ἀνθρωπότητα. ἀλλ' ὁ Ἐμμανουὴλ φύσεως μὲν πύλας ἀνέῳξε, παρθενίας δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς Θεός. ἀλλ' οὕτως ἐκ μήτρας προῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν· οὕτως ἐτέχθη, ὡς συνελήφθη· ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθε, κατὰ τὸν Προφήτην τὸν Ἰεζεκιὴλ λέγοντα· ἐπέστρεψέ με, φησὶ, Κύριος κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολὰς, καὶ αὕτη ἦν κεκλεισμένη. καὶ εἶπε Κύριος πρός με, υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται. οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ἀλλ' ἢ Κύριος ὁ Θεὸς Ἰσραὴλ· αὐτὸς εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ ἔσται ἡ Πύλη κεκλεισμένη· ἰδοὺ ἀπόδειξις ἐναργὴς τῆς Ἁγίας Θεοτόκου Μαρίας. λυέσθω τοίνυν ἀντιλογία πᾶσα, καὶ τῇ τῶν γραφῶν καταφωτιζώμεθα γνώσει, ἵνα καὶ Βασιλείας Οὐρανῶν τύχωμεν ἐν Χριστῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΡΗΓΟΡΙΟΥ

## ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ.

### Εἰς τοὺς Λόγους, καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανὸν Λόγος.

ΤΙΣ ἡ τυραννίς, ἣν ἐξ ἀγάπης ἀεὶ τυραννούμεθα; τίς ἡ ἐμὴ σοφία καὶ ἐπιστήμη, δι' ἣν καθ' ἑκάστην πανήγυριν πολεμούμεθα; ἐγὼ μὲν γὰρ οὐδεμίαν εὑρίσκω, πανταχόθεν ἐμαυτὸν διεξάγων καὶ διαθρῶν. πλὴν ἕν γε τοῦτο ἐμαυτῷ συνεπίσταμαι, καὶ ἴσως οὐ φαῦλον, κἂν τινὲς εὐήθειαν ὀνομάζωσιν. ἐβουλήθην ἐν καιρῷ μὲν παντὶ νεκρωθῆναι τῷ βίῳ, καὶ ζῆσαι τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν, καὶ γενέσθαι τις μεγαλέμπορος, πάντων ὧν ἔχω, τὸν τίμιον ὠνησάμενος μαργαρίτην, καὶ ἀντιδοὺς τὰ ῥέοντα καὶ συρ-ράμματα τῶν ἑστώτων καὶ οὐρανίων, ὅπερ δὴ πραγματειῶν μεγίστη καὶ βεβαιοτάτη, τοῖς γε νοῦν ἔχουσιν. εἰ δ' οὖν, ἀλλὰ τοῦτό γε καρτερῆσαι, παραχωρῆσαι τῶν θρόνων τοῖς βουλομένοις, αὐτὸς δὲ διὰ βίου παῖς εἶναι καὶ Μαθητὴς, μέχρις ἂν τοῖς ποτίμοις τῶν λόγων τοὺς ἁλμυροὺς ἀποκλύσωμαι. ἓν μὲν δὴ τοῦτο τῆς ἐμῆς ἔξω φιλοσοφίας, εἴτε εὐηθείας, καὶ πρῶτον, δεύτερον δέ, ὃ καὶ μέγιστον, ἐπειδὴ λόγῳ τὸν τῶν πολλῶν λόγον ἐπισχεῖν οὐχ οἷός τε ἐγινόμην, καὶ τὴν νῦν κατέχουσαν πάντας φορὰν καὶ προθυμίαν εἰς τὸ διδάσκειν τε καὶ λαλεῖν τὰ τοῦ Πνεύματος χωρὶς πνεύματος, ἑτέραν ἦλθον, ὡς ἐμαυτὸν πείθω, βελτίω τε καὶ ἀπονωτέραν ὁδόν, παιδεῦσαι πρὸς ἡσυχίαν

ἅπαντας, τῷ ἀρχετύπῳ τῆς σιωπῆς, εἰ μέν τι μέγα περὶ ἡ-
μῶν οἴονται, τὴν ὑπεροχὴν αἰδουμένους, εἰ δὲ μικρόν τε καὶ ἴ-
σον ἄξιον, τῷ ὁμοτίμῳ συμμετριάζοντας. οὗτος ὁ λόγος τῆς
ἐμῆς σιωπῆς, τοῦτο τῆς καρτερίας ἡμῶν τὸ μυστήριον. ἀλλὰ τί
πάθω; ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, διέλκουσιν ἡμᾶς καὶ σπαράτ-
τουσι, καὶ ὑπὲρ τῶν ἐμῶν δικάζονται πόνων, ὥσπερ ἀλλότρι-
ον χρέος τὸν λόγον ἀπαραιτήτως εἰσπράττοντες, καὶ ἀγανακτοῦσι μᾶλ-
λον, ἢ αὐτὸς ἐμαυτόν, καὶ εἰσὶ πάντες ἐμοῦ σοφώτεροι, πλέον
ἢ ἐγὼ γινώσκοντες καιρὸν λόγου ἢ σιωπῆς. καί φασιν, οὐκ ἀνή-
σειν ὥσπερ σιδήρῳ πυρίτην λίθον, παίοντες ἡμᾶς τοῖς ὀνείδε-
σιν, ἕως ἂν ἐκ μικροῦ σπινθῆρος, τὸν τῶν λόγων πυρσὸν ἀνά-
ψωσιν. ἤδη δέ τινες αὐτῶν καὶ ὑπισχνοῦνται χρηστότερα, καὶ με-
γάλα προτιθέασιν ἆθλα τοῖς λόγοις· πρῶτον μὲν ἑαυτοὺς εὖ
ποιήσειν, δόντες τῷ Θεῷ καὶ ἡμῖν, εἰς τὸν λόγον καρποφορῆσαι·
ἔπειτα καὶ τοὺς δὲ πάντας διὰ τῆς ἀπογραφῆς, τὸν ἐμὸν κλῆρον,
εἴπερ ἐμὸς ὁ πατρικός, τὸ ἐμὸν ποίμνιον, οὓς λίαν ἠδικοίην,
μὴ πάντα τρόπον εὐεργετεῖν προθυμούμενος. τὸ δὲ κάλλιστον,
ὅτι οὓς πολλὰ πονήσαντας ἔδει κατορθῶσαι τοῖς λόγοις, ταῦθ' ὑ-
πὲρ τῶν λόγων αὐτῶν εἰσφέρουσιν. ὢ τῆς καλῆς φιλονεικίας,
ἣν ἐμὲ νικῆσαι φιλονεικοῦσιν· ὢ τῆς ἐπαινετῆς ἐπιδόσεως. ὁ-
ρᾶτε πηλίκον τὸ ἔργον τῆς ἐμῆς σιωπῆς; αὐτοὺς ὑμῖν πεποίηκε
τοὺς λόγους ποθεινοτέρους. ὁρᾶτε τὸν καρπὸν τῆς ἀδοξίας τῆς ἡ-
μετέρας; οὐδέ τι γένοιτο, τῶν λόγων τοσοῦτον ὄφελος, ὅσον
τῆς σιωπῆς. νῦν οὖν ἐπειδὴ ταῦτα δοκεῖ, καὶ νενικήκατε, τὸν ἀήτ-
τητον, καὶ τρόπαιον ἐστήσατε τῆς ἐμῆς φιλοσοφίας, φέρε νῦν
φθέγξωμαι πρὸς ὑμᾶς, τῆς σιωπῆς ἄμεινον. φθέγξομαι τοι-
γαροῦν, οὐ μαλακόν τι καὶ ἀναβεβλημένον, οὐδὲ τῆς ἡδίστης τοῖς
πολλοῖς ἁρμονίας· οὐδὲ γὰρ ἂν καλῶς ἀμειβοίμην τοὺς ἐμοὺς ἐρα-
στάς, οὕτω διαλεγόμενος, ἀλλὰ καὶ λίαν ἀνδρικόν τε καὶ σύντονον,
καὶ ᾧ τάχα ἂν ἀμείνους γένοισθε ἀπὸ τῆς σαρκὸς ἐπὶ τὸ πνεῦμα
μετενεχθέντες, καὶ ὑψωθέντες ἱκανῶς τὴν διάνοιαν. Υἱοὶ ἀν-

θρώ-

θρώπων, ἕως πότε βαρυκάρδιοι; προοιμιάσομαι γὰρ πρὸς ὑμᾶς ἐκ τοῦ μεγαλοφωνοτάτου Δαβίδ· ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; μέγα τι τὸν ἐνταῦθα βίον, καὶ τὴν τρυφὴν, καὶ τὸ μικρὸν δοξάριον, καὶ τὴν ταπεινὴν δυναστείαν, καὶ τὴν ψευδομένην εὐημερίαν ὑπολαμβάνοντες, ἃ μὴ τῶν ἐχόντων μᾶλλόν ἐστιν, ἢ τῶν ἐλπισάντων· οὐδὲ τούτων μᾶλλον, ἢ τῶν οὐδὲ προσδοκησάντων, ὥσπερ χοῦς ὑπὸ λαίλαπος ἄλλοτε εἰς ἄλλους ῥιπιζόμενά τε, καὶ μεταρριπτούμενα· ἢ ὥσπερ καπνὸς διαρρέοντα, καὶ ὡς ὄναρ παίζοντα, καὶ ὡς σκιὰ μὴ κρατούμενα, οὔτε ἀπόντα δυσέλπιστα τοῖς οὐ κεκτημένοις, οὔτε παρόντα πιστὰ τοῖς ἔχουσιν. οὐκ ἐκνήψομεν; οὐ τὴν ὀφθαλμῶν τὴν λήμην περιαιρησόμεθα; οὐκ εἰσόμεθα τίς ὁ ἀληθινὸς πλοῦτος; καὶ τίς ἡ ὄντως λαμπρότης; καὶ ποῦ τὸ μὴ διαπίπτον ἀξίωμα; τίς ἡ ἀπέραντος εὐδαιμονία; καὶ ποῦ τὸ ἀσάλευτον ἀγαθὸν, μηδὲ μεθιστάμενον, ἢ ἐπιβουλευόμενον; οὐ κτησόμεθα ταῦτα πολλοῖς ἱδρῶσι καὶ πόνοις, ἂν οὕτω συμβαίνῃ; οὐκ, εἴπερ δεῖ τρυφᾶν ἐντεῦθεν, ἐν ταῖς ἐλπίσι τρυφήσομεν; οὐ γνωσόμεθα τοὺς Ἁγίους Μάρτυρας, τούς τε ἄλλους πάντας, οἳ πᾶσαν διειλήφασι τὴν οἰκουμένην, ὥσπερ τινὲς κοινοὶ σύνδεσμοι, καὶ ὧν ἡ παροῦσα πανήγυρις; ὑπὲρ τίνος σώματα, καὶ δεσμὰ, καὶ στρεβλώσεις, καὶ πυρὸς ἀπειλὴν, καὶ ξιφῶν ἀκμὴν, καὶ θηρῶν ἀγριότητα, καὶ σκότους, καὶ λιμὸν, καὶ βάραθρα, καὶ χρημάτων ἁρπαγὰς, καὶ μελῶν ἀποβολὰς, καὶ θανάτους τὸ τελευταῖον, καὶ πάντα προθύμως ὑπέστησαν, ὥσπερ ἐν ἀλλοτρίοις ἀγωνιζόμενοι σώμασιν; ἵνα τί γένωνται; καὶ τίνα κληρονομήσωσιν; ἢ πᾶσι δῆλα, κἂν ἡμεῖς μὴ λέγωμεν; οὐ μετὰ τῆς αὐτῆς ἐλπίδος, ὑπὸ τῷ αὐτῷ βραβευτῇ καὶ ἀγωνοθέτῃ, πρὸς τὸν αὐτὸν ἀποδυσόμεθα τύραννον, τὸν πικρὸν ἀεί ποτε καὶ νῦν τῶν ψυχῶν διώκτην, τὸν ἀόρατον ἐχθρὸν καὶ πολέμιον; οὐκ ἀνδρειωσόμεθα παραπλησίως, ὥσπερ ἐν κοινῷ θεάτρῳ τῷ δὲ τῷ Κόσμῳ, εἰ καὶ μὴ ἀκμὴ τῶν κινδύνων ταχεῖαν ἔχοι, καὶ τὴν

ἀπαλλαγήν, ἀλλὰ τοῖς γε καθ' ἑκάστην ἡμέραν ἀγωνίσμασι καὶ παλαίσμασιν, ἵνα καὶ τῶν αὐτῶν στεφάνων ἀξιωθῶμεν; ἢ ὅτι ἐγγυτάτω; ἐγὼ μὲν παντὶ διακελεύομαι, καὶ ἀνδρὶ καὶ γυναικὶ, καὶ πρεσβύτῃ καὶ νέῳ, ἀστικῷ τε αὖ καὶ ἀγροίκῳ, ἰδιώτῃ καὶ ἄρχοντι, πλουσίῳ καὶ πένητι· καὶ γὰρ ὁ αὐτὸς ἀγὼν καλεῖ πάντας, πρὸς τοῦτον ἀποδύεσθαι προθύμως, καὶ μὴ μαλακίζεσθαι, μηδὲ μέλλειν, μηδὲ προΐεσθαι τὸν καιρὸν, οὗ πάλιν τυχεῖν ἀμήχανον· ἐργασίας γὰρ ὁ παρών, ὁ δὲ μέλλων ἀνταποδόσεως. ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν, ἠκούσατε τοῦ Σωτῆρος λέγοντος, οὐ μᾶλλον τότε τοὺς τότε Μαθητὰς ἐκ τοῦ τόπου τῆς Ἰουδαίας ἀνάγοντος, ἀλλὰ καὶ τοὺς ὕστερον ἅπαντας ἐντεῦθεν ἀπανιστάντος, καὶ πρὸς ἑαυτὸν ὑψούμενον ἑλκύσοντος, ὡς ἡ ὑπόσχεσις. ἀκολουθήσωμεν ἀγαθῷ Δεσπότῃ, φύγωμεν τὰς κοσμικὰς ἐπιθυμίας, φύγωμεν τὸν πλάνον Κόσμον καὶ Κοσμοκράτορα, γενώμεθα καθαρῶς τοῦ ποιήσαντος, τιμήσωμεν τὴν εἰκόνα, αἰδεσθῶμεν τὴν κλῆσιν, μεταθώμεθα τὴν ζωήν· τί ποιοῦμεν ἡμᾶς αὐτοὺς ταπεινοὺς, ὑψηλοὶ γεγονότες; τί τοῖς ὁρωμένοις ἐγκαταβιοῦμεν; ἕκαστος ὅ,τι ἂν οἷός τε ᾖ, καρποφορείτω τῷ Θεῷ ἐν καιρῷ παντὶ, καὶ ἰδέᾳ πάσῃ καὶ βίων καὶ καταστάσεων, κατὰ τὸ μέτρον τῆς παρούσης αὐτῷ δυνάμεως, καὶ τὸ δοθὲν αὐτῷ χάρισμα· ἵνα πᾶσι μέτροις τῆς ἀρετῆς, πάσας τὰς ἐκεῖθεν μονὰς πληρώσωμεν, τοσοῦτον θερίσαντες ὅσον ἐσπείραμεν, μᾶλλον δὲ τοσοῦτον ἐναποθέμενοι ταῖς θείαις ληνοῖς, ὅσον ἐγεωργήσαμεν. εἰσφερέτω τις, ὁ μὲν χρήματα, ὁ δὲ τὸ μηδὲν ἔχειν, ὁ δὲ τὸ προθυμεῖσθαι, ὁ δὲ τὸ τὸν προθυμούμενον ἀποδέχεσθαι, ὁ μὲν πρᾶξιν ἐπαινετὴν, ὁ δὲ θεωρίαν εὔστοχον, ὁ μὲν λόγον καίριον, ὁ δὲ σιωπὴν εὔλογον, ὁ μὲν τῆς διδασκαλίας ἄπταιστον, καὶ βίον μὴ ἀθετούμενον, ὁ δὲ ἀκοὴν εὐπειθῆ, εὐγνώμονα, ὁ μὲν παρθενίαν ἁγνὴν, καὶ Κόσμου παντελῶς ἀποτεμνοῦσαν, ὁ δὲ γάμον σεμνὸν, καὶ μὴ πάντῃ Θεοῦ χωρίζοντα, ὁ μὲν νηστείαν ἄτυφον, ὁ δὲ ἀπόλαυσιν

μὴ

μὴ ἀκόλαστον. ἄλλος τὸ ἐν προσευχαῖς ἀπερίσπαστον καὶ ὕμνοις πνευματικοῖς, ἄλλος τὸ ἐν προστασίᾳ τῶν δεομένων. πάντες δάκρυα, πάντες κάθαρσιν, ἀνάβασιν πάντες, καὶ τὸ τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. καλὴ καὶ ἁπλότης καρποφορία, καὶ γέλως σωφρονιζόμενος, καὶ θυμὸς κολαζόμενος, καὶ ὄμμα παιδαγωγούμενον, καὶ νοῦς πλανᾶσθαι μὴ συγχωρούμενος. οὐδὲν οὕτω μικρὸν τῶν εἰσφερομένων Θεῷ, κἂν ἐλάχιστον ᾖ, κἂν πολὺ τῆς ἀξίας λειπόμενον, ὃ μὴ προσίεται πάντως καὶ ἀποδέχεται, εἰ καὶ σταθμίζειν οἶδε τῇ δικαίᾳ κρίσει τὸν ἔλεον. δέχεται καὶ Παύλου τὴν φυτείαν, ὡς Παύλου, καὶ Ἀπολλὼ τὴν ἄρδειαν, καὶ τὰ δύο λεπτὰ τῆς χήρας, καὶ τοῦ τελώνου τὴν ταπείνωσιν, καὶ τοῦ Μανασσῆ τὴν ἐξαγόρευσιν. Μωσῆς ἐπήγνυτο τὴν σκηνὴν κάτω, τὴν τῶν οὐρανίων ἀντίτυπον, καὶ πάντες εἰσέφερον τὸ κηρυχθὲν αὐτοῖς, οἱ δὲ καὶ αὐτεπάγγελτοι, οἱ μὲν χρυσὸν, οἱ δὲ ἄργυρον, οἱ δὲ λίθους τιμίους εἰς τὴν ἐπωμίδα, αἱ δὲ βύσσον διακεκλωσμένην, αἱ δὲ κόκκινον νενησμένον, οἱ δὲ πορφύραν, οἱ δὲ δέρματα κριῶν ἠρυθροδανωμένα, αἱ δὲ καὶ τρίχας αἰγείας εἰς τὰ κάτεργα τῆς σκηνῆς τὸ φαυλότατον· οἱ δὲ ὅ,τι ἕκαστος, ἢ ἑκάστη τύχοιεν ἔχοντες. πάντες δὲ ἔφερον, καὶ οὐδεὶς ἦν ἀσυντελὴς, οὐδὲ τῶν πενεστάτων. οὕτω καὶ ἡμεῖς, τῇ τιμίᾳ τοῦ Θεοῦ σκηνῇ τῆς δὲ τῆς Ἐκκλησίας, ἣν ὁ Κύριος ἔπηξε, καὶ οὐκ ἄνθρωπος, ἢ διαφόροις ἀρετῆς συνοικοδομεῖται κάλλεσιν, ὁ μὲν μικρὸν, ὁ δὲ μεῖζον, πάντες δὲ ὁμοίως εἰσφέρωμεν, εἰς ἔργον τέλειον, εἰς κατοικητήριον Χριστοῦ, εἰς ναὸν ἅγιον, συντιθέμενοι καὶ συναρμολογούμενοι τῇ ἀρχιτεκτονίᾳ τοῦ πνεύματος. πάντως δὲ οὐδὲν εἰσοισόμεθα τοσοῦτον, ὅσον εἰλήφαμεν, κἂν πάντα εἰσφέρωμεν. ἐπεὶ καὶ τὸ εἶναι ἡμῖν ἐκ Θεοῦ, καὶ τὸ εἰδέναι Θεὸν, καὶ αὐτὸ τὸ ἔχειν ὃ εἰσενέγκωμεν. τὸ δὲ κάλλιστον καὶ φιλανθρωπότατον, ὅτι μὴ τῇ ἀξίᾳ τοῦ διδομένου, τῇ δὲ δυνάμει, καὶ τῇ διαθέσει τοῦ καρποφοροῦντος, μετρεῖ Θεὸς τὴν ἐπίδοσιν. μὴ οὖν ἀναμείνῃς φαίνεσθαι χρηστὸς, ἀλλ' ἤδη γε-

ἔχῃς, μηδὲ ὅτι τῆς ἀξίας λείπῃ, τὸ πᾶν ἐλλίπῃς, ἀλλὰ
τὸ μὲν εἰσένεγκε, τὸ δὲ προθυμήθητι, ὑπὲρ δὲ τοῦ, δεήθητι
δοθῆναι συγγνώμην τῇ ἀσθενείᾳ. οὐκ ὀφθήσῃ φησὶ κενὸς ἐνώ-
πιόν μου. μηδεὶς ἔσω κενὸς, μηδὲ ἄκαρπος, μηδέ τις στεῖ-
ρα ψυχὴ, καὶ ἄγονος. ἕκαστος ἐκ τῶν παρόντων καρποφορείτω
Θεῷ, καὶ τῶν οἰκείων ἀνὰ ἁμαρτιῶν, τὴν μεταβολὴν, ὁ κα-
λῶς ἔχων, τὴν διατονίαν, ὁ νέος τὴν ἐγκράτειαν, ὁ πολιὰ
τὴν φρόνησιν, ὁ πλούσιος τὴν μετάδοσιν, ὁ πένης τὴν εὐχα-
ριστίαν, ὁ ἐν ἐξουσίᾳ τὴν ἀτυφίαν, ὁ εἰσπράττων τὴν ἡμε-
ρότητα. οἱ ἱερεῖς, ἐνδύσασθε δικαιοσύνην, ἢ τόγε ἀληθέστε-
ρον εἰπεῖν, ἐνδυσώμεθα. μὴ διασκορπίζωμεν τὰ πρόβατα τῆς
νομῆς, καὶ διαφθείρωμεν, ὑπὲρ ὧν ἔθηκε τὴν ψυχὴν ὁ ποιμὴν
ὁ καλὸς, ὁ γινώσκων τὰ ἴδια, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων,
καὶ καλῶν κατ᾿ ὄνομα, καὶ εἰσάγων αὐτὰ, καὶ ἐξάγων ἀπὸ τῆς
ἀπιστίας εἰς πίστιν, καὶ ἀπὸ τῆς ζωῆς ταύτης ἐπὶ τὴν ἐκεῖθεν
ἀνάπαυσιν. φοβηθῶμεν, μὴ ἀφ᾿ ἡμῶν ἄρξηται τὸ κρῖμα, καὶ
τὴν ἀπειλὴν. μὴ λάβωμεν ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρ-
τήματα, αὐτοί τε οὐκ εἰσιόντες, καὶ τοὺς εἰσελθεῖν δυναμένους
κωλύοντες. τὰ πρόβατα μὴ ποιμαίνετε τοὺς ποιμένας, μηδὲ
ὑπὲρ τοὺς ἑαυτῶν ὅρους ἐπαίρεσθε. ἀρκεῖ γὰρ ὑμῖν, ἂν καλῶς
ποιμαίνησθε. μὴ κρίνετε τοὺς κριτὰς, μηδὲ νομοθετεῖτε τοῖς
νομοθέταις. οὐ γάρ ἐστι Θεὸς ἀκαταστασίας καὶ ἀταξίας, ἀλλ᾿
εἰρήνης καὶ τάξεως. μὴ τοίνυν ἔσω τις κεφαλὴ, μόγις ποὺς χεὶρ
τυγχάνων, ἢ πούς, ἢ ἄλλο τι τῶν ἀτελεστέρων μελῶν τοῦ σώ-
ματος. ἀλλ᾿ ἕκαστος ἐν ᾗ ἐκλήθη τάξει, ἀδελφοί, ἐν ταύτῃ
μενέτω, κἂν ᾖ τῆς κρείττονος ἄξιος, ἐν ᾧ στέργει τὴν παροῦ-
σαν, πλέον εὐδοκιμῶν, ἢ ἐν τῷ ζητεῖν ἣν οὐκ ἔλαβε. μή τις
ἰδὸν ἀκινδύνως ἔπεσθαι, ἄρχειν ἐπικινδύνως ἐπιθυμείτω.
μηδὲ ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω, ᾗ καὶ τὰ ἐπίγεια συ-
νέχει καὶ τὰ οὐράνια. μηδὲ ποιῶμεν ἀναρχίαν τὴν πολυαρχίαν.
οἱ περὶ λόγους, μὴ σφόδρα τοῖς λόγοις θαρρεῖτε, μηδὲ σο-
φί-

φείδεσθε περισσὰ καὶ ὑπὲρ τὸν λόγον, μηδὲ νικᾶν ἐπιθυμεῖτε πάντα καλῶς, ἀλλ' ἔστιν ἃ καὶ ἡττᾶσθαι καλῶς, ἀνέχεσθε, δότε τῷ λόγῳ τὸν λόγον, ποιήσατε δικαιοσύνης ὅπλον, μὴ θανάτου τὴν παίδευσιν. ἀρκεῖσθε τοῖς ἰδίοις ὀψωνίοις οἱ στρατιῶται, καὶ μηδὲν ὑπὲρ τὸ διατεταγμένον ἀπαιτεῖτε. ταῦτα ὑμῖν διακελεύεται μεθ' ἡμῶν Ἰωάννης, ὁ μέγας τῆς ἀληθείας κῆρυξ, ἡ πρόδρομος τοῦ Λόγου φωνή. τί λέγων ὀψώνιον; τὸ βασιλικὸν σιτηρέσιον δηλονότι, καὶ τὰς ὑπαρχούσας ἐκ νόμου τοῖς ἀξιώμασι δωρεάς. τὸ δὲ περισσὸν τίνος; ἐγὼ μὲν ὀκνῶ λέγειν τὸ βλάσφημον· ὑμεῖς δὲ οἶδα ὅτι συνίετε, κἂν ἐγὼ φείδωμαι. ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. τῷ μὲν τὸ τέλος, τῷ δὲ τὸν φόβον, ὑμεῖς οἱ τῆς πολιτείας ἐπώνυμοι. φόβον δὲ ὅταν εἴπω, κωλύω τὴν πλεονεξίαν. τί ἂν ἡμεῖς κερδάνωμεν, τάχα ἂν εἴποιτε, μέγα; τὸ πάντων μέγιστον· καὶ εἰ βούλεσθε, δι' ἐμοῦ μεσίτου, τὰς χρηστὰς ἐλπίδας, καὶ τὰ πρωτεῖα τῆς ἄνω πόλεως, ἀντὶ τῆς μικρᾶς ταύτης καὶ ἐλαχίστης ἐν πόλεσιν· ἧς οὐδὲ τὸ ἄρχειν, ἵνα μετρίως εἴπω, τιμῶν ὡς θρεψαμένην, πάνυ τι σεμνὸν καὶ ὑπέρλαμπρον. ἐκεῖ γενέσθαι πρῶτοι θελήσωμεν, μεταποιηθῶμεν τῆς ἐκεῖθεν λαμπρότητος, ἐν κόλποις Ἀβραὰμ ἀντὶ τῆς ἐντεῦθεν ἀσπλαγχνίας ἀναπαυσώμεθα. κρῖμα δίκαιον κρίνωμεν, ἐξελώμεθα πένητα καὶ πτωχόν, χήραν καὶ ὀρφανὸν ἐλεήσωμεν, ἐκπριώμεθα κτεινομένους, ἢ τό γε μετριώτατον εἰπεῖν, μὴ αὐτοὶ κτείνωμεν, μὴ παρείδωμεν τὸν δέσμιον ἡμῶν, μέχρι καὶ τῶν ἀπὸ τραπέζης ψιχίων, καὶ μὴ παραδράμωμεν τὸν ἡλκωμένον καὶ βεβλημένον ἐν τοῖς ἡμετέροις πυλῶσι. μὴ τρυφήσωμεν, ἄλλων κακοπαθούντων, μὴ βδελυξώμεθα τὸν ὁμόδουλον, μὴ φίλοι καὶ ἀδελφοὶ γενώμεθα τῆς τοῦ πλουσίου μερίδος, μηδὲ ὀδυνηθῶμεν ἐν τῇ φλογί, μηδὲ τῷ χάσματι διαστῶμεν ἀπὸ τῶν ὁσίων, μηδὲ δεηθῶμεν Λαζάρου πένητος, ἄκρῳ δακτύλῳ καταψῦξαι τὴν γλῶσσαν ἡμῶν φλεγομένην, καὶ μηδὲ τούτου τυγχάνω-

μεν. γενώμεθα χρηστοί, εὔσπλαγχνοι, συμπαθεῖς. μιμησώμεθα τοῦ Δεσπότου τὴν ἀγαθότητα, ὃς ἀνατέλλει τὸν ἥλιον ἀγαθοῖς καὶ πονηροῖς, καὶ τρέφει τῇ βροχῇ πάντας ὁμοίως. μὴ δεξώμεθα πλουτεῖν διὰ τῆς τῶν ἄλλων πενίας, μὴ τοσοῦτον ἀπέλθωμεν τῆς θείας ἰσότητος, μηδὲ μίξωμεν τὸν ἡμέτερον πλοῦτον ἀλλοτρίοις δάκρυσιν, ὑφ' ὧν ὡς ἰοῦ καὶ σητὸς ἐνδαπανηθήσεται, ἢ τόγε τῆς γραφῆς εἰπεῖν, ἐξιωθήσεται. ἀλλ' ἢ ἐσόμεθα τοῦ δέοντος ἀπληστότεροι, ὥστε καὶ πλεονεκτῆσαι καλῶς δῶμέν τι μικρὸν ἐντεῦθεν, ἵν' ἐκεῖθεν πλουτήσωμεν. ταῦτα μὲν οὖν ἤδη κοινὰ πρὸς πάντας, οὐ τοῖς ἐν πολιτείᾳ μόνον τὰ παραγγέλματα. κοινὰ γὰρ καὶ κοινῆς ἀρρωστίας τὰ φάρμακα. σὺ δὲ ἀπόγραφε δικαίως ἡμᾶς, ὁ τῶν ἡμετέρων γραφεὺς, ἀπόγραφε δὲ μὴ τοὺς ἐμοὺς λόγους ἐπιμελῶς, ὧν οὐδὲν, ἢ μικρὸν τὸ κέρδος, ἢ εἰς ἀκοῆς χάριν καὶ ἡδονήν, ἀλλὰ τὸν ἐμὸν λαὸν, ὁσίως καὶ φιλανθρώπως, αἰδεσθεὶς εἰ μή τι ἄλλο, ἢ τὸν καιρὸν αὐτὸν ὅτι καὶ ὁ Σωτὴρ ἐν ἀπογραφῇ τίκτεται. ἐξῆλθε γὰρ δόγμα φησὶ παρὰ Καίσαρος Αὐγούστου, τοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, καὶ ἀπεγράφετο. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἐν Βηθλεὲμ σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ ἀπογράψασθαι, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ. καὶ τηνικαῦτα ὁ Σωτὴρ τίκτεται, τὸ θαυμάσιον, ὁ πάντων δημιουργὸς καὶ Δεσπότης, ἐν φαύλῳ καὶ μικρῷ καταλύματι. φοβηθῶμεν τὸ μυστήριον, αἰδεσθῶμεν τὴν οἰκονομίαν, καὶ αὐτοὶ τῷ καιρῷ τι συγκατακάμψωμεν. νῦν Ἄγγελοι χαίρουσι, νῦν Ποιμένες περιαστράπτονται, νῦν ἀστὴρ ἐξ ἀνατολῶν τρέχει πρὸς τὸ μέγιστον φῶς καὶ ἀπρόσιτον, νῦν Μάγοι προσπίπτουσι καὶ δωροφοροῦσι, καὶ τὸν πάντων βασιλέα γινώσκουσι, καὶ καλῶς τῷ ἀστέρι τεκμαίρονται τὸν χρόνον· νυνί τε Ἡρώδης μαίνεται καὶ παιδοφονεῖ, καὶ διὰ τὸν ἐλευθερωτὴν ἀναιρεῖ τοὺς τῆς ἐλευθερίας τυγχάνειν ὀφείλοντας. ἀλλ' ἡμεῖς γε, μετὰ τῶν προσκυνούντων γενώμεθα, καὶ προσενέγκωμεν τῷ δι' ἡμᾶς πτωχεύσαντι μέχρι καὶ σώματος, μὴ λίβα-

σοι, μηδὲ χρυσὸν, μηδὲ σμύρναν, τὸν μὲν ὡς Θεῷ, τὸν δὲ ὡς βασιλεῖ, τὴν δὲ ὡς γευσαμένῳ δι' ἡμᾶς νεκρότητος, ἀλλὰ δῶρα μυστικὰ, καὶ ὑπὲρ τὸ φαινόμενον, τό γε μηδὲν λαβεῖν, μηδὲ τῷ πλείστῳ τι συγχωρῆσαι τῆς πενίας, μηδὲ ἀδικῆσαι τὸ πλάσμα διὰ τοῦ πλάσματος. σὺν Χριστῷ γράφεις, σὺν Χριστῷ ταλαντεύεις, σὺν τῇ κεφαλῇ δοκιμάζεις, μετὰ τοῦ Λόγου λογίζῃ. Χριστὸς ἄρτι γεννᾶταί σοι, καὶ Θεός ἐστι, καὶ ἄνθρωπος γίνεται, καὶ ἀνθρώποις συναναστρέφεται, τί τοῦ λόγου θέλοντος; ἐμοὶ δοκεῖν, εἰς νουθεσίαν τῶν τὰ τοιαῦτα πιστευομένων, ὅτι ταῖς μεγίσταις τῶν διοικήσεων, Θεὸς ἀεὶ συνεισέρχεται. καὶ ἵνα μὲν καταιδέσῃ τοὺς ἀπογράφοντας, κενοῦται καὶ ὁμιλεῖ σαρκὶ καὶ ἀνθρώποις· ἵνα δὲ παραμυθήσηται τῆς δουλείας ἡμᾶς, καὶ τὴν εὐγνωμοσύνην νομοθετήσῃ (οὐδὲ γὰρ τοῦτο παροπτέον) τελεῖ καὶ αὐτὸς τὸ δίδραχμον, καὶ οὐχ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ Πέτρου τοῦ τιμιωτάτου τῶν μαθητῶν. ἐπεὶ καὶ ἄνθρωπος ἐγένετο δι' ἡμᾶς, καὶ δούλου μορφὴν ἀνεδέξατο, καὶ ὑπὲρ τῶν ἀνομιῶν ἡμῶν ἤχθη εἰς θάνατον. ταῦτα μὲν ὁ Σωτὴρ, καὶ τῷ θελήματι μόνον, ὡς Θεὸς σῶσαι δυνάμενος, ἐπεὶ καὶ τὰ πάντα προστάγματι συνεστήσατο, μεῖζον δὲ καὶ δυσωπητικώτερον εἰσενήνοχεν ἡμῖν, τὴν συμπάθειαν καὶ τὸ ὁμότιμον. τί δὲ ἡμεῖς οἱ Χριστοῦ μαθηταὶ, τοῦ πράου καὶ φιλανθρώπου, καὶ τοσοῦτον ἡμῖν λειτουργήσαντος; οὐ μιμησόμεθα τοῦ Δεσπότου τὴν εὐσπλαγχνίαν; οὐκ ἐσόμεθα χρηστοὶ τοῖς ὁμοδούλοις, ἵνα τοιούτου τύχωμεν καὶ αὐτοὶ τοῦ Κυρίου, μετροῦντος, ὡς ἂν μετρήσωμεν; οὐ κτησώμεθα τὰς ἑαυτῶν ψυχὰς διὰ τῆς ἡμερότητος; ἀρκεῖ δουλεύειν τοῖς ἐλευθέροις, καὶ τοσοῦτον εἶναι τὸ διάφορον, ὥστε τοῦ αὐτοῦ χοὸς, τὸ μὲν κρατεῖν, τὸ δὲ ἄρχεσθαι. καὶ τὸ μὲν πράττειν φόρους, τὸ δὲ ἀπογράφεσθαι. καὶ τοῖς μὲν ἀδικεῖν ἐξεῖναι καὶ ποιεῖν κακῶς, τοῖς δὲ ὑπὲρ τοῦ μὴ παθεῖν δεῖσθαι καὶ ἀγωνίζεσθαι, καὶ ταῦτα εἶναι περὶ τὴν μίαν εἰκόνα, καὶ τὸ ἓν ἀξίωμα, τοὺς τῆς αὐτῆς ζωῆς κληρονόμους, ὑπὲρ ὧν Χριστὸς ὁμοίως

ἀπέ-

ἀπέθανεν. ἀρκεῖ ταῦτα τοῖς ἐλευθέροις, μὴ βαρυνέσθω δὲ ὁ ζυγός, μηδὲ τῆς πρώτης ἡμῶν ἁμαρτίας τὸ ἐπιτίμιον. ὡς ἐπύλησεν ἡ κακία, καὶ ἡ πρώτη ταύτης καταβολή, καὶ ὁ καθεύδουσιν ἡμῖν ἐπισπείρας τὰ ζιζάνια πονηρός, ἵν' ἀρχὴ τοῦ κακοῦ γένηται, τὸ ἀμελῆσαι τοῦ ἀγαθοῦ, ὥσπερ καὶ σκότους, ἡ τοῦ φωτὸς ὑποχώρησις. ταῦτα τὸ ξύλον, καὶ ἡ πικρὰ γεῦσις, καὶ ὁ βάσκανος ὄφις, καὶ ἡ παρακοή, ἐν ἱδρῶτι τοῦ προσώπου ζῆν κατακρίνασα. ἐντεῦθεν γυμνὸς ἐγὼ καὶ ἀσχήμων, καὶ τὴν γύμνωσιν ἔγνων, καὶ τὸν δερμάτινον χιτῶνα ἠμφιασάμην, καὶ τοῦ Παραδείσου ἐξέπεσον, καὶ εἰς τὴν γῆν ἀπεστράφην, ὅθεν ἐλήφθην, ἓν τοῦτο ἀντὶ τρυφῆς ἔχων, τὸ ἐμαυτοῦ γινώσκειν κακά, καὶ λύπην κατεκρίθην ἄπαυστον, ἀντὶ τῆς μικρᾶς ἡδονῆς, καὶ πόλεμον πρὸς τὸν φιλιωθέντα κακῶς, καὶ διὰ τῆς γεύσεως ὑποσπάσαντα. ταῦτα τῆς κακίας ἐμοὶ τὰ ἐπίχειρα. ἐντεῦθεν τὸ γεννᾶσθαι μόχθῳ, καὶ ζῆν, καὶ λύεσθαι. αὕτη μήτηρ χρείας, ἡ δὲ πλεονεξίας, ἡ δὲ πολέμων, πόλεμοι δὲ φόρων πατέρες, οἱ δὲ τῆς κατακρίσεως τὸ βαρύτατον. ἀλλ' ἡμεῖς γε, μὴ τὸ πρόστιμον ἐπιτείνωμεν, ὑπὸ τὴν αὐτὴν κείμενοι καταδίκην, μηδὲ ἄλλοις κακοὶ γινώμεθα. φιλανθρωπίαν ἡμᾶς τὴν εἰς ἀλλήλους ἀπαιτεῖ ὁ Θεός, κἂν ὑπ' αὐτοῦ κολαζώμεθα. ἔσται καὶ ἄλλη τις ἐγγραφή, καὶ ἄλλος ἀπογραφεύς, εἴ τινα βίβλον ζώντων ἀκούεις, καὶ βίβλον οὐ σωζομένων. ἐκεῖ πάντες ἐγγραφησόμεθα, μᾶλλον δὲ ἤδη γεγράμμεθα κατ' ἀξίαν τῶν ἤδη βεβιωμένων ἕκαστος. οὐ πλοῦτος ἔχει τὸ πλέον ἐκεῖ, οὐ πενία τὸ ἔλαττον, οὐ χάρις, οὐκ ἔχθρα, οὐκ ἄλλο τι τῶν ἀπαιτίων, οἷς ἐνταῦθα τὸ δίκαιον κλέπτεται. δακτύλῳ Θεοῦ πάντες γεγράμμεθα, καὶ ἀνοιγήσεται ἡμῖν βίβλος ἐν ἡμέρᾳ ἀποκαλύψεως. μικρὸς μὲν καὶ μέγας ἐκεῖ ἐστι, καὶ θεράπων ὁμοῦ δεσπότῃ, τὸ Σολομῶντος φθέγξομαι, καὶ Βασιλεὺς ἀρχομένῳ, καὶ ἀπογραφεὺς ἀπογραφομένῳ, καὶ ἡ λαμπρότης ἐγγύθεν, καὶ τὸ δύσφημον σιωπήσομαι, πλὴν οἷα γράφομεν, τοιαῦτα καὶ γραφησόμεθα. ταύ-

τὴν

τὴν ποίησον σεαυτοῦ τὴν ἀπογραφὴν χρηστοτέραν, ἡμῖν φανεὶς χρηστὸς καὶ φιλάνθρωπος. τί πρὸς ταῦτα λέγεις; τί γράφεις, ὦ φίλων ἄριστε καὶ ἡλίκων, καὶ παιδείας ἡμῖν κοινωνὲ, καὶ παιδευμάτων; εἰ καὶ νῦν ἡμᾶς εἰς τὴν κρείττω μοῖραν ὁ Θεὸς ἔταξεν, ὑμᾶς ταῦτα παιδεύειν τοὺς ἐν ἐξουσίᾳ· ὀκνῶ γὰρ εἰπεῖν βαρυτέρων. ὦ πατρίδος εὐσεβοῦς καὶ γένους, ὦ γονέων ἱερῶν ἱερὸν φυτὸν, ὦ ῥίζα τέκνων ἱερωτέρων, πῶς ποτε ἀποδέχῃ τοὺς ἐμοὺς λόγους; ἀρά τι πειθόμενος; ἢ δεήσει κατεπᾴδειν μακρότερα; τοῦτο μὲν οὐκ εἰκάζειν, ἀλλ' εὖ εἰδέναι χρὴ, ὅτι σε οἱ παρ' ἡμῶν λόγοι ἐκ πλείστου ἔχουσι· καὶ γὰρ εἰ μή τινι ἄλλῳ θαρρεῖν ἔχομεν, ἀλλὰ τοῖς λόγοις αὐτοῖς, οἵ σε ἀεὶ πρὸς τὰ καλὰ ῥᾳδίως ἄγουσιν, ἢ ἀρχόμενον, ἢ ἑπόμενον. τοῦτο γάρ ἐστιν, ᾧ τῶν πολλῶν οἱ σοφοὶ διαφέρουσιν. ἐγὼ δὲ μικρὸν ἔτι προσθήσω τοῖς εἰρημένοις. σὺ μὲν δέδωκας μισθὸν τοῖς ἐμοῖς λόγοις, ἅ τινα δέδωκας· οἱ δὲ σοι διδόασι καὶ προσάγουσι πένητας, πάντα χορὸν ἱερέων, χορὸν φιλοσόφων, οὐδενὶ δεσμῷ κάτω κατεχομένων, μόνα κεκτημένων τὰ σώματα, καὶ οὐδὲ αὐτὰ παντελῶς, οὐδὲν ἔχοντων Καίσαρι, πάντα Θεῷ, ὕμνους, εὐχὰς, ἀγρυπνίας, δάκρυα, κτῆσιν οὐ κρατουμένην, ἀποθανεῖν κόσμῳ, ζῆσαι Χριστῷ, σάρκα νεκρῶσαι, ψυχὴν ἑλκύσαι ἀπὸ τοῦ σώματος· τύπων φειδομένας, ἢ καὶ καθαρῶς ἀποδιδοὺς τῷ Θεῷ τοὺς θεραπευτὰς τοῦ Θεοῦ καὶ μύστας, καὶ τῶν οὐρανίων ἐπόπτας, τὴν ἀπαρχὴν τῆς ἡμετέρας γῆς, τὸ ἔρεισμα, τοὺς τῆς πίστεως στεφάνους, τοὺς μαργαρίτας τοὺς τιμίους, τοὺς τοῦ ναοῦ λίθους, οὗ θεμέλιος, καὶ ἀκρογωνιαῖος Χριστὸς, τοῦ καλοῦ λέγω τῆς Ἐκκλησίας πληρώματος, κάλλιστ' ἂν καὶ σεαυτῷ, καὶ πᾶσιν ἡμῖν βουλεύσαιο. καί σοι εὔχομαι τοῦτον τὸν παρ' ἡμῶν τὸν πλοῦτον κτήσασθαι μᾶλλον, ἢ πολλοὺς χρυσίου καὶ ἀργυρίου θησαυροὺς, τοὺς νῦν ὑπάρχοντας, καὶ μετ' ὀλίγον οὐκ ἐσομένους. αὕτη τῶν ἐμῶν λόγων ἡμῖν ἡ καρποφορία, εἰ καὶ τῆς ἐλπίδος ἐλάττων, ἀλλά κατά γε τὴν ἡμετέραν δύναμιν. ὑμεῖς δὲ ἀντιδοίητέ μοι τῆς ἐμῆς εἰσφορᾶς τὸ μεῖζον, τὴν εὐπείθειαν,

ὦ;

ὡς ἂν τά τε ἄλλα, καὶ ἧττον δέηθε τῶν ἐμῶν λόγων, ἀλλήλους κατανοοῦντες, εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων. ὡς ἂν χρηστῆς καὶ φιλανθρώπου τῆς ἐκεῖθεν χαρᾶς τυχόντες, καὶ περὶ τὸν πάντων βασιλέα χορεύοντες, ὃ μόνον ἔργον τοῖς ἐκεῖ γεγραμμένοις, λειτουργῶμεν Θεῷ τὴν αἴνεσιν τὴν μίαν Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, καὶ θεωροῦντες καὶ ἀνυμνοῦντες τῆς Θεότητος δόξαν τε καὶ λαμπρότητα. ὅτι αὐτῷ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΟΥΣ Μακκαβαίους.

Τί δὲ οἱ Μακκαβαῖοι; τούτων γὰρ ἡ παροῦσα πανήγυρις, οὐ παρὰ πολλοῖς μὲν τιμωμένων, ὅτι μὴ μετὰ Χριστὸν ἡ ἄθλησις, πᾶσι δὲ τιμᾶσθαι ἀξίων, ὅτι περὶ τῶν πατρίων ἡ καρτερία. καὶ οἱ πρὸ τῶν Χριστοῦ παθῶν μαρτυρήσαντες, τί ποτε δράσειν ἔμελλον μετὰ Χριστὸν διωκόμενοι, καὶ τὸν ἐκείνου ὑπὲρ ἡμῶν μιμούμενοι θάνατον; οἱ γὰρ χωρὶς ὑποδείγματος τοιοῦτοι τὴν ἀρετὴν, πῶς οὐκ ἂν ὤφθησαν γενναιότεροι, μετὰ τοῦ ὑποδείγματος κινδυνεύοντες; καὶ ἅμα μυστικός τις καὶ ἀπόρρητος οὗτος ὁ λόγος, σφόδρα πιθανὸς, ἔμοιγ' οὖν, καὶ πᾶσι τοῖς φιλοθέοις, μηδένα τῶν πρὸ τῆς Χριστοῦ παρουσίας τελειωθέντων, δίχα τῆς εἰς Χριστὸν πίστεως τούτου τυχεῖν. ὁ γὰρ λόγος, ἐπαρρησιάσθη μὲν ὕστερον καιροῖς ἰδίοις, ἐγνωρίσθη δὲ καὶ πρότερον τοῖς καθαροῖς τὴν διάνοιαν, ὡς ἐκ πολλῶν δῆλον τῶν πρὸ ἐκείνου τετιμημένων. οὐκοῦν, ὅτι πρὸ τοῦ σταυροῦ τοιοῦτοι, παροπτέοι, ἀλλ' ὅτι κατὰ τὸν σταυρὸν, ἐπαινετοὶ, καὶ τῆς ἐκ τῶν λόγων τιμῆς ἄξιοι, οὐχ ἵνα προσθήκην ἢ δόξαν λάβοιεν· τίνα γὰρ, ὧν ἡ πρᾶξις ἔχει τὸ εὔδοξον; ἀλλ' ἵνα δοξασθῶσιν οἱ εὐφημοῦντες, καὶ ζηλώτωσι

τὴν ἀρετὴν οἱ ἀκούοντες, ὥσπερ καὶ ἔξω τῇ μνήμῃ πρὸς τὸ ἴσον διανιστάμενοι. οὗτοι, τίνες μὲν ὄντες, καὶ ὅθεν, καὶ οἵας ὁρμώμενοι τῆς ἀπαρχῆς ἀγωγῆς καὶ παιδεύσεως, εἰς τοσοῦτον ἀρετῆς καὶ δόξης προεληλύθασιν, ὥστε καὶ ταῖς ἐτησίοις ταύταις τιμᾶσθαι πομπαῖς τε καὶ πανηγύρεσι, καὶ μείζονα τῶν ὁρωμένων τὴν περὶ αὐτῶν δόξαν ἐναποκεῖσθαι ταῖς ἁπάντων ψυχαῖς, ἡ περὶ αὐτῶν βίβλος δηλώσει τοῖς φιλομαθέσι καὶ φιλοπόνοις, ἡ περὶ τοῦ αὐτοκράτορα εἶναι τῶν παθῶν τὸν λογισμὸν, φιλοσοφοῦσα, καὶ Κύριον τῆς ἐπ' ἄμφω ῥοπῆς, ἀρετήν τε φημὶ καὶ κακίαν. ἄλλοις τε γὰρ οὐκ ὀλίγοις ἐχρήσατο μαρτυρίοις, καὶ δὴ καὶ τοῖς τούτων ἀθλήμασιν. ἐμοὶ δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει. Ἐλεάζαρ ἐνταῦθα τῶν πρὸ Χριστοῦ παθόντων ἡ ἀπαρχὴ, ὥσπερ τῶν μετὰ Χριστὸν Στέφανος, ἀνὴρ Ἱερεὺς καὶ Πρεσβύτης, πολιὸς τὴν τρίχα, πολιὸς τὴν φρόνησιν, πρότερον μὲν καὶ προθυόμενος τοῦ λαοῦ, καὶ προσευχόμενος, νῦν δὲ καὶ τελεώτατον θῦμα προσάγων ἑαυτὸν τῷ Θεῷ, παντὸς τοῦ λαοῦ καθάρσιον (προοίμιον ἀθλήσεως δεξιὸν, καὶ φθεγγομένη καὶ σιωπῶσα παραίνεσις) προσάγων δὲ καὶ τοὺς ἑπτὰ παῖδας, τὰ τῆς ἑαυτοῦ παιδείας ἀποτελέσματα, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, πάσης νομικῆς ἱερουργίας λαμπροτέραν τε καὶ καθαρωτέραν. τὰ γὰρ τῶν παίδων, τῷ Πατρὶ λογίζεσθαι, τῶν ἐννομωτάτων τε καὶ δικαιοτάτων. παῖδες ἐκεῖ γενναῖοι καὶ μεγαλόψυχοι Μητρὸς εὐγενοῦς εὐγενῆ βλαστήματα, φιλότιμοι τῆς ἀληθείας ἀγωνισταὶ, τῶν Ἀντιόχου καιρῶν ὑψηλότεροι, τοῦ Μωσέως νόμου Μαθηταὶ γνήσιοι, τῶν πατρίων ἐθῶν ἀκριβεῖς φύλακες, ἀριθμὸς τῶν παρ' Ἑβραίοις ἐπαινουμένων, τῷ τῆς ἑβδοματικῆς ἀναπαύσεως μυστηρίῳ τιμώμενος. ἓν πνέοντες, πρὸς ἓν βλέποντες, μίαν ζωῆς ὁδὸν εἰδότες, τὸν ὑπὲρ Θεοῦ θάνατον, οὐχ ἧττον ἀδελφοὶ τὰς ψυχὰς, ἢ τὰ σώματα, ζηλοτυποῦντες ἀλλήλους τῆς τελευτῆς. ὢ τοῦ θαύματος· προαρπάζοντες ὥσπερ θησαυροὺς τὰς βασάνους, τοῦ παιδαγωγοῦ νόμου προ-

κινδυνεύοντες, οὐ τὰς προσαγομένας τῶν βασάνων μᾶλλον φοβούμενοι, ἢ τὰς λειπομένας ἐπιζητοῦντες. ἓν τοῦτο φοβούμενοι μόνον, μὴ ἀνείη κολάζων ὁ τύραννος, καὶ ἀπέλθωσί τινες αὐτῶν ἀστεφάνωτοι, καὶ διαζευχθῶσι τῶν ἀδελφῶν ἄκοντες, καὶ τὴν καλὴν νίκην νικήσωσι, τὸ μὴ παθεῖν κινδυνεύσαντες. Μήτηρ ἐκεῖ νεανικὴ καὶ γενναία, φιλόπαις ὁμοῦ καὶ φιλόθεος, καὶ τὰ μητρῷα σπλάγχνα σπαρασσομένη παρὰ τὸ εἰκὸς τῆς φύσεως. οὐ γὰρ πάσχοντας ἠλέει τοὺς παῖδας, ἀλλ' ἠγωνία τὸ μὴ παθεῖν, οὐδὲ τοὺς ἀπελθόντας ἐπόθει μᾶλλον, ἢ προσθεῖναι τοὺς ὑπολειφθέντας ηὔχετο, καὶ τούτων ἦν αὐτῇ πλείων ὁ λόγος, ἢ τῶν μεταστάντων. τῶν μὲν γὰρ ἀμφίβολος ἡ πάλη, τῶν δὲ ἀσφαλὴς ἡ κατάλυσις. καὶ τοὺς μὲν ἤδη Θεῷ παρετίθετο, τοὺς δὲ ὅπως λάβῃ Θεὸς, ἐφρόντιζεν. ὢ ψυχῆς ἀνδρείας, ἐν γυναικείῳ τῷ σώματι. ὢ θαυμασίας ἐπιδόσεως καὶ μεγαλοψύχου. ὢ τῆς Ἀβραμιαίου θυσίας ἐκείνης, εἰ μή τι τολμητέον, καὶ μείζων· ὁ μὲν γὰρ ἕνα προσάγει προθύμως, εἰ καὶ τὸν μονογενῆ, καὶ τὸν ἐκ τῆς ἐπαγγελίας, καὶ εἰς ὃν ἡ ἐπαγγελία, καὶ τὸ μεῖζον, ὅτι μὴ τοῦ γένους μόνον, ἀλλὰ καὶ τῶν τοιούτων θυμάτων, ἀπαρχὴ καὶ ῥίζα καθίσταται· ἡ δὲ, δῆμον ὅλον παίδων καθιέρωσε τῷ Θεῷ, νικήσασα καὶ Μητέρας καὶ Ἱερέας τοῖς θύμασι προθύμοις εἰς σφαγὴν, ὁλοκαυτώμασι λογικοῖς, ἱερείοις ἐπειγομένοις. οὐ μαστοὺς παρεδείκνυ, καὶ ἀνατροφῆς ὑπεμίμνησκε, καὶ προὔτεινε τὴν πολιὰν, καὶ τὸ γῆρας εἰς ἱκετηρίας προὐβάλλετο· οὐ σωτηρίαν ζητοῦσα, τὸ δὲ παθεῖν ἐπείγουσα, καὶ κίνδυνον ἡγουμένη τὴν ἀναβολὴν, οὐ τὸν θάνατον. τὴν οὐδὲν ἔκαμψεν, οὐδὲν ἐμαλάκισεν, οὐδὲ ἀτολμοτέραν ἐποίησεν, οὐκ ἀρθρέμβολα προτεινόμενα, οὐ τροχοὶ προβαλλόμενοι, οὐ τροχαντῆρες, οὐ καταπέλται, οὐκ ἀκμαὶ σιδηρῶν ὀνύχων, οὐ θῆρες ζέοντες, οὐ ξίφη θηγόμενα, οὐ λέβητες ζέοντες, οὐ πῦρ ἐγειρόμενον, οὐ τύραννος ἀπειλῶν, οὐ δῆμος, οὐ δορυφόρος κατεπείγων, οὐ γένος ὁρώμενον, οὐ μελῶν

ξαφαιρώμενα, οὐ σάρκες ξαινόμεναι, οὐχ αἵματος ὀχετοὶ ῥέοντες, οὐ νεότης δαπανωμένη, οὐ τὰ παρόντα δεινά, οὐ τὰ προσδοκώμενα χαλεπά. καὶ ὃ τοῖς ἄλλοις βαρύτατόν ἐστιν ἐν τοῖς τοιούτοις, ἡ τοῦ κινδύνου παρέκτασις, τοῦτο ἐκείνῃ τὸ κουφότατον ἦν. ἐνετρύφα γὰρ τῷ θεάματι, καὶ γάρ πως καὶ τριβὴν ἐνεποίει τοῖς πάθεσιν, οὐ τὸ ποικίλον τῶν προσαγομένων βασάνων μόνον, ὧν πασῶν, ὡς οὐδὲ εἰς μιᾶς κατεφρόνουν, ἀλλὰ καὶ οἱ διώκτου λόγοι, πολυειδεῖς ὄντες, ὑβρίζοντος, ἀπειλοῦντος, θωπεύοντος, τί δὲ οὐ κινοῦντος πρὸς τὸ τυχεῖν ὧν ἤλπιζε, καὶ μέντοι καὶ τῶν παίδων αἱ πρὸς τὸν τύραννον ἀποκρίσεις, τοσοῦτον ἔχουσαι τὸ σοφὸν ὁμοῦ καὶ γενναῖον, ὥστε μικρὰ μὲν εἶναι πρὸς τὴν ἐκείνων καρτερίαν, ἅπαντα τὰ τῶν ἄλλων καλὰ εἰς ἓν συναχθέντα· μικρὰν δὲ τὴν καρτερίαν πρὸς τὴν ἐκείνων ἐν λόγοις σύνεσιν, καὶ τῶν αὐτῶν εἶναι μόνων, πάσχειν τε οὕτω καὶ φιλοσοφεῖν ἐν ταῖς ἀποκρίσεσι, πρὸς τὰς τοῦ διώκοντος ἀπειλάς, καὶ τοὺς προτεινομένους φόβους, ὧν οὐδενὸς ἡττῶντο οἱ γενναῖοι παῖδες, καὶ ἡ γενναιοτέρα τεκοῦσα. πάντων δὲ ἑαυτὴν ὑπερτέραν θεῖσα, καὶ τῷ φίλτρῳ τὸν θυμὸν μίξασα, καλὸν ἐντάφιον δίδωσι τοῖς παισὶν ἑαυτήν, ἐπαπελθοῦσα τοῖς προαπελθοῦσι. καὶ τοῦτο πῶς; ἑκουσίως ἐπὶ τοὺς κινδύνους χωρήσασα, ὡς ἂν μὴ δὲ σῶμα ψαύσειεν ἄναγνον, ἁγνοῦ καὶ γενναίου σώματος. καὶ μεθ᾽ οἵων τῶν ἐπιταφίων; καλοὶ μὲν καὶ οἱ τῶν παίδων πρὸς τὸν τύραννον λόγοι, καὶ καλῶν κάλλιστοι. πῶς γὰρ οὔ; μεθ᾽ ὧν παρετάξαντο, καὶ οἷς τὸν τύραννον ἔβαλλον. καλλίους δὲ οἱ τῆς Μητρός, καὶ παρακλητικοὶ πρότερον, καὶ ὕστερον ἐπιτάφιοι. τίνες οὖν οἱ τῶν παίδων λόγοι; καλὸν γὰρ ἀπομνημονεῦσαι καὶ τούτων ὑμῖν, ἵν᾽ ἔχητε τύπον, ὥσπερ ἀθλήσεως, οὕτω καὶ λόγων μαρτυρικῶν, ἐν τοῖς τοιούτοις καιροῖς. ἄλλοι μὲν ἄλλοι, καὶ ὡς ἕκαστον οἱ τοῦ διώκοντος λόγοι, ἢ τῶν κινδύνων ἡ τάξις, ἢ τῆς ψυχῆς τὸ φιλότιμον ὥπλιζεν, ὡς δὲ ἐν τύποις περιλαβεῖν, ἦσαν τοιοῦτοι. Ἡμῖν ὦ Ἀντίοχε, καὶ πάντες οἱ πα-

ἐνεστηκότες, εἷς μὲν Βασιλεὺς ὁ Θεός, παρ' οὗ γεγόναμεν, καὶ πρὸς ὃν ἐπιστρέφομεν, εἷς δὲ νομοθέτης Μωϋσῆς, ὃν οὐ προδώσομεν οὐδὲ καθυβρίσομεν, οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς κινδύνους, καὶ τὰ πολλὰ θαύματα, οὐδ' ἂν ἡμῖν ἄλλος Ἀντίοχος ἀπειλῇ, σοῦ χαλεπώτερος. μία δὲ ἀσφάλεια, τῆς ἐντολῆς ἡ τήρησις, καὶ τὸ μὴ ῥαγῆναι τὸν νόμον, ᾧ τετειχίσμεθα. μία δὲ δόξα, τὸ δόξης ἁπάσης ὑπεριδεῖν ἐπὶ τηλικούτοις. εἷς δὲ πλοῦτος, τὰ ἐλπιζόμενα· φοβερὸν δὲ οὐδέν, ἢ τὸ φοβηθῆναί τι πρὸ Θεοῦ. μετὰ τούτων παρατετάγμεθα τῶν λογισμῶν, καὶ οὕτως ὡπλίσμεθα. πρὸς τοιούτους σοι νεανίας ὁ λόγος. ἡδὺ μὲν καὶ ὁ Κόσμος οὗτος, καὶ τὸ πατρῷον ἔδαφος, καὶ φίλοι, καὶ συγγενεῖς, καὶ ἡλικιῶται, καὶ ὁ Ναὸς οὗτος τὸ μέγα καὶ περιβόητον ὄνομα, καὶ πανηγύρεις πατρικαί, καὶ μυστήρια, καὶ πάντα, οἷς ἡμεῖς τῶν ἄλλων διαφέρειν δοκοῦμεν, ἥττω δὲ ἰδίῳ Θεοῦ, καὶ τῶν ὑπὲρ τοῦ καλοῦ κινδύνων. μὴ τοῦτο νομίσῃς. Κόσμος τε ὁ ἄλλος ἡμῖν, πολὺ τῶν ὁρωμένων ὑψηλότερός τε καὶ μονιμώτερος, Πατρίς τε ἡ ἄνω Ἱερουσαλήμ, ἣν οὐδεὶς Ἀντίοχος πολιορκήσει, οὐδὲ προσδοκήσει περιστήσεσθαι, ἡ καρτερὰ καὶ ἀνάλωτος. συγγένεια δέ, ἡ ἔμπνευσις καὶ οἱ κατ' ἀρετὴν γεννηθέντες. φίλοι δέ, Προφῆται καὶ Πατριάρχαι, παρ' ὧν ἡμῖν καὶ ὁ τύπος τῆς εὐσεβείας. ἡλικιῶται δέ, οἱ σήμερον ἡμῖν συγκινδυνεύοντες, καὶ τὴν καρτερίαν ὁμόχοροι. Ναοῦ δέ, Οὐρανὸς μεγαλοπρεπέστερος· πανηγύρεις δέ, Ἀγγέλων χοροστασία, καὶ μυστήριον ἕν, μέγα, καὶ μέγιστον, καὶ τοῖς πολλοῖς ἀπόκρυφον, ὁ Θεός, πρὸς ὃν βλέπει καὶ τὰ τῇδε μυστήρια. παῦσαι τοίνυν ὑπισχνούμενος ἡμῖν τὰ μικρά, καὶ τοῦ μηδενὸς ἄξια. οὐ γὰρ τιμησόμεθα τοῖς ἀτίμοις, οὐδὲ κερδανοῦμεν ἐπιζήμια, οὐχ οὕτως ἀθλίως ἐμπορευσόμεθα. παῦσαι καὶ ἀπειλῶν, ἢ ἀνταπειλήσομεν, ἐλέγξειν σου τὴν ἀσθένειαν, καὶ πρὸς τὰ σὰ τὰ ἡμέτερα κολαστήρια. ἔχομεν καὶ ἡμεῖς πῦρ, ᾧ τοὺς διώκτας κολάζομεν. οἴει πρὸς ἔθνη καὶ πόλεις εἶναί σοι τὸν ἀγῶνα, καὶ

Βα-

βασιλέων τοὺς ἀνανδροτάτους, ὧν οἱ μὲν κρατήσουσιν, οἱ δὲ ἴσως ἡττηθήσονται, οὐδὲ γὰρ περὶ τηλικούτων αὐτοῖς ὁ κίνδυνος. πρὸς νόμον Θεοῦ παράταξις, πρὸς πλάκας θεοχαράκτους, πρὸς πάτρια καὶ λόγῳ καὶ χρόνῳ τετιμημένα, πρὸς ἀδελφοὺς ἑπτὰ μιᾷ ψυχῇ συνδεδεμένους, ἑπτὰ τροπαίοις σε στηλιτεύσοντας· ὧν κρατῆσαι μὲν οὐ μέγα, ἡττηθῆναι δὲ, καὶ λίαν αἰσχρόν. ἐκείνων ἐσμὲν καὶ υἱοὶ καὶ Μαθηταὶ, οὓς στῦλος πυρὸς καὶ νεφέλης ὡδήγει, οἷς θάλασσα διΐστατο, καὶ ποταμὸς ἵστατο, καὶ Ἥλιος ἀνεκόπτετο, καὶ ἄρτος ὕετο, καὶ χειρῶν ἐκτάσεις ἐτροποῦτο μυριάδας, δι' εὐχῶν βάλλουσα, ὧν θῆρες ἡττῶντο, καὶ πῦρ οὐχ ἥπτετο, καὶ βασιλεῖς ἀπήεσαν τὸ γενναῖον θαυμάζοντες. εἴπω μέν τι καὶ τῶν σοὶ γνωρίμων· Ἐλεαζάρου μύσται ἡμεῖς, οὗ τὴν ἀνδρείαν ἔγνως. προηγωνίσατο Πατὴρ, ἐπαγωνιοῦνται παῖδες· ἀπῆλθον ὁ Ἱερεὺς, ἐπακολουθήσει τὰ θύματα. πολλὰ δεδίττῃ, πρὸς πλείω παρεσκευάσμεθα; τί καὶ δράσεις ἡμᾶς ὑπερήφανε ταῖς ἀπειλαῖς, τί καὶ πεισόμεθα; οὐδὲν ἰσχυρότερον τῶν πάντα παθεῖν ἑτοίμων. ὦ δήμιοι τί μέλλετε; τί δὲ ἀναδύεσθε; τί τὸ πρόσταγμα τὸ χρηστὸν ἀναμένετε; ποῦ τὰ ξίφη; ποῦ τὰ δεσμά; ζητῶ τὸ τάχος. πλεῖον ἀναπτέσθω τὸ πῦρ, οἱ θῆρες ἐνεργέστεροι, αἱ στρέβλαι περιεργότεραι. πάντα ἔσω βασιλικὰ καὶ πολυτελέστερα. ἐγὼ πρωτότοκός εἰμι, πρῶτόν με καθιέρωσον. ἐγὼ τελευταῖος, ἡ τάξις ἀνταμειφθήτω. ἔσω τις καὶ τῶν μέσων ἐν πρώτοις, ἵνα τιμηθῶμεν ἰσομοιρίᾳ. φείδῃ δέ; προσδοκᾷς τι τυχὸν καὶ τῶν ἐναντίων; πάλιν καὶ πολλάκις ἐροῦμεν τὸν αὐτὸν λόγον. οὐ μιαροφαγήσομεν, οὐκ ἐνδώσομεν. θᾶττον σὺ σεβασθήσῃ τὰ ἡμέτερα, ἢ τοῖς σοῖς ἡμεῖς εἴξομεν. κεφάλαιον τοῦ λόγου. ἢ καινότερα ἐπινόησον κολαστήρια, ἢ τὰ παρόντα ἴσθι καταφρονούμενα. ταῦτα μὲν πρὸς τὸν τύραννον· ἃ δὲ ἀλλήλοις διεκελεύοντο, ὥσπερ παρατάξει παροξύνοντες, ἃ δὲ παρεῖχον ὁρᾶν, ὡς καλά τε καὶ ἱερὰ, καὶ παντὸς ἄλλου θεάματος καὶ

ἀκούσματος ἡδίω τοῖς φιλοθέοις. ἔγωγ' οὖν αὐτὸς ἡδονῆς ἐμπίπλαμαι μνημονεύων, καὶ μετ' αὐτῶν ἀθλεύων εἰμὶ τῇ ἐννοίᾳ, καὶ τῷ διηγήματι καλλωπίζομαι. περιέβαλλον ἀλλήλους, περιεπτύσσοντο, πανήγυρις ἦν, ὡς ἐπ' ἄθλοις προκειμένοις. ἴωμεν ἀδελφοὶ πρὸς τοὺς κινδύνους, ἐβόων, ἴωμεν· ἐπειγώμεθα, ἕως ζέει καθ' ἡμῶν ὁ τύραννος, μὴ μαλακισθῇ, καὶ ζημιωθῶμεν τὴν σωτηρίαν. πανδαισία πρόκειται, μὴ ἀπολειφθῶμεν· καλὸν μὲν καὶ συνοικοῦντες ἀλλήλοις ἀδελφοὶ, καὶ συμποσιάζοντες, καὶ συνασπίζοντες, κάλλιον δὲ ὑπὲρ ἀρετῆς συγκινδυνεύοντες. εἰ μὲν οἷόν τε ἦν, καὶ τοῖς σώμασιν ἂν ἠγωνισάμεθα ὑπὲρ τῆς πατρίδος, ἔτι καὶ οὕτως τῶν ἐπαινετῶν ὁ θάνατος. ἐπεὶ δὲ οὐ τοῦτο καιρὸς, αὐτὰ τὰ σώματα εἰσενέγκωμεν. τί γὰρ, κἂν μὴ νῦν ἀποθάνωμεν, οὐ τεθνηξόμεθα πάντως; οὐ τῇ φύσει τὰ ὀφειλόμενα λειτουργήσομεν; ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν, σοφισώμεθα τὴν διάλυσιν, τὸ κοινὸν, ἴδιον ποιησώμεθα, θανάτου ζωὴν ὠνησώμεθα. μήτις οὖν ἡμῶν ἔστω φιλόψυχος, μηδὲ ἄτολμος. ἀπογνώτω καὶ τῶν ἄλλων ὁ τύραννος, ἡμῖν ἐντυχών. τοῖς μὲν κινδύνοις τὴν τάξιν αὐτὸς ἐπιθήσει, ἡμεῖς δὲ ἐπιθήσωμεν τέλος τοῖς διωκομένοις. μηδὲν περὶ τάξιν διαφερώμεθα, τῇ ζέσει τῆς προθυμίας. καὶ ὁ πρῶτος ἔσται τοῖς ἄλλοις ὁδὸς, καὶ ὁ τελευταῖος σφραγὶς ἀθλήσεως. ἡμῖν δὲ τοῦτο ἐμπεπήχθω πᾶσιν ὁμοίως πανοικεσίᾳ στεφανωθῆναι, καὶ μή τινα λαβεῖν μερίδα ἐξ ἡμῶν τὸν διώκτην, ἵν' ὡς πᾶσιν ἐγκαυχήσηται τῷ ἑνὶ, φλεγμαίνων τῇ πονηρίᾳ. φανῶμεν ἀλλήλων ἀδελφοὶ, καὶ τῇ φύσει καὶ τῇ μεταστάσει, καὶ πάντες ὡς εἷς κινδυνεύσωμεν, καὶ ἀντὶ πάντων ἕκαστος. Ἐλεάζαρ ὑποδέξαι. μήτηρ ἐπακολούθησον· Ἱερουσαλὴμ θάψον τοὺς σεαυτῆς νεκροὺς μεγαλοπρεπῶς, ἄν τι τοῖς τάφοις ἀπολειφθῇ. διήγου τὰ ἡμέτερα καὶ τοῖς ὕστερον, δείκνυε καὶ τοῖς σοῖς ἐρασταῖς, τὸ τῆς μιᾶς γαστρὸς εὐσεβὲς πολυάνδρειον. οἱ μὲν δὴ ταῦτα

εἶπον·

εἰπόντες καὶ πράξαντες, καὶ ὡς σύων ὀδόντες ἀλλήλους θήξαντες, ἐν τάξει τῆς ἡλικίας, καὶ ἰσότητι τῆς προθυμίας διηρημένοι. ἡδονὴ καὶ θαῦμα τοῖς ὁμοφύλοις, φόβος καὶ κατάπληξις τοῖς διώκουσιν, οἳ κατὰ παντὸς τοῦ ἔθνους στρατεύσαντες, ἀδελφῶν ἑπτὰ συμψυχίας ὑπὲρ εὐσεβείας ἀγωνιζομένων τοσοῦτον ἡττήθησαν, ὥστε μὴ δὲ περὶ τῶν ἄλλων ἔχειν ἔτι χρηστὰς τὰς ἐλπίδας. ἡ δὲ γενναία μήτηρ, καὶ ὄντως ἐκείνων, τῶν τοσούτων καὶ τοιούτων τὴν ἀρετὴν, τὸ μέγα τοῦ νόμου θρέμμα, καὶ μεγαλόψυχον, τέως μὲν χαρᾷ καὶ φόβῳ σύμμικτος ἦν, καὶ δυοῖν παθῶν ἐν μεταιχμίῳ. χαρᾷ, διὰ τὴν ἀνδρείαν καὶ τὰ ὁρώμενα. φόβῳ, διὰ τὸ μέλλον καὶ τὴν ὑπερβολὴν τῶν κολάσεων, καὶ ὡς νεοσσοὺς ὄρνις, ὄφεως προσερπύζοντος, ἤ τινος ἄλλου τῶν ἐπιβούλων, περιΐπτατο, περιέτρυζεν, ἀντιβόλει, συνηγωνίζετο, τί μὲν οὐ λέγουσα, τί δὲ οὐ πράττουσα τῶν πρὸς νίκην ἐπαλειφόντων; ἥρπαζε τὰς ῥανίδας τοῦ αἵματος, ὑπεδέχετο τὰ λακίσματα τῶν μελῶν, προσεκύνει τὰ λείψανα. τὸν μὲν συνέλεγε, τὸν δὲ παρεδίδου, τὸν δὲ παρεσκεύαζεν. ἐπεφώνει πᾶσιν· εὖγε ὦ παῖδες, εὖγε ἀριστεῖς ἐμοὶ, εὖγε ἀσώματοι σχεδὸν ἐν σώμασιν, εὖγε προστάται τοῦ νόμου, καὶ τῆς ἐμῆς πολιᾶς, καὶ τῆς θρεψαμένης ἡμᾶς πόλεως, καὶ εἰς τόδε ἀρετῆς προαγούσης. ἔτι μικρὸν, καὶ νενικήκαμεν. κεκμήκασιν οἱ βασανισταὶ, τοῦτο φοβοῦμαι μόνον. ἔτι μικρὸν, καὶ μακαρία μὲν ἐν μητράσιν ἐγώ. μακάριοι δὲ ὑμεῖς ἐν νέοις. ἀλλὰ, ποθεῖτε τὴν μητέρα; οὐκ ἀπολείψομαι ὑμῶν. τοῦτο ὑμῖν ὑπισχνοῦμαι. οὐχ οὕτως ἐγὼ μισότεκνος. Ἐπεὶ δὲ τελειωθέντας εἶδε, καὶ τὸ ἀσφαλὲς εἶχεν ἐκ τῆς συμπληρώσεως, διάρασα τὴν κεφαλὴν μάλα φαιδρῶς, ὥσπερ τις ὀλυμπιονίκης, ἐν ὑψηλῷ τῷ φρονήματι, καὶ τὰς χεῖρας ἐκτείνασα, μεγάλῃ μὲν λαμπρᾷ τῇ φωνῇ, εὐχαριστῶ σοι φησὶ Πάτερ Ἅγιε, καί σοι παιδευτὰ νόμου, καί σοι Πάτερ ἡμῶν καὶ προαγωνιστὰ τῶν τέκνων τῶν σῶν Ἐλεάζαρ, ὅτι τὸν τῶν ἐμῶν ὠδίνων καρπὸν παρεδέξασθε, καὶ ὅτι

μήτηρ ἐγενόμην πασῶν μητέρων ἱερωτέρα. οὐδὲν ὑπελειπόμην Κόσμῳ, πάντα Θεῷ παραδέδωκα, τὸν ἐμὸν θησαυρὸν, τὰς ἐμὰς γηροκόμους ἐλπίδας. ὡς μεγαλοπρεπῶς τετίμημαι, ὡς ὑπερβαλλόντως γεγηροκόμημαι. ἀπέχω τὰ τροφεῖα ὦ παῖδες, εἶδον ὑπὲρ ἀρετῆς ἀγωνιζομένους ὑμᾶς, πάντας στεφανίτας ἐθεασάμην, ὡς εὐεργέτας ὁρῶ τοὺς βασανιστὰς, μικροῦ καὶ τῷ τυράννῳ χάριτας ὁμολογῶ τῆς πράξεως, ὅτι μὴ τὴν τελευταίαν ἐταμιεύσατο τοῖς κινδύνοις, ἵνα τὸν ἐμὸν τόκον πρότερον θεατρίσασα, καὶ καθ' ἕκαστον τῶν παίδων ἀθλήσασα, οὕτως ἐπανέλθω σὺν ἀσφαλείᾳ τελείᾳ, τελείοις θύμασιν. οὐ σπαράξομαι κόμην, οὐ διαρρήξω χιτῶνα, οὐ ξανῶ σάρκας ὄνυξιν, οὐκ ἐγερῶ θρῆνον, οὐ καλέσω τὰς συνθρηνούσας, οὐ συγκλείσω ἐμαυτὴν εἰς σκότος, ἵνα καὶ ἀὴρ συνθρηνήσῃ μοι, οὐκ ἀναμενῶ παρακλήτορας, οὐκ ἄρτον πένθιμον παραθήσομαι. ταῦτα γὰρ τῶν ἀγεννῶν μητέρων, αἳ σαρκῶν μόνον εἰσὶ μητέρες, αἷς οἴχονται παῖδες, οὐδὲ σεμνοῦ τινος διηγήματος. ἐμοὶ δὲ οὐ τεθνήκατε φίλτατοι παίδων, ἀλλ' ἐκαρποφορήθητε. οὐκ ἐκλελοίπατε, ἀλλὰ μετεληλύθατε. οὐ κατεξάνθητε, ἀλλὰ συνεπάγητε. οὐ θηρίον ἥρπασεν ὑμᾶς, οὐ κῦμα ἐπέκλυσεν, οὐ λῃστὴς διέφθειρεν, οὐ νόσος διέλυσεν, οὐ πόλεμος περιεκύκλωσεν, οὐκ ἄλλο οὐδὲν, ἢ μικρὸν, ἢ μεῖζον τῶν ἀνθρωπίνων. ἐθρήνησα ἂν καὶ μάλα σφοδρῶς, εἰ τούτων ὑμῖν τι συνέπεσεν. ἐφάνην ἂν τότε τοῖς δάκρυσιν, ὡς νῦν τῷ μὴ δακρῦσαι, φιλότεκνος. ἔτι καὶ ταῦτα μικρά. οὕτως ἂν ὑμᾶς ἀπεκλαυσάμην, εἰ κακῶς ἐσώθητε, εἰ τῶν βασάνων ἡττήθητε, εἰ τύραννος ὑμῶν ἐκράτησεν, ὡς ἡττήθησαν νῦν οἱ διώκοντες. τὰ δὲ νῦν, εὐφημία, χαρὰ, δόξα, χοροστασίαι, φαιδρότητες τοῖς ὑπολειφθεῖσιν. ἐγὼ γὰρ ὑμῖν ἐπισεμνύνομαι, μετὰ Φινεὲς ταχθησόμεθα, μετὰ Ἄννης δοξασθησόμεθα. πλὴν ὅσον, ὁ μὲν εἷς, ἡμεῖς δὲ τοσοῦτοι ζηλωταὶ πορνοκτόνοι, οὐ σωμάτων πορνείαν, ἀλλὰ ψυχῶν ἐκκεντήσαντες· καὶ ἡ μὲν ἕνα θεόσδοτον, ἀρτιγε-

ἢ καὶ τοῦτον, ἐγὼ δὲ ἄνδρας ἑπτὰ, καὶ τούτους ἑκόντας Θεῷ καθιέρωσα. συμπληρούτω μοι καὶ Ἱερεμίας τὸν ἐπιτάφιον, οὐ θρηνῶν, ἀλλ' εὐφημῶν τελευτὴν ὁσίαν. ὑπὲρ χιόνα ἐλάμψατε, ὑπὲρ γάλα ἐτυρώθητε, ὑπὲρ λίθον σάπφειρον τὸ σύνταγμα ὑμῶν, Θεῷ καὶ γεννωμένων καὶ δεδομένων. τί ἔτι; προσθὲς ὦ τύραννε κἀμὲ τοῖς παισὶν, εἴ τις καὶ παρ' ἐχθρῶν χάρις, ἵν' ᾖ σοι σεμνότερον τὸ ἀγώνισμα. εἴθε μὲν καὶ διὰ πασῶν ἦλθον τῶν κολάσεων, ἵνα ἀναμίξω τοὺς ἐμοὺς ἰχῶρας τοῖς ἐκείνων ἰχῶρσι, καὶ ταῖς σαρξὶ, τὰς γηραιὰς σάρκας. ἀγαπῶ γὰρ τοὺς παῖδας καὶ τὰ κολαστήρια. εἰ δὲ μὴ τοῦτο, ἀλλὰ τὴν γε κόνιν, τῇ κόνει, καὶ τάφος εἷς ἡμᾶς ὑποδέξηται. μὴ φθονήσῃς τελευτῆς ὁμοτίμου, τοῖς ὁμοτίμοις τὴν ἀρετήν· χαίρετε ὦ μητέρες, χαίρετε ὦ παῖδες. οὕτως ἐκθρέψατε τοὺς ἐξ ὑμῶν προελθόντας, οὕτως ἐκθρέψεσθε. καλὸν ὑπόδειγμα δεδώκαμεν ὑμῖν, πρὸς τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίζεσθαι. ταῦτα ἔλεγε, καὶ προσετίθει τοῖς παισὶν ἑαυτήν. τίνα τρόπον; ὡς ἐπὶ συμφῶνα τὴν πυρκαϊὰν δραμοῦσα, ταύτην γὰρ κατεκρίθη, καὶ οὐδὲ τοὺς ἄγοντας ἀναμείνασα, ἵνα μὴ δὲ σῶμα ψαύσειεν ἀνάγιον, ἁγνοῦ καὶ γενναίου σώματος. οὕτως ἀπέλαυσε τῆς ἱερωσύνης Ἐλεάζαρ, μυηθεὶς καὶ μυήσας τὰ ἐπουράνια, καὶ οὐ τοῖς ἔξωθεν ῥαντισμοῖς τὸν Ἰσραὴλ ἁγνίσας, ἀλλ' οἰκείοις αἵμασι, καὶ ποιήσας τὴν τελευτὴν τελευταῖον μυστήριον. οὕτω τῆς νεότητος οἱ παῖδες, οὐ ταῖς ἡδοναῖς δουλεύσαντες, ἀλλὰ τῶν παθῶν κυριεύσαντες, καὶ τὸ σῶμα καθαγνίσαντες, καὶ πρὸς ἀπαθῆ ζωὴν μετατεθέμενοι. οὕτως ἀπέλαυσε τῆς πολυτεκνίας ἡ μήτηρ, ὅπου καὶ ζῶσιν ἐκαλλωπίσατο, καὶ ἀπελθοῦσι συνανεπαύσατο, οὓς ἐγέννησε κόσμῳ, Θεῷ παραστήσασα, καὶ τὰς ἑαυτῆς ὠδῖνας τοῖς ἄθλοις ἀπαριθμήσασα, καὶ τῷ τόκῳ τὴν ἀκολουθίαν τοῖς θανάτοις γνωρίσασα. ἀπὸ γὰρ τοῦ πρώτου τῶν παίδων μέχρι τοῦ τελευταίου τὸ τῆς ἀθλήσεως. καὶ ὥσπερ ἐν κωμικῶν ἐπαναστάσεσιν, ἄλλος ἐπ' ἄλλῳ τὴν ἀρετὴν ἐπεδείκνυτο, καὶ εἰς τὸ πάσχειν ἦν προθυμότερος, τοῖς τοῦ προειληφότος

κινδύνοις στομούμενος, ὥστε ἀγαπᾷν τὸν τύραννον, ὅτι μὴ πλειόσιν ἐγεγόνει μήτηρ. μᾶλλον γὰρ ἂν ἀπῆλθε κατῃσχυμμένος καὶ ἡττημένος. καὶ τότε πρῶτον ἔγνω, μὴ πάντα τοῖς ὅπλοις ἰσχύων, ὁπότε παισὶν ἀόπλοις προσέβαλεν, ἑνὶ μόνῳ, τῇ εὐσεβείᾳ καθωπλισμένοις, καὶ τῶν πάντα πάσχειν προθυμοτέροις, ἢ δρᾷν ἐκείνοις παρεσκευάζετο. τοῦτο τῆς Ἰεφθάε θυσίας ἀσφαλέστερον, καὶ μεγαλοπρεπέστερον. οὐ γὰρ ἀναγκαίαν ἐποίει τὴν ἐπίδοσιν, ὥσπερ ἐκεῖ ἐπαγγελίας θερμότης, καὶ νίκης ἔρως ἀπεγνωσμένης· ἀλλ' ἑκούσιος ἱερουργία, καὶ μισθὸν ἔχουσα μόνα τὰ ἐλπιζόμενα. τοῦτο τῶν Δανιὴλ ἄθλων οὐκ ἀτιμότερον, παραδοθέντος εἰς βορὰν λέουσι, καὶ τῇ τῶν χειρῶν ἐκτάσει τὰς θῆρας νικήσαντος. τοῦτο τῶν ἐν Ἀσσυρίᾳ νεανίσκων οὐ δεύτερον, οὓς Ἄγγελος ἀνέψυξεν ἐν πυρί, τὸν πατρῷον νόμον μὴ καταλύσαντας, μηδὲ τροφῆς προσιεμένους βέβηλον καὶ ἀνίερον. τοῦτο τῶν ὕστερον ὑπὲρ Χριστοῦ θαυμάτων εἰς φιλοτιμίαν οὐκ ἔλαττον. οἱ μὲν γάρ, ὃ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου, τῷ Χριστοῦ κατηκολούθησαν αἵματι, καὶ Θεὸς ἦν ὁδηγὸς τῶν τοιούτων ἄθλων, ὁ τοσαύτην ὑπὲρ ἡμῶν εἰσενεγκὼν εἰσφοράν, καὶ οὕτω παράδοξον. τοῖς δέ, οὐ πολλά, οὐδὲ τοιαῦτα τὰ τῆς ἀρετῆς ὑποδείγματα. τούτων τὴν καρτερίαν ἐθαύμασε μὲν ἡ Ἰουδαία πᾶσα, καὶ ὡς αὐτὴ στεφανωθεῖσα ἠγάλλετο, καὶ διανίστατο. καὶ γὰρ ἦν ἀγὼν οὗτος, καὶ ἀγώνων μέγιστος τῶν πώποτε παρειληχόντων τὴν πόλιν, ἢ καταλυθῆναι τὸν νόμον κατὰ τὴν ἡμέραν ἐκείνην, ἢ δοξασθῆναι, καὶ ὡς ἐπὶ ξυροῦ τὰ πράγματα εἱστήκει τότε πᾶσι τοῖς τῶν Ἑβραίων γένει τὰ τῆς ἐκείνων ἀθλήσεως. ἠγάσθη δὲ καὶ Ἀντίοχος, οὕτω μεταβαλὼν εἰς θαῦμα τὴν ἀπειλὴν (ἴσασι γὰρ θαυμάζειν ἀνδρῶν ἀρετὴν καὶ πολέμιοι, ὅταν τοῦ θυμοῦ λήξαντος, ἡ πρᾶξις ἐφ' ἑαυτῆς δοκιμάζηται) ὥστε καὶ ἀπῆλθεν ἄπρακτος, πολλὰ μὲν τὸν Πατέρα Σέλευκον ἐπαινέσας τῆς εἰς τὸ ἔθνος τιμῆς, καὶ τῆς εἰς τὸ ἱερὸν μεγαλοψυχίας, πολλὰ δὲ Σίμωνα τὸν ἐπαγαγόντα μεμψάμενος, ὡς καὶ τῆς ἀπανθρω-

πίας αἴτιον, καὶ τῆς ἀδοξίας. τούτους μιμώμεθα καὶ Ἱερεῖς, καὶ Μητέρες, καὶ Παῖδες. οἱ μὲν, εἰς τὴν Ἐλεαζάρου τιμὴν τοῦ πνευματικοῦ Πατρὸς, καὶ λόγῳ καὶ ἔργῳ τὸ βέλτιστον ὑποδείξαντος. αἱ δὲ, τῆς γενναίας μητρὸς, ἀληθῶς φιλότεκνοι φανεῖσαι, καὶ Χριστῷ τὰς ἐξ αὐτῶν παραστήσασαι, ἵνα καὶ γάμος ἁγιασθῇ διὰ τῆς τοιαύτης θυσίας. οἱ δὲ, τοὺς ἱεροὺς αἰδούμενοι παῖδας, καὶ τὴν νεότητα δαπανῶντες, οὐκ ἐν τοῖς αἰσχροῖς πάθεσιν, ἀλλ' ἐν τοῖς κατὰ τῶν παθῶν ἀγωνίσμασι, καὶ πρὸς τὸν καθ' ἡμέραν Ἀντίοχον γενναίως ἀνδριζόμενοι, πᾶσι μέλεσι πολεμοῦντα, καὶ διαφόρως διακονοῦντα. πόθου γὰρ ἀθλητὰς ἔχειν κατὰ πάντα καιρὸν καὶ τρόπον, καὶ βίος ἅπαν, καὶ ἡλικίαν ἅπασαν, καὶ φανερῶς πολεμουμένην, καὶ ἀφανῶς ἐπιβουλευομένην, καὶ βοηθεῖσθαι μὲν τοῖς παλαιοῖς διηγήμασι, βοηθεῖσθαι δὲ καὶ τοῖς νέοις, καὶ πανταχόθεν ὥσπερ αἱ μέλισσαι, συλλέγειν τὰ χρησιμώτατα, εἰς ἑνὸς κηρίου φιλοτεχνίαν καὶ γλυκασμόν. ἵνα καὶ διὰ παλαιᾶς καὶ νέας δοξασθῇ Θεὸς ἐν ἡμῖν, ὁ ἐν Υἱῷ καὶ Πνεύματι δοξαζόμενος, καὶ γινώσκων τοὺς ἰδίους, καὶ γινωσκόμενος ὑπὸ τῶν ἰδίων, ὁμολογούμενός τε καὶ ὁμολογῶν, δοξαζόμενος καὶ δοξάζων ἐν αὐτῷ τῷ Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## Τοῦ ΑΥΤΟΥ ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ ΤΟΝ ΕΑΥΤΟΥ.

### Ἀδελφὸν Ἐπιτάφιος, περιόντων ἔτι τῶν γονέων.

Οἴεσθέ με ἴσως, ὦ φίλοι καὶ ἀδελφοὶ καὶ Πατέρες, τὸ γλυκὺ καὶ πρᾶγμα, καὶ ὄνομα, θρήνους ἐπιβαλοῦντα τῷ ἀπελθόντι καὶ ὀδυρμοὺς, ὑποδέχεσθαι προθύμως τὸν λόγον, ἢ μακροὺς ἀποτενοῦντα καὶ κομψοὺς λόγους, οἷς οἱ πολλοὶ χαίρουσι. καὶ οἱ μὲν ὡς συμπενθήσοντες καὶ συνθρηνήσοντες παρεσκευάσθε, ἵν' ἐν τῷ ἐμῷ πάθει τὰ οἰκεῖα δακρύσητε, ὅσοις

τί τοιοῦτόν ἐστι, καὶ σόφισμα τὸ ἀλγεῖν ἐν φιλικοῖς πάθεσιν, οἱ δὲ ὡς τὴν ἀκοὴν ἑστιάσοντες, καὶ ἡδίους ἐσόμενοι. χρῆναι γὰρ ἡμᾶς ἐπίδειξιν ποιήσασθαι καὶ τὴν συμφορὰν, οἷά ποτε ἦν τὰ ἡμέτερα, ἡνίκα τῶν ἄλλων ἦμεν ἱκανῶς περιττοὶ καὶ τὰ τῆς ὕλης, καὶ τὰ περὶ λόγους φιλότιμοι, πρὶν ἀναβλέψαι πρὸς τὸν ἀληθῆ λόγον καὶ ἀνωτάτω, καὶ πάντα δόντες Θεῷ, παρ' οὗ τὰ πάντα, Θεὸν ἀντὶ πάντων λαβεῖν. μηδαμῶς, μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε, εἴπερ ὑπολαμβάνειν βούλεσθε δεξιόν. οὔτε γὰρ θρηνήσομεν τὸν ἀπελθόντα πλέον ἢ καλῶς ἔχει, οἵ γε μηδὲ τῶν ἄλλων τὰ τοιαῦτα ἀποδεχόμεθα, οὔτε ἐπαινεσόμεθα πέρα τοῦ μέτρου καὶ πρέποντος, καίτοιγε δῶρον φίλον καὶ οἰκειότατον, εἴπερ τι ἄλλο, τῷ λογίῳ λόγος, καὶ τῷ διαφερόντως ἀγαπήσαντι τοὺς ἐμοὺς λόγους, ἡ εὐφημία, καὶ οὐ δῶρον μόνον, ἀλλὰ καὶ χρέος ἁπάντων χρεῶν δικαιότατον· ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ ταῦτα νόμον, καὶ δακρύσαντες καὶ θαυμάσαντες. οὐδὲ γὰρ τοῦτο ἔξω τῆς καθ' ἡμᾶς φιλοσοφίας, μνήμη τε γὰρ δικαίων μετ' ἐγκωμίων, καὶ ἐπὶ νεκρῷ φησι, κατάγαγε δάκρυα, καὶ ὡς δεινὰ πάσχων ἔναρξαι θρήνου, ἴσον ἀναλγησίας χωρίζων ἡμᾶς καὶ ἀμετρίας, τὸ μὲν τοῦτο ἤδη, τῆς τε ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν ἐπιδείξωμεν, καὶ τοῦ τῆς ψυχῆς ἀξιώματος ὑπομνήσομεν, καὶ τὴν ὀφειλομένην τοῖς ἀλγοῦσι παράκλησιν ἐπιθήσομεν, καὶ μεταθήσομεν τὴν λύπην ἀπὸ τῆς σαρκὸς καὶ τῶν προσκαίρων ἐπὶ τὰ πνευματικὰ καὶ αἰώνια. Καισαρίῳ Πατέρες μὲν, ἵν' ἐντεῦθεν ἄρξωμαι, ὅθεν ἡμῖν πρεπωδέστατον, οὓς πάντες γινώσκετε, καὶ ὧν τὴν ἀρετὴν καὶ ὁρῶντες καὶ ἀκούοντες, ζηλοῦτε καὶ θαυμάζετε, καὶ διηγεῖσθε τοῖς ἀγνοοῦσιν, εἴπερ τινές εἰσιν ἀνθρώπων, ἄλλος ἄλλοτι μέρος ἀπολαβόντες· ἐπεὶ μὴ πάντα τὸν αὐτὸν οἷόν τε, μηδὲ μιᾶς γλώσσης τὸ ἔργον, κἂν σφόδρα τις ᾖ τῶν φιλοπονωτάτων καὶ φιλοτίμων. οἷς πολλῶν καὶ μεγάλων ὑπαρχόντων εἰς εὐφημίαν, εἰ μή τῳ περιττὸς εἶναι δοκῶ τὰ οἰκεῖα

θαυ-

θαυμάζων, οὗ μέγιστον ἁπάντων, καὶ ὥσπερ ἄλλο τι γνώριμον οὖσιν ἡ εὐσέβεια· τὰς σεμνὰς τὰς ἐμὰς λέγω καὶ πολιὰς, καὶ οὐχ ἧττον δι' ἀρετὴν αἰδεσίμους, ἢ διὰ γῆρας. ὧν τὰ μὲν σώματα χρόνῳ κέκμηκεν, αἱ ψυχαὶ δὲ Θεῷ νεάζουσι. Πατὴρ μὲν ἐκ τῆς ἀγριελαίου καλῶς ἐγκεντρισθεὶς εἰς τὴν καλλιέλαιον, καὶ τοσοῦτον κοινωνήσας τῆς πιότητος, ὥστε καὶ ἄλλους ἐγκεντρίζειν πιστευθῆναι, καὶ θεραπείαν ἐγχειρισθῆναι ψυχῶν, ὑψηλῶς τοῦ λαοῦ τοῦδε προκαθεζόμενος, Ἀαρών τις δεύτερος, ἢ Μωϋσῆς Θεῷ πλησιάζειν ἠξιωμένος, καὶ θείαν φωνὴν χορηγεῖν τοῖς ἄλλοις ἱσταμένοις πόῤῥωθεν. πρᾶος, ἀόργητος, γαληνὸς τὸ εἶδος, θερμὸς τὸ πνεῦμα, πολὺς τὸ φαινόμενον, πλουσιώτερος τὸ κρυπτόμενον. τί ἂν ὑμῖν ἀναζωγραφοίην τὸν γινωσκόμενον; οὐδὲ γὰρ εἰ μακρὸν ἀποτείνοιμι λόγον, εἴποιμι ἄν τι τοσοῦτον, ὅσον ἄξιον, καὶ ὅσον ἕκαστος συνεπίσταταί τε καὶ ἀπαιτεῖ τὸν λόγον, καὶ βέλτιον ταῖς ὑπονοίαις παραχωρεῖν, ἢ τῷ λόγῳ τὸ πολὺ περικόπτειν τοῦ θαύματος. μήτηρ δὲ ἄνωθεν μὲν ἐκ προγόνων καθιερωμένη Θεῷ, καὶ κλῆρον ἀναγκαῖον οὐκ εἰς ἑαυτὴν μόνον, ἀλλὰ καὶ τοὺς ἐξ αὐτῆς κατέχουσα τὴν εὐσέβειαν, ἐξ ἁγίας ἀπαρχῆς ὄντως ἅγιον φύραμα· τοσοῦτον δὲ αὐτὸ αὐξήσασά τε καὶ πλεονάσασα, ὥστε ἤδη τισὶ (φθέγξομαι γὰρ, εἰ καὶ τολμηρὸς ὁ λόγος) μηδὲ τὴν τοῦ ἀνδρὸς τελειότητα ἑτέρου τινὸς, ἢ ταύτης ἔργον γενέσθαι, πιστευθῆναί τε καὶ ῥηθῆναι, καὶ, ὢ τοῦ θαύματος, ἆθλον εὐσεβείας δοθῆναι μείζονα καὶ τελειοτέραν εὐσέβειαν. φιλόπαιδες ἄμφω καὶ φιλόχριστοι, τὸ παραδοξότατον, μᾶλλον δὲ φιλόχριστοι πλέον, ἢ φιλόπαιδες. οἷς γε καὶ τῶν τέκνων μία τις ἀπόλαυσις ἦν, τὸ ἀπὸ Χριστοῦ καὶ γνωρίζεσθαι καὶ ὀνομάζεσθαι· καὶ εὐπαιδίας ὅρος ἡ ἀρετὴ, καὶ ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις. εὔσπλαγχνοι, συμπαθεῖς, ἁρπάζοντες τὰ πολλὰ σητῶν, καὶ λῃστῶν, καὶ τοῦ κοσμοκράτορος, ἐκ τῆς παροικίας εἰς τὴν κατοικίαν μετασκευαζόμενοι, καὶ κλῆρον μέγιστον τοῖς παι-

πᾶσι τὴν ἐκεῖθεν λαμπρότητα θησαυρίζοντες. οὕτω τοι καὶ εἰς λιπαρὸν ἔφθασαν γῆρας, ὁμότιμοι καὶ τὴν ἀρετὴν καὶ τὴν ἡλικίαν, καὶ πλήρεις ἡμερῶν τῶν τε μενουσῶν ὁμοίως, καὶ τῶν λυομένων. πλὴν τοσοῦτον ἑκάτερος οὐκ ἔχων τὰ πρῶτα τῶν ἐπὶ γῆς, παρ' ὅσον ὑπ' ἀλλήλων εἰς τὸ πρωτεῖον ἐκωλύετο, καὶ πάσης εὐδαιμονίας μέτρον ἐπλήρωσαν, πλὴν τῆς τελευταίας ταύτης, ὡς ἂν οἰηθείη τις, εἴτε δοκιμασίας χρὴ λέγειν, εἴτε οἰκονομίας· ἢ οὐδὲ ἔστιν, ὡς ὁ ἐμὸς λόγος, τὸ σφαλερώτερον τῶν παίδων δι' ἡλικίαν προπέμψαντες, ὥστε ἤδη καταλῦσαι τὸν βίον ἐν ἀσφαλείᾳ, καὶ πρὸς τὰ ἄνω πανοικεσίᾳ μετατεθῆναι. καὶ ταῦτα διῆλθον, οὐ τούτους ἐγκωμιάσαι βουλόμενος, οὐδὲ ἀγνοῶν, ὅτι μόλις αὐτοῖς τῆς ἀξίας ἐφίκοιτο, καὶ ὅλην ὑπόθεσιν λόγου τὸν τούτων ἔπαινον ἐνστησάμενος, ἀλλ' ἵν' ἐπιδείξαιμι ἐκ Πατέρων ὀφειλομένην Καισαρίῳ τὴν ἀρετήν. καὶ μὴ θαυμάζητε, μηδὲ ἀπιστῆτε, εἰ τοιούτων τυχὼν γεννητόρων, τοιούτων ἑαυτὸν παρέσχεν ἐπαίνων ἄξιον· ἀλλὰ τοὐναντίον, εἰ πρὸς ἑτέρους εἶδε, τῶν οἰκείων καὶ τῶν ἐγγύθεν ἀμελήσας ὑποδειγμάτων. τὰ μὲν δὴ πρῶτα τοιαῦτα, οἷα προσῆκον εἶναι τοῖς οὕτως εὖ γεγονόσι, καὶ καλῶς βιώσεσθαι μέλλουσιν. ἵνα δὲ τὰ ἐν μέσῳ συντέμω, κάλλος καὶ μέγεθος, καὶ τὴν ἐπὶ πᾶσι τοῦ ἀνδρὸς χάριν, καὶ ὥσπερ ἐν φθόγγοις εὐαρμοστίαν, ὅτι μηδὲ πρὸς ὑμῶν τὰ τοιαῦτα θαυμάζειν, εἰ καὶ τοῖς ἄλλοις οὐ μικρὰ φαίνεται, πρὸς τὰ ἐφεξῆς βαδιοῦμαι τοῦ λόγου, καὶ ἃ μηδὲ βουλομένῳ παραλιπεῖν ῥᾴδιον. ὑπὸ δὴ τοιούτοις ἤθεσι τραφέντες καὶ παιδευθέντες, καὶ τοῖς ἐνταῦθα μαθήμασιν ἱκανῶς ἐνασκηθέντες, ἐν οἷς ἐκεῖνος τάχει τε καὶ μεγέθει φύσεως, οὐδ' ἂν εἴποι τις ὅσον ὑπὲρ τοὺς πολλοὺς ἦν. ὦ, πῶς ἀδακρυτὶ τὴν τότε παρέλθω μνήμην, καὶ μή με ἀφιλόσοφον ἐλέγξῃ τὸ πάθος παρὰ τὴν ὑπόσχεσιν; ἀλλ' ἐπειδή γε ἀποδημίας καιρὸς ἐδόκει, καὶ τότε πρῶτον ἀπ' ἀλλήλων ἐκρίθημεν, ἐγὼ μὲν τοῖς κατὰ Παλαιστίνην ἐγκαταμείνας παι-

δευ-

διδακτηρίοις ἀνθοῦσι τότε, καὶ ῥητορικῆς ἔρωτα, ὁ δὲ τὴν Ἀλεξάνδρου πόλιν καταλαβὼν παντοίας παιδεύσεως, καὶ τότε, καὶ νῦν οὖσάν τε καὶ δοκοῦσαν ἐργαστήριον. τί πρῶτον, ἢ τί μέγιστον εἴπω τῶν ἐκείνου καλῶν; τί δὲ παρεὶς, μὴ τὸν μέγιστον ζημιώσω τὸν λόγον; τίς μὲν ἐκείνου διδασκάλοις πιστότερος; τίς δὲ ἥλιξι προσφιλέστερος; τίς μὲν μᾶλλον ἀπέφυγε τὴν τῶν μοχθηρῶν ἑταιρείαν καὶ ὁμιλίαν; τίς δὲ τῇ τῶν βελτίστων ἑαυτὸν προσέθηκε πλεῖον, ἄλλοις τε, καὶ τῶν ἐκ τῆς πατρίδος τοῖς εὐδοκιμωτάτοις καὶ γνωριμωτάτοις, εἰδὼς οὐδὲ τοῦτο φέρειν μικρὸν εἰς ἀρετὴν, ἢ κακίαν, τὰς συνουσίας; ἐξ ὧν, τίς μὲν ἄρχουσιν ἐκείνου τιμιώτερος; τίς δὲ τῇ πόλει πάσῃ; καίτοιγε διὰ τὸ μέγεθος πάντων ἐγκρυπτομένων, ἢ ἐπὶ σωφροσύνῃ γνωριμώτερος, ἢ ἐπὶ συνέσει περιφανέστερος; ποῖον μὲν εἶδος οὐκ ἐπῆλθε παιδεύσεως; μᾶλλον δὲ ποῖον, ὡς οὐδὲ μόνον ἕτερος; τίνι δὲ παρῆκεν ἐγγὺς αὐτοῦ γενέσθαι, καὶ κατὰ μικρόν; μὴ ὅτι τῶν καθ᾽ ἑαυτὸν καὶ τῆς αὐτῆς ἡλικίας, ἀλλὰ καὶ τῶν πρεσβυτέρων καὶ παλαιοτέρων ἐν τοῖς μαθήμασι; καὶ πάντα ὡς ἓν ἐξασκήσας, καὶ ἀντὶ πάντων ἕκαστον, τοὺς μὲν πτωχοὺς τὴν φύσιν, φιλοπονίᾳ νικήσας, τοὺς δὲ γενναίους τὴν ἄσκησιν, διανοίας ὀξύτητι. μᾶλλον δὲ τάχει μὲν τοὺς ταχεῖς, σπουδῇ δὲ τοὺς φιλοπόνους ὑπερβαλὼν, καὶ τοὺς κατ᾽ ἄμφω δεξιοὺς ἀμφοτέροις. γεωμετρίας μέν γε καὶ ἀστρονομίας, καὶ τῆς ἐπικινδύνου τοῖς ἄλλοις παιδεύσεως, ὅσον χρήσιμον ἐκλεξάμενος (τοῦτο δὲ ἦν, ἐκ τῆς τῶν οὐρανίων εὐαρμοστίας καὶ τάξεως, τὸν δημιουργὸν θαυμάσαι) ὅσον βλαβερὸν ταύτης, διέφυγεν, οὐ τῇ φορᾷ τῶν ἄστρων, διδοὺς τὰ ὄντα καὶ τὰ γινόμενα, ὡς οἱ τὴν ὁμόδουλον ἑαυτῆς κτίσιν, ἐπανιστάντες τῷ κτίσαντι; Θεῷ δὲ καὶ τ᾽ ἄλλα πάντα ὥσπερ εἰκὸς, ἀνατιθεὶς, καὶ τὴν τούτων κίνησιν. ἀριθμῶν δὲ καὶ λογισμῶν, καὶ τῆς θαυμασίας ἰατρικῆς, ὅση τὰ περὶ φύσεις καὶ κράσεις, καὶ τὰς ἀρχὰς τῶν νοσημάτων φιλοσοφεῖ, ὥστε ταῖς ῥίζαις ἀναι-

ἀναιρουμένας συγκόπτειν καὶ τὰ βλασφήματα. τίς οὕτως ἀμαθὴς ἢ φιλόνεικος, ὡς ἐκείνῳ δοῦναι τὰ δεύτερα, καὶ μὴ ἀγαπῆσαι, εἰ μετ' ἐκεῖνον εὐθὺς ἀριθμοῖτο, τὸ πρεσβεῖον ἐν τοῖς δευτέροις φερόμενος; καὶ ταῦτα οὐ λόγος ἐστὶν ἀμάρτυρος· ἀλλ' Ἐφάτε ὁμοῦ λέξις καὶ Εὐσέβιος, καὶ ὅσην ἐκεῖνος ἐπηλάθεν ὕστερον, ἐπίσημοι στῆλαι τῆς ἐκείνου παιδεύσεως. ἐπεὶ δὲ πᾶσαν ἀρετήν τε καὶ μάθησιν, ὥσπερ μεγάλη φορτὶς παντοδαπῶν ἐμπορίαν, εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συλλεξάμενος, ἐπὶ τὴν ἑαυτοῦ πόλιν ἐστέλλετο, ὡς ἂν καὶ τοῖς ἄλλοις μεταδοίη τῶν καλῶν ἀγωγίμων τῆς ἑαυτοῦ παιδεύσεως, ἐνταῦθά τι καὶ συνηνέχθη πρᾶγμα θαυμάσιον, οὐδὲν δὲ οἷον (καὶ γὰρ ἐμέ γε μάλιστα πάντων εὐφραίνει τοῦτο μνημονευθὲν, καὶ ὑμᾶς αὖ ἡδίους ποιήσειεν) ἐν βραχεῖ διηγήσασθαι. ηὔχετο μὲν ἡ μήτηρ, εὐχὴν μητρικήν τινα καὶ φιλόπαιδα, ὥσπερ ἐξέπεμψεν ἀμφοτέρους, οὕτω καὶ σὺν ἀλλήλοις ἐπανελθόντας ἰδεῖν. ξυνωρὶς γὰρ ἐδοκοῦμέν τις, καὶ εἰ μὴ τοῖς ἄλλοις, μήτοι γ' οὖν, εὐχῆς καὶ θέας ἀξία σὺν ἀλλήλοις ὁρώμενοι, ἡ νῦν κακῶς ὑπὸ τοῦ φθόνου διαλυθεῖσα. Θεοῦ δὲ οὕτω κινήσαντος, ὃς ἀκούει δικαίας εὐχῆς, καὶ φίλτρον τιμᾷ γονέων εἰς παῖδας εὐγνώμονας, ἐξ οὐδεμιᾶς ἐπινοίας οὐδὲ συνθήματος, ὁ μὲν ἀπὸ τῆς Ἀλεξανδρείας, ὁ δὲ ἀπὸ τῆς Ἑλλάδος, κατὰ τὸν αὐτὸν χρόνον, εἰς τὴν αὐτὴν πόλιν· ὁ μὲν ἀπὸ γῆς, ὁ δὲ ἀπὸ θαλάσσης κατήραμεν. ἡ πόλις δὲ τὸ Βυζάντιον, ἡ νῦν προκαθεζομένη τῆς Εὐρώπης πόλις, ἐν ᾗ τοσοῦτον Καισάριος κλέος, οὐ πολλοῦ χρόνου διελθόντος, ἠνέγκατο, ὥστε δημοσίας τιμὰς αὐτῷ καὶ γάμον τῶν εὐδοκίμων καὶ τῆς Συγκλήτου βουλῆς μετουσίαν προτεθῆναι, καὶ πρὸς Βασιλέα πρεσβείαν σταλῆναι τὸν μέγαν, ἀπὸ κοινοῦ δόγματος τὴν πρώτην πόλιν τῷ πρώτῳ λογίων κοσμηθῆναί τε καὶ τιμηθῆναι· εἴ τι μέλει αὐτῷ τοῦ πρώτην ἀληθῶς εἶναι, καὶ τῆς ἐπωνυμίας ἀξίαν. καὶ τοῦτο προστεθῆναι πᾶσι τοῖς ὑπὲρ αὐτῆς διηγήμασι, τὸ Και-

σαρείᾳ καλλωπίζεσθαι, καὶ ἰατρῷ καὶ οἰκήτορι. καίτοιγε μετὰ τῆς ἄλλης λαμπρότητος πολλοῖς καὶ μεγάλοις εὐθηνουμένην ἀνδράσι, κατά τε φιλοσοφίαν, κατά τε τὴν ἄλλην παίδευσιν. ἀλλὰ τοῦτο μὲν ἱκανῶς. τότε δ' οὖν τὸ γινόμενον, τοῖς μὲν ἄλλοις συντυχία τις ἔδοξεν ἄλογος καὶ ἀναίτιος, οἷα φέρει πολλὰ τὸ αὐτόματον ἐν τοῖς ἡμετέροις, τοῖς δὲ φιλοθέοις καὶ λίαν εὔδηλον ἦν, μὴ ἄλλο τι τὸ συμβὰν εἶναι, ἢ γονέων θεοφιλῶν ἔργον, ἐκ γῆς καὶ θαλάττης τοὺς παῖδας συναγόντων, εἰς μίαν εὐχῆς ἐκπλήρωσιν. φέρε μὴ δὲ τοῦτο τῶν Καισαρείας καλῶν παρέλθωμεν, ὃ τοῖς μὲν ἄλλοις ἴσως μικρὸν, καὶ οὐδὲ μνήμης ἄξιον, ἐμοὶ δὲ καὶ τότε καὶ νῦν μέγιστον ἔδοξεν, εἴπερ τὴν ἐπαινετὴν ἡ φιλαδελφία. καὶ οὐ παύσομαι τιθεὶς ἐν πρώτοις, ὁσάκις ἂν τὰ ἐκείνου ἐκδιηγῶμαι. κατεῖχε μὲν αὐτὸν ὡς εἶπον τιμαῖς ἡ πόλις, καὶ οὐδ' ἂν εἴτι γένοιτο, μεθήσειν ἔφασκεν. ἐγὼ δὲ ἀνθέλκων ἴσχυσα, ὁ πάντα Καισαρείᾳ πολὺς καὶ τίμιος, καὶ τοῖς γονεῦσι τὴν εὐχὴν πληρῶσαι, καὶ τῇ πατρίδι τὸ χρέος, καὶ ἐμαυτῷ τὸν πόθον· λαβὼν τῆς ὁδοῦ κοινωνὸν καὶ συνέμπορον, καὶ προτιμηθεὶς οὐ πόλεων καὶ δήμων μόνον, οὐδὲ τιμῶν καὶ πόρων, οἳ πολλοὶ καὶ πολλαχόθεν· οἱ μὲν συνήρρεον ἐκείνῳ, οἱ δὴ ἠλπίζοντο, ἀλλὰ καὶ αὐτοῦ τοῦ Βασιλέως σχεδὸν, καὶ τῶν ἐκεῖθεν ἐπιταγμάτων. ἐντεῦθεν ἐγὼ μὲν φιλοσοφεῖν διέγνων, καὶ πρὸς τὸν ἄνω βίον μεθαρμοσθῆναι, ὥσπέρ τινα βαρὺν δεσπότην καὶ ἀῤῥώστημα χαλεπὸν, πᾶσαν φιλοτιμίαν ἀποσεισάμενος. μᾶλλον δὲ ὁ μὲν πόθος πρεσβύτερος, ὁ δὲ βίος ὕστερος. τὸν δὲ τὰ πρῶτα τῆς παιδεύσεως ἀναθέντα τῇ ἑαυτοῦ πατρίδι καὶ θαυμασθέντα τῶν πόνων ἀξίως, μετὰ τοῦτο, δόξης ἐπιθυμία, καὶ τὸ προστατεύειν τῆς πόλεως, ὡς ὁ μέγας συνέπειθε, τοῖς βασιλείοις δίδωσιν, οὐ πάνυ μὲν ἡμῖν φίλα ποιοῦντα, καὶ κατὰ γνώμην (οὐ γὰρ ἀπολογήσομαι πρὸς ὑμᾶς.) ὅτι πολλοστὸν τετάχθαι παρὰ Θεῷ κρεῖττον εἶναι δοκεῖ τε καὶ ὑψηλότερον, ἢ παρὰ τῷ κάτω Βασιλεῖ τὰ πρῶτα φέρεσθαι. οὐ

μὴν

μῶν ἄξιός γε μέμψεως· φιλοσοφεῖν μὲν γὰρ ὅσῳ μέγιστον, τοσούτῳ καὶ χαλεπώτατον, καὶ οὐ πολλῶν τὸ ἐγχείρημα, οὐδ᾽ ἄλλων, ἢ τῶν ὑπὸ τῆς θείας προκεκλημένων μεγαλονοίας, ἣ τοῖς προῃρημένοις καλῶς χεῖρα δίδωσιν. οὐ μικρὸν δὲ εἰ τὸν δεύτερον προστησάμενος βίον, καλοκἀγαθίας μεταποιοῖτο, καὶ πλείω λόγον ἔχοι Θεοῦ καὶ τῆς ἑαυτοῦ σωτηρίας, ἢ τῆς κάτω λαμπρότητος. καὶ τὴν μὲν ὡς σκηνὴν προβάλλοιτο, ἤ τι προσωπεῖον τῶν πολλῶν καὶ προσκαίρων, τὸ τοῦ κόσμου τούτου δρᾶμα ὑποκρινόμενος, αὐτὸς δὲ ζώοι Θεῷ μετὰ τῆς εἰκόνος, ἣν οἶδε παρ᾽ ἐκείνου λαβὼν καὶ ὀφείλων τῷ δεδωκότι. ὅπερ ἀμέλει καὶ Καισάρειον διανοηθέντα γινώσκομεν· τάττεται μὲν γὰρ τὴν πρώτην ἐν ἰατροῖς τάξιν, οὐδὲ πολλοῦ πόνου προσδεηθεὶς, ἀλλ᾽ ἐπιδείξας μόνον τὴν παίδευσιν, μᾶλλον δὲ βραχύν τινα τῆς παιδεύσεως πρόλογον, κἂν τοῖς φίλοις τοῦ Βασιλέως εὐθὺς ἀριθμούμενος, τὰς μεγίστας καρποῦται τιμάς. ἄμισθον δὲ τὴν τῆς τέχνης φιλανθρωπίαν τοῖς ἐν τέλει προτίθησιν· εἰδὼς οὐδὲν οὕτως, ὡς ἀρετὴν, καὶ τὸ ἐπὶ τοῖς καλλίστοις γινώσκεσθαι προάγειν εἰς τὸ ἔμπροσθεν· καὶ ὧν τῇ τάξει δεύτερος ἦν, τούτων κατὰ πολὺ πρῶτος τῇ δόξῃ. πᾶσι μὲν ὢν διὰ σωφροσύνην ἐπέραστος, καὶ διὰ τοῦτο τὰ τίμια πιστευόμενος, καὶ μηδὲν Ἱπποκράτους ὅρκου προσδεόμενος, ὡς μηδὲν εἶναι καὶ τὴν Κράτητος ἁπλότητα πρὸς τὴν ἐκείνου θεωρουμένην, πᾶσι δὲ πλέον, ἢ κατὰ τὴν ἀξίαν αἰδέσιμος, μεγάλων μὲν ἀεὶ τῶν παρόντων ἀξιούμενος, μειζόνων δὲ ἄξιος εἶναι τῶν ἐλπιζομένων κρινόμενος, τοῖς τε βασιλεῦσιν αὐτοῖς, καὶ ὅσοι τὰ πρῶτα μετ᾽ ἐκείνους ἔχουσι. τὸ δὲ μέγιστον, ὅτι μήτε ὑπὸ τῆς δόξης, μήτε ὑπὸ τῆς ἐν μέσῳ τρυφῆς, τὴν τῆς ψυχῆς εὐγένειαν διέφθειρε. ἀλλὰ πολλῶν καὶ μεγάλων ὑπαρχόντων αὐτῷ, πρῶτον ἦν εἰς ἀξίωμα Χριστιανὸν καὶ εἶναι καὶ ὀνομάζεσθαι, καὶ πάντα ὁμοῦ παιδιά τις ἐκείνῳ καὶ λῆρος, πρὸς ἓν τοῦτο κρινόμενα· τὰ μὲν γὰρ ἄλλα ὡς ἐπὶ σκηνῆς καὶ ἄλλοις παίζεσθαι,

τά-

ἥκιστα πηγνυμένης τε καὶ καταλυομένης· τάχα δὲ φθειρομένης ῥᾷον, ἢ συνισταμένης, ὡς εἶναι ἰδεῖν ἐκ τῶν πολλῶν τοῦ βίου μεταβολῶν, καὶ τῆς ἄνω καὶ κάτω μεταπιπτούσης εὐετηρίας. μόνον δὲ ἴδιον ἀγαθὸν εἶναι καὶ παραμένον ἀσφαλῶς, τὴν εὐσέβειαν. ταῦτα Καισαρίῳ ἐφιλοσοφεῖτο κἀν τῇ χλαμύδι. τούταις καὶ συνέζησε ταῖς ἐννοίαις, καὶ συναπῆλθε μείζων τῆς φαινομένης εἰς τὸ κοινὸν εὐσεβείας, Θεῷ γνωρίζων καὶ παραστὰς τὴν κατὰ τὸν κρυπτὸν ἄνθρωπον. καὶ εἴ με δεῖ πάντα παρέντα, τὴν προστασίαν τῶν ἐκ γένους ἀτυχησάντων, τὴν ὑπεροψίαν τοῦ τύφου, τὴν πρὸς τοὺς φίλους ἰσοτιμίαν, τὴν πρὸς τοὺς ἄρχοντας παῤῥησίαν, τοὺς ὑπὲρ ἀληθείας ἀγῶνας καὶ λόγους, οὓς πολλάκις καὶ πρὸς πολλοὺς συνεστήσατο, οὐ λογικῶς μόνον, ἀλλὰ καὶ λίαν εὐσεβῶς τε καὶ διαπύρως, ἓν ἀντὶ πάντων εἰπεῖν τῶν ἐκείνου τὸ γνωριμώτατον. ἐλύσσα καθ' ἡμῶν Βασιλεὺς ὁ δυσώνυμος, καὶ καθ' ἑαυτοῦ πρῶτον μανεὶς, ἐκ τῆς εἰς Χριστὸν ἀθετήσεως, ἀφόρητος ἤδη καὶ τοῖς ἄλλοις ἦν· οὐδ' ἐν ἴσῳ τοῖς λοιποῖς χριστομάχοις, μεγαλοψύχως ἀπογραφόμενος εἰς τὴν ἀσέβειαν, ἀλλὰ κλέπτων τὸν διωγμὸν ἐν ἐπιεικείας πλάσματι, καὶ κατὰ τὸν σκολιὸν ὄφιν, ὃς τὴν ἐκείνου κατεῖχε ψυχὴν, παντοίαις μηχαναῖς ὑποσπῶν τοὺς ἀθλίους εἰς τὸ ἑαυτοῦ βάραθρον. καὶ τὸ μὲν πρῶτον αὐτοῦ τέχνασμά τε καὶ σόφισμα, ἵνα μηδὲ τῆς ἐπὶ τοῖς ἄθλοις τιμῆς τυγχάνωμεν (ἐφθόνει γὰρ καὶ ταύτης Χριστιανοῖς ὁ γενναῖος) πάσχοντας; ὡς Χριστιανοὺς, ὡς κακούργους κολάζεσθαι. τὸ δὲ δεύτερον, πειθοῦς ὄνομα προσεῖναι τῷ γινομένῳ, μὴ τυραννίδος, ὡς ἂν μεῖζον ᾖ τοῦ κινδύνου τὸ τῆς αἰσχύνης, αὐθαιρέτως χωροῦσι πρὸς τὴν ἀσέβειαν. καὶ τοὺς μὲν χρήμασι, τοὺς δὲ ἀξιώμασι, τοὺς δὲ ὑποσχέσεσι, τοὺς δὲ παντοίαις τιμαῖς ὑφελκόμενος, ἃς οὐδὲ βασιλικῶς προσῆγεν, ἀλλὰ καὶ λίαν δουλοπρεπῶς, ἐν ταῖς ἁπάντων ὄψεσι, πάντας δὲ τῇ γοητείᾳ τῶν λόγων, καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ἐπὶ πολλοῖς πειρᾶται καὶ Καισαρίου·

φοῦ τῆς παραπληξίας καὶ τῆς ἀνοίας. εἰ Καισάριόν τε ὄντα ἀδελφὸν ἐμὸν, καὶ τῶν γονέων τούτων, συλήσειν ἤλπισεν. ἀλλ' ἵνα μικρὸν προσδιατρίψω τῷ λόγῳ, καὶ κατατρυφήσω τοῦ διηγήματος, ὡς οἱ παρόντες τοῦ θεάματος, εἰσῄει μὲν ὁ γενναῖος ἐκεῖνος, τῷ τοῦ Χριστοῦ σημείῳ φραξάμενος, καὶ τὸν μέγαν λόγον ἑαυτοῦ προβαλλόμενος, πρὸς τὸν πολλὴν ἐν ὅπλοις καὶ μέγαν ἐν λόγων δεινότητι. οὐδὲν δὲ καταπλαγεὶς πρὸς τὴν ὄψιν, οὐδὲ θωπείαις τι καταβαλὼν τοῦ φρονήματος. ἀθλητὴς ἕτοιμος ἦν καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸν ἐν ἀμφοτέροις δυνατὸν ἀγωνίζεσθαι· τὸ μὲν οὖν στάδιον τοιοῦτον, καὶ ὁ τῆς εὐσεβείας ἀγωνιστὴς τοσοῦτος, καὶ ἀγωνοθέτης, ἔνθεν μὲν Χριστὸς τοῖς ἑαυτοῦ πάθεσι τὸν ἀθλητὴν ἐξοπλίζων· ἐκεῖθεν δὲ δεινὸς τύραννος, τῇ τῶν λόγων οἰκειότητι προσσαίνων, καὶ τῷ τῆς ἐξουσίας ὄγκῳ δειδιττόμενος. θέατρον δὲ ἀμφοτέρωθεν, τῶν τε τῇ εὐσεβείᾳ λειπομένων ἔτι, καὶ τῶν ὑπ' ἐκείνου συνηρπασμένων· ὅπῃ νεύσῃ τὰ κατ' αὐτοὺς ἀποσκοπούντων, ὅστις νικήσειε, πλείω τὴν ἀγωνίαν ἐχόντων, ἢ περὶ οὓς τὸ θέατρον. ἆρ' οὐκ ἔδεισας περὶ Καισαρίου, μή τι πάθῃ τῆς προθυμίας ἀνάξιον; ἀλλὰ θαρσεῖτε· μετὰ Χριστοῦ γὰρ ἡ νίκη τοῦ τὸν Κόσμον νενικηκότος. τὰ μὲν οὖν καθ' ἕκαστον τῶν τότε ῥηθέντων, ἢ προτεθέντων ἐκδιηγεῖσθαι τὰ νῦν, ἐγὼ μὲν εὖ ἴστε τοῦ παντὸς ἂν ἐτιμησάμην. καὶ γὰρ καὶ λογικάς τινας ἔχειν ἃς ἔχει στροφάς τε καὶ κομψείας ὁ λόγος, ἐμοὶ γοῦν οὐκ ἀηδεῖς εἰς μνήμην, ἔξω δ' ἂν εἴη παντελῶς τοῦ καιροῦ καὶ τοῦ λόγου. ὡς δὲ πάσας αὐτοῦ τὰς ἐν τοῖς λόγοις πλοκὰς διαλύσας, καὶ πεῖραν ἅπασαν ἀφανῆ τε, καὶ φανερὰν, ὥσπερ τινὰ παιδιὰν παρωσάμενος, μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ, τὸ Χριστιανὸς εἶναί τε καὶ μένειν ἀνεκήρυξεν· οὐδὲ οὕτω μὲν παντελῶς ἀποπέμπεται. καὶ γὰρ δεινὸς ἔρως εἶχε τὸν Βασιλέα, τῇ Καισαρίου παιδεύσει συνεῖναι καὶ καλλωπίζεσθαι. ἡνίκα καὶ τὸ περιβόητον τοῦτο ἐν ταῖς τῶν πάντων ἀκοαῖς ἐφθέγξατο· ὦ Πατρὸς εὐτυχοῦς, ὦ παίδων δυστυχῶν.

χῶν. ἐπειδὴ καὶ ἡμᾶς ἠξίωσε τιμῆσαι τῇ κοινωνίᾳ τῆς ἀτιμίας, ὧν καὶ τὴν παίδευσιν Ἀθήνησιν ἔγνω, καὶ τὴν εὐσέβειαν. δευτέρᾳ δὲ εἰσόδῳ ταμιευθεὶς, ἐπειδή γε κατὰ Περσῶν ἐκεῖνον ἡ δίκη καλῶς ἐξώπλισεν, ἐπάνεισι πρὸς ἡμᾶς φυγὰς μακάριος, καὶ τροπαιοῦχος ἀναίμακτος, καὶ περιφανέστερος τὴν ἀτιμίαν ἢ τὴν λαμπρότητα. ταύτην ἐγὼ τὴν νίκην τῆς πολλῆς ἐκείνου χειρὸς, καὶ τῆς ὑψηλῆς ἁλουργίδος, καὶ τοῦ πολυτελοῦς διαδήματος, ὑψηλοτέραν κρίνω μακρῷ καὶ τιμιωτέραν, ταύτῃ τῷ διηγήματι πλέον ἐπαίρομαι, ἢ εἰ πᾶσαν ἐκείνῳ τὴν βασιλείαν ἀπεμερίσατο. τοῖς μὲν οὖν πονηροῖς ὑποχωρεῖ χρόνοις, καὶ τοῦτο κατὰ τὴν ἡμετέραν νομοθεσίαν, ἐν σαφεῖ μὲν καιρῷ, διακινδυνεύειν ὑπὲρ τῆς ἀληθείας, καὶ μὴ προδιδόναι δειλίᾳ τὴν εὐσέβειαν, ἕως δ᾽ οὖν ἐξῇ, μὴ προκαλεῖσθαι τοὺς κινδύνους κελεύουσαν, εἴτε δέει τῶν ἡμετέρων ψυχῶν, εἴτε φειδοῖ τῶν ἐπαγόντων τὸν κίνδυνον· ἐπεὶ δὲ ὁ ζόφος ἐλύθη, καὶ ἡ ὑπερορία καλῶς ἐδίκασε, καὶ ἡ στιλβωθεῖσα ῥομφαία τὸν ἀσεβῆ κατέβαλε, καὶ Χριστιανοῖς ἐπανῆλθε τὰ πράγματα, τί δεῖ λέγειν μεθ᾽ οἵας δόξης τε καὶ τιμῆς, ἢ τῶν μαρτυρίων οἵων καὶ ὅσων, καὶ ὡς διδοὺς χάριν μᾶλλον, ἢ κομιζόμενος, τοῖς βασιλείοις αὖθις ἀναλαμβάνεται, καὶ διαδέχεται τὴν προτέραν τιμὴν ἡ δευτέρα; καὶ Βασιλεῖς μὲν ὁ χρόνος παρήμειψε, Καισαρίῳ δὲ τὸ τῆς εὐδοξίας ἄλυτον, καὶ τῶν παρ᾽ αὐτοῖς πρωτείων, καὶ ἀγὼν βασιλεῦσιν, ὅστις μᾶλλον Καισάριον οἰκειώσηται, καὶ οὗ μᾶλλον ἐκεῖνος ὀνομασθῇ φίλος καὶ γνώριμος. τοιαῦτα Καισαρίῳ τὰ τῆς εὐσεβείας καὶ παρὰ τῆς εὐσεβείας. ἀκουέτωσαν καὶ νέοι καὶ ἄνδρες, καὶ διὰ τῆς αὐτῆς ἀρετῆς, πρὸς τὴν αὐτὴν ἐπιφάνειαν ἐπειγέσθωσαν ἀγαθῶν ἐπὶ πόνων καρπὸς εὐκλεὴς, ὅσοις καὶ τοῦτο διὰ σπουδῆς, καὶ μέρος εὐδαιμονίας ὑπολαμβάνεται. ἀλλ᾽ οἷον δὴ καὶ τοῦτο τῶν περὶ αὐτὸν θαυμάτων, ὁμοῦ τε τῆς τῶν γονέων θεοσεβείας, καὶ τῆς ἐκείνου μεγίστην ἔχον ἀπόδειξιν. διέτριβε

μὲν ἐν τῇ Βιθυνῶν, τὴν οὐ πολλοστὴν ἀπὸ Βασιλέως διέπων ἀρχήν. ἡ δὲ ἦν, ταμιεύειν βασιλεῖ τὰ χρήματα, καὶ τῶν θησαυρῶν ἔχειν τὴν ἐπιμέλειαν. ἐντεῦθεν γὰρ αὐτῷ τὰς μείζους ἀρχὰς Βασιλεὺς προοιμιάζεται. τοῦ δὲ πρώην συνενεχθέντος ἐν Νικαίᾳ σεισμοῦ, ὃς δὴ χαλεπώτατος τῶν πώποτε μνημονευομένων γεγονέναι λέγεται, μικροῦ τοὺς πάντας ἐγκαταλαβόντος, καὶ τῷ τῆς πόλεως κάλλει συναφανίσαντος, μόνος τῶν ἐπιφανῶν, ἢ κομιδῇ σὺν ὀλίγοις, ἐκ τοῦ κινδύνου περισώζεται, καὶ σωτηρίαν ἀπιστουμένην, αὐτῷ σκεπασθεὶς τῷ συμπτώματι, καὶ μικρὰ σημεῖα τοῦ κινδύνου φερόμενος, ὅσον τὸν φόβον παιδαγωγὸν λαβεῖν τῆς μείζονος σωτηρίας, καὶ ὅλος τῆς ἄνω γενέσθαι μοίρας, μεταθέμενος τὴν στρατείαν ἐκ τῶν κινουμένων, καὶ ἀμείψας ἑαυτῷ τὰ βασίλεια. τοῦτο μὲν οὖν καὶ διενοεῖτο, καὶ κατὰ σπουδὴν ἑαυτῷ συνηύχετο, ὡς πρός γε ἐμὲ γράφων ἔπειθεν, ἁρπάσαντα τὸν καιρὸν εἰς νουθέτησιν, ὅπερ οὐδ' ἄλλοτε ποιῶν ἐπαυσάμην, ζηλοτυπῶν τὸ ἐκείνου μεγαλοφυὲς, στρεφόμενον ἐν τοῖς χείροσι, καὶ τὴν φιλοσοφωτάτην ψυχὴν ἐν τοῖς δημοσίοις καλινδουμένην, καὶ ὥσπερ ἥλιον νέφει συγκαλυπτόμενον. ἀλλὰ τοῦ μὲν σεισμοῦ κρείττων ἐγένετο, τῆς νόσου δὲ οὐκ ἔτι· καὶ γὰρ ἦν ἄνθρωπος. καὶ τὸ μὲν ἴδιον ἐκείνου, τὸ δὲ κοινὸν πρὸς τοὺς ἄλλους. καὶ τὸ μὲν τῆς εὐσεβείας, τὸ δὲ τῆς φύσεως, καὶ προὔλαβεν ἡ παραμυθία τὸ πάθος, ἵνα τῷ θανάτῳ πενθοῦντες, τῷ παραδόξῳ τῆς τότε σωτηρίας ἐγκαυχητώμεθα. καὶ νῦν ἡμῖν ὁ πολὺς Καισάριος ἀποσέσωσται, κόνις τιμία, νεκρὸς ἐπαινούμενος, ὕμνοις ἐξ ὕμνων παραπεμπόμενος, Μαρτύρων βήμασι πομπευόμενος, γονέων χερσὶν ὁσίαις τιμώμενος, μητρὸς λαμπροφορίᾳ τῷ πάθει τὴν εὐσέβειαν ἀντεισαγούσης, δάκρυσιν ἡττωμένοις φιλοσοφίᾳ, ψαλμῳδίαις κοιμιζούσαις τοὺς θρήνους, καὶ τῆς νεοκτίστου ψυχῆς, ἣν τὸ πνεῦμα δι' ὕδατος ἀνεμόρφωσεν, ἄξια τὰ γέρα καρπούμενος. τοῦτό σοι Καισάριε παρ' ἐμοῦ τὸ ἐντάφιον.

αὐτὰ

αὗται τῶν ἐμῶν λόγων αἱ ἀπαρχαί, ἃς κρυπτομένας πολλάκις μεμψάμενος, ἐπὶ σεαυτὸν γυμνώσειν ἔμελλες. οὗτος ὁ παρ' ἐμοῦ Κόσμος, σοὶ δὲ Κόσμου παντὸς οἶδα φίλτατος, οὐ σηρῶν περιρρέοντα καὶ μαλακὰ νήματα, οἷς οὐδὲ πρότερον ἔχαιρες κατὰ τοὺς πολλούς, ἀρετῇ μόνῃ κοσμούμενος, οὐδὲ λινοῦ διαφανοῦς ὑφάσματα, οὐδὲ μύρων πολυτίμων ἐπιχύσεις, ἃ ταῖς γυναικωνίτισιν ἀπεπέμπου καὶ πρότερον, καὶ ὧν ἡμέρα μία λύει τὴν εὐωδίαν, οὐδὲ ἄλλο τι τῶν μικρῶν καὶ τοῖς μικροῖς τιμίων, ἃ πάντα κατέκρυψεν ἂν σήμερον ὁ πικρὸς λίθος οὗτος, μετὰ τοῦ καλοῦ σώματος. ἐρρέτωσάν μοι καὶ ἀγῶνες Ἑλληνικοὶ καὶ μῦθοι, δι' ὧν ἔφηβοι δυστυχεῖς ἐτιμήθησαν, μικρὰ μικρῶν ἀγωνισμάτων προτιθέντες τὰ ἔπαθλα. καὶ ὅσα διὰ χοῶν τε καὶ ἀπαργμάτων, ἢ στεμμάτων τε καὶ ἀνθέων νεοδρέπτων, ἀφοσιοῦνται τοὺς ἀπελθόντας ἄνθρωποι, νόμῳ πατρίῳ μᾶλλον, καὶ ἀλογίᾳ πάθους, ἢ λόγῳ δουλεύοντες. τὸ δὲ ἐμὸν δῶρον, λόγος, ὃ τάχα καὶ ὁ μέλλων ὑπολήψεται χρόνος ἀεὶ κινούμενον, καὶ οὐκ ἐῶν εἰς τὸ παντελὲς ἀπελθεῖν τὸν ἐνθένδε μεταχωρήσαντα· φυλάσσων δὲ ἀεὶ καὶ ἀκοαῖς καὶ ψυχαῖς τὸν τιμώμενον, καὶ πινάκων ἐναργεστέραν προτιθεὶς τὴν εἰκόνα τοῦ ποθουμένου. τὰ μὲν οὖν παρ' ἡμῶν τοιαῦτα. εἰ δὲ μικρά, καὶ τῆς ἀξίας ἐλάττω, καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν· ἢ τὰ μὲν ἀποδεδώκαμεν, τὰ δὲ δώσομεν, τοῖς δι' ἔτους προσφέροντες τιμάς τε καὶ μνήμας, οἵ γε τῷ βίῳ περιλειπόμενοι. σὺ δὲ ἡμῖν Οὐρανοῖς ἐμβατεύοις, ὦ θεία καὶ ἱερὰ κεφαλή, καὶ ἐν κόλποις Ἀβραάμ, οἵτινες δή ποτ' εἰσιν, ἀναπαύσαιο· καὶ Ἀγγέλων ἐποπτεύοις χορείαν, καὶ μακαρίων ἀνδρῶν δόξας τε καὶ λαμπρότητας· μᾶλλον δὲ συγχορεύοις καὶ συναγάλλοιο πάντα διαγελῶν τὰ τῇδε ἀφ' ὕψους, τάς τε καλουμένας πλάνας, καὶ τὰς ἐρριμμένας ἀξίας, καὶ τὰς ψευδομένας τιμάς, καὶ τὴν διὰ τῶν αἰσθήσεων πλάνην, καὶ τὴν τοῦ βίου τούτου περιφοράν, καὶ τὴν ὥσπερ ἐν νυκτομαχίᾳ σύγχυσίν τε καὶ ἄγνοιαν, Βασιλεῖ

τῆς μεγάλης παριστάμενος, καὶ τοῦ ἐκεῖθεν φωτὸς πληρούμενος· οὗ μικρὰς ἀπορροίας ἐντεῦθεν δεξάμενοι, ὅσον ἐν ἐσόπτροις φαντάζεσθαι καὶ αἰνίγμασιν, αὐτῇ τῇ πηγῇ τοῦ καλοῦ μετὰ ταῦτα ἐντύχοιμεν, καθαρῷ τῷ νῷ καθαρὰν τὴν ἀλήθειαν ἐποπτεύοντες, καὶ τοῦτον μισθὸν δ' εἰσκόμενοι τῆς περὶ τὸ καλὸν ἐνταῦθα φιλοπονίας, τὴν τελεωτέραν ἐκείνου τοῦ καλοῦ μετουσίαν καὶ θεωρίαν, ὅπερ δὴ τῆς ἡμετέρας τέλος μυσταγωγίας, βίβλοι τε καὶ ψυχαὶ θεολόγοι θεσπίζουσι. τί λοιπὸν ἔτι; τὴν ἐκ λόγου θεραπείαν τοῖς ἀλγοῦσι προσενεγκεῖν. μέγα δὲ τοῖς πενθοῦσι τὸ παρὰ τῶν συναλγούντων φάρμακον. καὶ οἱ τὸ ἴσον τοῦ πάθους ἔχοντες πλέον εἰσὶν εἰς παραμυθίαν τοῖς πάσχουσι. μάλιστα μὲν οὖν πρὸς τούτους ἐστὶν ἡμῖν ὁ λόγος, ὑπὲρ ὧν αἰσχυνοίμην ἄν, εἰ μὴ καθάπερ ἄλλου παντὸς τῶν καλῶν, οὕτω καὶ καρτερίας τὰ πρῶτα φέροιντο. καὶ γὰρ εἰ φιλόπαιδες πάντων μᾶλλον, ἀλλὰ καὶ πάντων μᾶλλον φιλόσοφοι καὶ φιλόχριστοι, καὶ τὴν ἐντεῦθεν μετάβασιν ἐκ πλείονος αὐτοί τε μελετήσαντες, καὶ τοὺς ἐξ αὐτῶν διδάξαντες, μᾶλλον δὲ τὸν βίον ὅλον μελέτην λύσεως ἐνστησάμενοι. εἰ δὲ ἔτι τὸ πάθος ἐπισκοτεῖ τοῖς λογισμοῖς, καὶ καθάπερ λήμη τις τὸν ὀφθαλμὸν ὑπελθοῦσα, καθαρῶς συνιδεῖν οὐκ ἐᾷ τὸ δέον, φέρε δέξασθε παράκλησιν οἱ πρεσβύτεροι τοῦ νέου, καὶ τοῦ παιδὸς οἱ Πατέρες, καὶ τοῦ νουθετεῖσθαι παρὰ τῶν ἡλικιωτῶν ὀφείλοντος, οἱ πολλοὺς νουθετήσαντες, καὶ τῷ πολλῷ χρόνῳ τὴν ἐμπειρίαν συλλέξαντες. θαυμάσητε δὲ μηδὲν, εἰ νέος νουθετῶ γέροντας, καὶ τοῦτο ὑμέτερον, ὅτι πολιᾶς ἄμεινον συνορᾷν ἔχω. πόσον ἔτι βιωσόμεθα χρόνον, ὦ τίμιαι πολιαὶ, καὶ Θεῷ πλησιάζουσαι; πόσον ἐνταῦθα κακοπαθήσομεν; οὐδὲ ὁ πᾶς ἀνθρώπων βίος μακρὸς, ὡς τῇ θείᾳ φύσει καὶ ἀτελευτήτῳ παραβαλεῖν, μὴ ὅτι τὸ τῆς ζωῆς λείψανον, καὶ ἡ λύσις ὡς ἂν εἴποιμεν τῆς ἀνθρωπίνης ψυχῆς, καὶ τοῦ προσκαίρου βίου τὰ τελευταῖα. πόσον ἡμᾶς ἔφθη Καισάριος; πόσον ἔτι τὸν ἀπελθόντα πενθήσομεν; ἢ

πρὸς

πρὸς τὴν αὐτὴν ἐπειγόμεθα μονήν; εἰ τὸν αὐτὸν ὑποδυσόμεθα λίθον αὐτίκα; οὐχ ἡ αὐτὴ κόνις μετὰ μικρὸν ἐσόμεθα; ἢ τοῦτον κερδανοῦμεν ἐν ταῖς μικραῖς ταύταις ἡμέραις, ὅσον πλείω κακὰ, τὰ μὲν ἰδόντες, τὰ δὲ παθόντες, τὰ δὲ καὶ πράξαντες ἴσως, λειτουργῆσαι τῷ τῆς φύσεως νόμῳ τὴν κοινὴν εἰσφορὰν καὶ ἀπαραίτητον; καὶ τοῖς μὲν ἐπακολουθεῖν, τῶν δὲ προαπελθεῖν, καὶ τοὺς μὲν κλαῦσαι, ὑπὸ δὲ τῶν θρηνηθῆναι, καὶ παρ᾽ ἄλλων ἀντιλαβεῖν, ὃν προεισενηνέγκαμεν ἄλλοις τῶν δακρύων ἔρανον. τοιοῦτος ὁ βίος ἡμῶν ἀδελφοὶ, τῶν ζώντων πρόσκαιρα. τοιοῦτο τὸ ἐπὶ γῆς παίγνιον, οὐκ ὄντας γενέσθαι, καὶ γενομένους ἀναλυθῆναι. ὄναρ ἐσμὲν οὐχ ἱστάμενον, φάσμα τι μὴ κρατούμενον, πτῆσις ὀρνέου παρερχομένου, ναῦς ἐπὶ θαλάσσης ἴχνος οὐκ ἔχουσα, κόνις, ἀτμὶς, ἑωθινὴ δρόσος, ἄνθος καιρῷ φυόμενον, καὶ καιρῷ λυόμενον. ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· καλῶς ὁ θεῖος Δαβὶδ περὶ τῆς ἀσθενείας ἡμῶν ἐφιλοσόφησε. καὶ ἐν ἐκείνοις πάλιν τοῖς ῥήμασι, τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι· καὶ παλαιστῶν μέτρον τὰς ἀνθρωπίνας ἡμέρας ὁρίζεται. τί δ᾽ ἂν εἴποις πρὸς Ἱερεμίαν, ὃς καὶ τῇ μητρὶ μέμφεται, τῆς γεννήσεως ἀλγῶν, καὶ ταῦτα ἐπ᾽ ἀλλοτρίοις πταίσμασι; πάντα εἶδον φησὶν ὁ Ἐκκλησιαστὴς, πάντα ἐπῆλθον λογισμῷ τὰ ἀνθρώπινα, πλοῦτον, τρυφὴν, δυναστείαν, δόξαν τὴν ἄστατον, σοφίαν τὴν ὑποφεύγουσαν πλέον, ἢ κρατουμένην, πάλιν τρυφὴν, σοφίαν πάλιν, ἐπὶ τὰ αὐτὰ πολλάκις ἀνακυκλούμενος, γαστρὸς ἡδονὰς, παραδείσους, πλῆθος οἰκετῶν, πλῆθος κτημάτων, οἰνοχόους, καὶ οἰνοχόας, ᾄδοντας, καὶ ᾀδούσας, ὅπλα, δορυφόρους, ἔθνη προσπίπτοντα, φόρους συλλεγομένους, ὀφρὺν βασιλείας, ὅσα τε περιττὰ βίου, ὅσα τῶν ἀναγκαίων, οἷς ὑπὲρ πάντας ἦλθον βασιλεῖς τοὺς ἔμπροσθεν. καὶ τί ἐπὶ πᾶσι τούτοις; πάντα ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης, καὶ προαίρεσις πνεύμα-

ματος, εἴτ' οὖν ὁρμή τις ψυχῆς ἀλόγιστος, καὶ περισπασμὸς ἀνθρώπινος, τοῦτο καταπεισθέντες, ἴσως ἐκ τοῦ παλαιοῦ πτώματος. ἀλλὰ τέλος λόγου, φησὶ, τὸ πᾶν ἄκουε, τὸν Θεὸν φοβοῦ, ἐνταῦθα τῆς ἀπορίας ἵσταται, καὶ τοῦτό σοι μόνον τῆς ἐνταῦθα ζωῆς τὸ κέρδος, ὁδηγηθῆναι διὰ ταραχῆς τῶν ὁρωμένων, καὶ σαλευομένων, ἐπὶ τὰ ἑστῶτα καὶ μὴ κινούμενα. μὴ τοίνυν πενθῶμεν Καισάριον, οἵων ἀπηλλάγη κακῶν εἰδότες, ἀλλ' ἡμᾶς αὐτοὺς, οἵοις ὑπελείφθημεν, καὶ οἷα θησαυρισόμεθα, εἰ μὴ γνησίως Θεῷ προσθέμενοι, καὶ παραδραμόντες τὰ παρατρέχοντα, πρὸς τὴν ἄνω ζωὴν ἐπειγοίμεθα. ἔτι ὑπὲρ γῆς ὄντες, καταλιπόντες τὴν γῆν, καὶ τῷ πνεύματι φέροντι πρὸς τὰ ἄνω γνησίως ἀκολουθήσαντες. ταῦτα καὶ ἀλγεινὰ τοῖς ὀλιγοψύχοις, καὶ κοῦφα τοῖς ἀνδρικοῖς τὴν διάνοιαν. σκοπῶμεν δὲ οὕτως. οὐκ ἄρξει Καισάριος, ἀλλ' οὐδὲ ἀρχθήσεται πρὸς ἄλλων. οὐ φοβήσει τινὰς, ἀλλ' οὐδὲ δώσει βαρὺν δεσπότην, πολλάκις τὸν οὐδὲ ἄρχεσθαι ἄξιον. οὐ συνάξει πλοῦτον, ἀλλ' οὐδὲ ὑπόψεται φθόνον, ἢ ψυχὴν ζημιωθήσεται κακῶς συνάγων, καὶ τοσοῦτον ἀεὶ προσλαμβάνειν ζητῶν, ὅσον ἐκτήσατο. τοιαύτη γὰρ ἡ τοῦ πλουτεῖν νόσος, ὅρον τοῦ δεῖσθαι πλείονος οὐκ ἔχουσα, ἀλλὰ τὸ ποτὸν ἀεὶ δίψους ποιουμένη φάρμακον. οὐκ ἐπιδείξεται λόγους, ἀλλ' ὑπὸ λόγων γε θαυμασθήσεται. οὐ φιλοσοφήσει τὰ Ἱπποκράτους καὶ Γαληνοῦ, καὶ τῶν ἀντιθέτων ἐκείνοις, ἀλλ' οὐ κακοπαθήσει νόσοις, ἰδίας ἐπ' ἀλλοτρίαις συμφοραῖς λύπας καρπούμενος. οὐκ ἀποδείξει τὰ Εὐκλείδου καὶ Πτολεμαίου καὶ Ἥρωνος, ἀλλ' οὐδὲ ἀλγήσει τοῖς ἀπαιδεύτως φυσῶσι μείζονα. οὐ καλλωπιεῖται τοῖς Πλάτωνος, καὶ Ἀριστοτέλους, καὶ Πύῤῥωνος, καὶ Δημοκρίτοις δή τισι, καὶ Ἡρακλείτοις, καὶ Ἀναξαγόραις, Κλεάνθαις τε, καὶ Ἐπικούροις, καὶ οὐκ οἶδ' οἷς τισι τῶν ἐκ τῆς σεμνῆς Στοᾶς καὶ Ἀκαδημίας, ἀλλ' οὐδὲ φροντίσει ὅπως διαλύσῃ τούτων τὰς πιθανότητας. τί με δεῖ μνημονεύειν τῶν ἄλλων; ἀλλὰ ταῦτα δὴ, τὰ

τίμια

τίμια πᾶσι καὶ περισπούδαστα. οὐ παραστήσεται γαμετὴν, ἢ παῖδας, ἀλλ' οὐδὲ θρηνήσει τούτους, ἢ θρηνηθήσεται ὑπὸ τούτων, ἢ καταλιπὼν ἄλλοις, ἢ καταλειφθεὶς συμφορᾶς ὑπόμνημα. οὐ κληρονομήσει χρημάτων, ἀλλὰ κληρονομηθήσεται ὑφ' ὧν χρησιμώτατον, καὶ ὧν αὐτὸς ἠθέλησεν, ἵνα πλούσιος ἐνθένδε μεταναστῇ, πάντα μεθ' ἑαυτοῦ φερόμενος. ὢ τῆς φιλοτιμίας, ὢ τῆς καινῆς παρακλήσεως, ὢ τῆς μεγαλοψυχίας τῶν ἐπιβαλλομένων. ἠκούσθη κήρυγμα πάσης ἀκοῆς ἄξιον, καὶ μητρὸς πάθος κονεῖται δι' ὑποσχέσεως καλῆς καὶ ὁσίας, δοῦναι τὰ πάντα τοῦ παιδὸς, τὸν ἐκείνου πλοῦτον, ὑπὲρ ἐκείνου δῶρον, ἐντάφιον, καὶ μηδὲν ὑπολειφθῆναι τοῖς προσδοκήσασιν. οὔπω ταῦτα ἱκανὰ πρὸς παραμυθίαν; προσοίσω τὸ μεῖζον φάρμακον· πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλὴς, ἐπειδὰν τοῦ συνδεδεμένου σώματος, ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γινομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος, ἢ ἀποτεθέντος, ἢ, οὐκ οἶδ' ὅτι καὶ λέγειν χρὴ, θαυμασίαν τινὰ ἡδονὴν ἥδεται, καὶ ἀγάλλεται, καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς Δεσπότην, ὥσπερ τι δεσμωτήριον χαλεπὸν τὸν ἐνταῦθα βίον ἀποφυγοῦσα, καὶ τὰς περικειμένας ἀποσεισαμένη πέδας, ὑφ' ὧν τὸ τῆς διανοίας πτερὸν καθείλκετο, καὶ οἷον ἤδη τῇ φαντασίᾳ καρποῦται τὴν ἀποκειμένην μακαριότητα. μικρὸν δ' ὕστερον καὶ τὸ συγγενὲς σαρκίον ἀπολαβοῦσα, ᾧ τὰ ἐκεῖθεν συνεφιλοσόφησε, παρὰ τῆς καὶ δούσης καὶ πιστευθείσης γῆς, τρόπον ὃν οἶδεν ὁ ταῦτα συνδήσας, καὶ διαλύσας Θεὸς, τούτῳ συγκληρονομεῖ τῆς ἐκεῖθεν δόξης. καὶ καθάπερ τῶν μοχθηρῶν αὐτοῦ μετέσχε διὰ τὴν συμφυΐαν, οὕτω καὶ τῶν τερπνῶν ἑαυτῆς μεταδίδωσιν, ὅλον εἰς ἑαυτὴν ἀναλώσασα, καὶ γινομένη σὺν τούτῳ ἓν καὶ πνεῦμα, καὶ νοῦς, καὶ Θεὸς, καταποθέντος ὑπὸ τῆς ζωῆς τοῦ θνητοῦ τε καὶ ῥέοντος. ἄκουε γοῦν οἷα περὶ συμπήξεως ὀστῶν τε καὶ νεύρων φιλοσοφεῖται

τῷ

τοῦ θείου Ἰεζεκιὴλ, ὅσα μετ' ἐκεῖνον τῷ θείῳ Παύλῳ περὶ σκηνώματος ἐπιγείου, καὶ οἰκίας ἀχειροποιήτου· τοῦ μὲν καταλυθησομένου, τῆς δὲ ἀποκειμένης ἐν Οὐρανοῖς. καὶ τὴν μὲν ἀπὸ τοῦ σώματος ἐκδημίαν, ἐνδημίαν πρὸς τὸν Κύριον εἶναι φάσκοντος. τὴν δὲ σὺν τούτῳ ζωὴν, ὡς ἐκδημίαν ὀδυρομένου, καὶ διὰ τοῦτο ποθοῦντος καὶ ἐπισπεύδοντος τὴν ἀνάλυσιν. τί μικροψυχῶ περὶ τὰς ἐλπίδας; τί γίνομαι πρόσκαιρος; ἀναμένω τὴν Ἀρχαγγέλου φωνὴν, τὴν ἐσχάτην σάλπιγγα, τὸν Οὐρανοῦ μετασχηματισμὸν, τὴν γῆς μεταποίησιν, τὴν τῶν στοιχείων ἐλευθερίαν, τὴν Κόσμου παντὸς ἀνακαίνισιν. τότε Καισάριον αὐτὸν ὄψομαι, μηκέτι ἐκδημοῦντα, μηκέτι φερόμενον, μηκέτι πενθούμενον, μηκέτ' ἐλεούμενον, λαμπρὸν, ἔνδοξον, ὑψηλὸν, οἷός μοι καὶ κατ' ὄναρ ὤφθης πολλάκις ὦ φίλτατε ἀδελφῶν ἐμοὶ, καὶ φιλαδελφότατε, εἴτε τοῦ βούλεσθαι τοῦτο ἀνατυποῦντος, εἴτε τῆς ἀληθείας. νυνὶ δὲ ἀφεὶς τοὺς θρήνους εἰς ἐμαυτὸν βλέψω, μή τι θρήνων ἄξιον λάθω φέρων, καὶ τὰ ἐμαυτοῦ περισκέψομαι. Υἱοὶ ἀνθρώπων (μέτεισι γὰρ πρὸς ὑμᾶς ὁ λόγος) ἕως πότε βαρυκάρδιοι, καὶ παχεῖς τὴν διάνοιαν; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; μέγα τι τὸν ἐνταῦθα βίον, καὶ τὰς ὀλίγας ταύτας ἡμέρας πολλὰς ὑπολαμβάνοντες, καὶ τὴν διάζευξιν ταύτην τὴν ἀσπαστὴν καὶ ἡδεῖαν, ὡς δή τι βαρὺ καὶ φρικῶδες ἀποστρεφόμενοι; οὐ γνωσόμεθα ἡμᾶς αὐτούς; οὐ τὰ φαινόμενα ῥίψομεν; οὐ πρὸς τὰ νοούμενα βλέψομεν; οὐκ, εἴ τι καὶ λυπεῖσθαι χρὴ, τοὐναντίον ἀνιασώμεθα, τῇ παροικίᾳ μηκυνομένῃ; κατὰ τὸν θεῖον Δαβὶδ, σκηνώματα σκοτισμοῦ, καὶ τόπον κακώσεως, καὶ ἰλὺν βυθοῦ, καὶ σκιὰν θανάτου τὰ τῇδε ἀποκαλοῦντα, ὅτι βραδύνομεν ἐν τοῖς τάφοις οἷς περιφέρομεν, ὅτι ὡς ἄνθρωποι ἀποθνήσκομεν τὸν τῆς ἁμαρτίας θάνατον, Θεοὶ γεγονότες. τοῦτον ἐγὼ φοβοῦμαι τὸν φόβον, τούτῳ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν σύνειμι, καὶ οὐκ ἐᾷ με ἀναπνεῖν ἡ ἐκεῖθεν δόξα, καὶ τὰ ἐκεῖσε δικαιωτήρια,

ὧν

οὐχ ὡς μὲν ἐφίεμαι, μέχρι δὲ τοῦ δύνασθαι λέγειν· ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου. τὰ δὲ φρίττω, καὶ ἀποστρέφομαι. ἐκεῖνο δὲ οὐ δέδοικα, μή μοι τὸ σῶμα τοῦτο διαρρυὲν καὶ διαφθαρὲν παντελῶς οἰχήσεται, ἀλλὰ μὴ τὸ τοῦ Θεοῦ πλάσμα τὸ ἔνδοξον (ἔνδοξον γὰρ κατορθοῦν, ὥσπερ ἄτιμον ἁμαρτάνον) ἐν ᾧ λόγος, νόμος, ἐλπίς, τὴν αὐτὴν τοῖς ἀλόγοις ἀτιμίαν κατακριθῇ, καὶ μηδὲν πλέον ἢ μετὰ τὴν διάζευξιν, ὡς ὄφελόν γε τοῖς πονηροῖς, καὶ τοῦ ἐκεῖθεν πυρὸς ἀξίοις. εἴθε νεκρώσαιμι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· εἴθε πάντα τῷ πνεύματι δαπανήσαιμι, τὴν στενὴν καὶ ὀλίγοις βατὴν ὁδεύσας ὁδόν, μὴ τὴν πλατεῖαν καὶ εὔκολον, ὡς τά γε μετὰ τοῦτο λαμπρὰ καὶ μεγάλα, καὶ μείζων ἡ κατὰ τὴν ἀξίαν ἐλπίς. τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; τί τὸ καινὸν τοῦτο περὶ ἐμὲ μυστήριον; μικρός εἰμι καὶ μέγας, ταπεινὸς καὶ ὑψηλός, θνητὸς καὶ ἀθάνατος, ἐπίγειος καὶ οὐράνιος. ἐκεῖνα μετὰ τοῦ κάτω Κόσμου, ταῦτα μετὰ τοῦ Θεοῦ· ἐκεῖνα μετὰ τῆς σαρκός, ταῦτα μετὰ τοῦ πνεύματος. Χριστῷ συνταφῆναί με δεῖ, Χριστῷ συναναστῆναι, συγκληρονομῆσαι Χριστῷ, Υἱὸν γενέσθαι Θεοῦ, Θεὸν αὐτόν. ὁρᾶτε ποῖ προϊὼν, ἀνήγαγεν ἡμᾶς ὁ λόγος. μικροῦ καὶ χάριν ὁμολογῶ τῷ πάθει, ᾧ τοιαῦτα ἐφιλοσόφησα, καὶ δι᾽ ὃ μᾶλλον ἐραστὴς ἐγενόμην τῆς ἐνθένδε ἀπαναστάσεως. τοῦτο ἡμῖν τὸ μέγα μυστήριον βούλεται· τοῦτο ἡμῖν ὁ ἐνανθρωπήσας δι᾽ ἡμᾶς καὶ πτωχεύσας Θεός, ἵνα ἀναστήσῃ τὴν σάρκα, καὶ ἀνασώσηται τὴν εἰκόνα, καὶ ἀναπλάσῃ τὸν ἄνθρωπον. ἵνα γενώμεθα οἱ πάντες ἓν ἐν Χριστῷ, γενομένῳ τὰ πάντα ἐν πᾶσιν ἡμῖν τελείως, ὅσα πέρ ἐστιν αὐτός, τῶν νῦν ἐν ἡμῖν ὑπαρχόντων σαρκικῶν τε καὶ ἀνθρωπίνων. ἵνα μηκέτι ὦμεν ἄρσεν καὶ θῆλυ, βάρβαρος, σκύθης, δοῦλος, ἐλεύθερος, τὰ τῆς σαρκὸς γνωρίσματα. μόνον δὲ φέρωμεν ἐν ἡμῖν αὐτοῖς τὸν θεῖον χαρακτῆρα, παρ᾽ οὗ καὶ εἰς ὃν γεγόναμεν. τοσοῦτον ἀπ᾽ αὐτοῦ μορφωθέντες καὶ τυπωθέντες, ὥστε καὶ ἀπὸ μόνου γινώσκεσθαι.

κεσθαι

κεῖσθαι, καὶ εἰκός γε ὅπερ ἐλπίζομεν, κατὰ τὴν μεγάλην Θεοῦ τοῦ μεγαλοδώρου φιλανθρωπίαν· ὃς μικρὰ αἰτῶν, μεγάλα χαρίζεται νῦν τε, καὶ εἰς τὸν ἔπειτα χρόνον, τοῖς γνησίως αὐτὸν ἀγαπῶσι, πάντα στέγοντες, πάντα ὑπομένοντες διὰ τὴν εἰς αὐτὸν ἀγάπην τε καὶ ἐλπίδα. ἐπὶ πᾶσιν εὐχαριστοῦντες, δεξιοῖς τε ὁμοίως καὶ ἀριστεροῖς, ἡδέσι λέγω καὶ ἀνιαροῖς (ἐπειδὴ καὶ ταῦτα σωτηρίας ὅπλα πολλάκις οἶδεν ὁ λόγος) αὐτῷ παρακατατιθέμενοι τὰς ἡμετέρας ψυχάς, τὰς τῶν προκαταλυόντων, ὥσπερ ἐν ὁδῷ κοινῇ τῶν ἑτοιμοτέρων. ὃ δὴ καὶ αὐτοὶ ποιήσαντες, ἐνταῦθα τοῦ λόγου λήξωμεν. ἀλλὰ καὶ ὑμεῖς τῶν δακρύων, ἐπὶ τὸν τάφον ἤδη σπεύδοντες τὸν ὑμέτερον, ὃν δῶρον παρ' ὑμῶν ἔχει Καισάριος, λυπηρόν τε καὶ μόνιμον, γονεῦσι μὲν ἑτοιμασθέντα καὶ γήρᾳ κατὰ καιρόν, παιδὶ δὲ καὶ νεότητι δωρηθέντα καὶ παρὰ τὸ εἰκός, καὶ οὐκ ἀπεικός, τῷ διέποντι τὰ ἡμέτερα. ὦ Δέσποτα πάντων καὶ ποιητὰ, καὶ διαφερόντως τοῦδε τοῦ πλάσματος, ὦ Θεὲ τῶν σῶν ἀνθρώπων, καὶ Πάτερ καὶ Κυβερνῆτα, ὦ ζωῆς καὶ θανάτου Κύριε, ὦ ψυχῶν ἡμετέρων ταμία καὶ εὐεργέτα, ὦ ποιῶν τὰ πάντα καὶ μετασκευάζων τῷ τεχνίτῃ Λόγῳ κατὰ καιρόν, καὶ ὡς αὐτὸς ἐπίστασαι, τῷ βάθει τῆς σῆς σοφίας καὶ διοικήσεως, νῦν μὲν δέχοιο Καισάριον ἀπαρχὴν τῆς ἡμετέρας ἀποδημίας. εἰ δὲ τὸν τελευταῖον πρῶτον, συγχωροῦμεν τοῖς σοῖς λόγοις, οἷς τὸ πᾶν φέρεται. δέχοιο δὲ καὶ ἡμᾶς ὕστερον ἐν καιρῷ εὐθέτῳ, οἰκονομήσας ἐν τῇ σαρκὶ ἐφ' ὅσον ἂν ᾖ συμφέρον. καὶ δέχοιό γε διὰ τὸν σὸν φόβον, ἑτοιμασθέντας καὶ οὐ ταρασσομένους, οὐδὲ ὑποχωροῦντας ἐν ἡμέρᾳ τῇ τελευταίᾳ, καὶ βίᾳ τῶν ἐντεῦθεν ἀποσπωμένους, ὃ τῶν φιλοκόσμων ψυχῶν πάθος καὶ φιλοσάρκων, ἀλλὰ προθύμους πρὸς τὴν αὐτόθεν ζωὴν τὴν μακραίωνά τε καὶ μακαρίαν, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΑΘΑΝΑΣΙΟΝ

## Ἀρχιεπίσκοπον Ἀλεξανδρείας.

Ἀθανάσιον ἐπαινῶν, ἀρετὴν ἐπαινέσομαι. ταὐτὸν γὰρ ἐκεῖνόν τε εἰπεῖν, καὶ ἀρετὴν ἐπαινέσαι· ὅτι πᾶσαν ἐν ἑαυτῷ συλλαβὼν εἶχε τὴν ἀρετήν, ἢ τόγε ἀληθέστερον εἰπεῖν, ἔχει. Θεῷ γὰρ ζῶσι πάντες οἱ κατὰ Θεὸν ζήσαντες, κἂν ἐνθένδε ἀπαλλαγῶσι· καθ᾽ ὃ καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀκούει Θεός, ὁ Θεός, ὡς οὐ νεκρῶν Θεός, ἀλλὰ ζώντων. ἀρετὴν δὲ ἐπαινῶν, Θεὸν ἐπαινέσομαι, παρ᾽ οὗ τοῖς ἀνθρώποις ἡ ἀρετή, καὶ τὸ πρὸς αὐτὸν ἀνάγεσθαι, ἢ ἐπανάγεσθαι, διὰ τῆς συγγενοῦς ἡμῖν ἐλλάμψεως. πολλῶν γὰρ ὄντων ἡμῖν καὶ μεγάλων, οὐ μὲν οὖν εἴποι τις ἂν ἡλίκων καὶ ὅσων ὧν ἐκ Θεοῦ ἔχομέν τε καὶ ἕξομεν, τοῦτο μέγιστον καὶ φιλανθρωπότατον, ἡ πρὸς αὐτὸν νεῦσίς τε καὶ οἰκείωσις. ὅπερ γάρ ἐστι τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός. ὁ μὲν γὰρ τὸν ὁρώμενον φωτίζει Κόσμον, ὁ δὲ τὸν ἀόρατον. καὶ ὁ μὲν τὰς σωματικὰς ὄψεις ἡλιοειδεῖς, ὁ δὲ τὰς νοερὰς φύσεις θεοειδεῖς ἀπεργάζεται. καὶ ὥσπερ οὗτος τοῖς ὁρῶσι καὶ τοῖς ὁρωμένοις, τοῖς μὲν τὴν τοῦ ὁρᾶν, τοῖς δὲ τὴν τοῦ ὁρᾶσθαι παρέχων δύναμιν, αὐτὸς τῶν ὁρωμένων ἐστὶ τὸ κάλλιστον, οὕτω Θεὸς τοῖς νοοῦσι καὶ τοῖς νοουμένοις, τοῖς μὲν τὸ νοεῖν, τοῖς δὲ τὸ νοεῖσθαι δημιουργῶν, αὐτὸς τῶν νοουμένων ἐστὶ τὸ ἀκρότατον, εἰς ὃν πᾶσα ἔφεσις ἵσταται, καὶ ὑπὲρ ὃν οὐδαμοῦ φέρεται. οὐδὲ γὰρ ἔχει τι ὑψηλότερον, ἢ ὅλως ἕξει, οὐδὲ ὁ φιλοσοφώτατος νοῦς καὶ διαβατικώτατος, ἢ πολυπραγμονέστατος. τοῦτο γάρ ἐστι τὸ τῶν ὀρεκτῶν ἔσχατον. καὶ οὗ γενομένοις, πάσης θεωρίας ἀνάπαυσις. ᾧτινι μὲν οὖν ἐξεγένετο διὰ λόγου καὶ θεωρίας διασχόντι τὴν ὕλην, καὶ τὸ σαρκίον τοῦτο εἴτε νέφος χρὴ λέγειν, εἴτε προκάλυμμα διαπτύξαντι, Θεῷ

συγ-

συγγενέσθαι καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ κραθῆναι, καθόσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, μακάριος οὗτος, τῆς τε ἐντεῦθεν ἀναβάσεως καὶ τῆς ἐκεῖσε θεώσεως· ἣν τὸ γνησίως φιλοσοφῆσαι χαρίζεται, καὶ τὸ ὑπὲρ τὴν ὑλικὴν δυάδα γενέσθαι, διὰ τὴν ἐν τῇ Τριάδι νοουμένην ἑνότητα. ὅστις δὲ ὑπὸ τῆς συζυγίας χείρων ἐγένετο, καὶ τοσοῦτον τῷ πηλῷ συνεσχέθη, ὡς μὴ δυνηθῆναι ἐμβλέψαι πρὸς τὰς τῆς ἀληθείας αὐγὰς, μηδὲ ὑπὲρ τὰ κάτω γενέσθαι γεγονὼς ἄνωθεν καὶ πρὸς τὰ ἄνω καλούμενος, ἄθλιος οὗτος ἐμοὶ τῆς τυφλώσεως, κἂν εὐροῇ τοῖς ἐνταῦθα, καὶ τούτῳ πλέον, ὅσῳπερ ἂν μᾶλλον ὑπὸ τῆς εὐροίας παίζηται, καὶ πείθηται ἄλλο τι καλὸν νομίζειν πρὸ τοῦ ὄντως καλοῦ, πονηρὸν πονηρᾶς δόξης καρπὸν δρεπόμενος, ἢ ζόφον κατακλεισθῆναι, ἢ ὡς πῦρ ἰδεῖν, ὃν ὡς φῶς οὐκ ἐγνώρισε. ταῦτα ὀλίγοις μὲν ἐφιλοσοφήθη καὶ τῶν νῦν καὶ τῶν πάλαι· (ὀλίγοι γὰρ οἱ τοῦ Θεοῦ, εἰ καὶ πάντες πλάσματα) Νομοθέταις, Στρατηγοῖς, Ἱερεῦσι, Προφήταις, Εὐαγγελισταῖς, Ἀποστόλοις, Ποιμέσι, Διδασκάλοις, παντὶ πνευματικῷ πληρώματι καὶ συστήματι, ἐν δὲ τοῖς πᾶσι, καὶ τῷ νῦν ἐπαινουμένῳ. τίνας δὴ λέγω τούτους; οἷον τὸν Ἐνὼχ ἐκεῖνον, τὸν Νῶε, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακὼβ, τοὺς δώδεκα Πατριάρχας, τόν τε Μωϋσέα, τὸν Ἀαρὼν, τὸν Ἰησοῦν, τοὺς Κριτὰς, τὸν Δαβὶδ, τὸν Σολομῶντα μέχρι τινὸς, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τοὺς πρὸ τῆς αἰχμαλωσίας Προφήτας, τοὺς μετὰ τὴν αἰχμαλωσίαν. καὶ τὰ τελευταῖα δὴ ταῦτα τῇ τάξει ἀλλὰ πρῶτα τῇ ἀληθείᾳ, ὅσα περὶ τὴν Χριστοῦ σάρκωσιν, ἤτοι πρόσληψιν, τὸν πρὸ τοῦ φωτὸς λύχνον, τὴν πρὸ τοῦ Λόγου φωνὴν, τὸν πρὸ τοῦ μεσίτου μεσίτην, μεσίτην παλαιᾶς διαθήκης καὶ νέας, Ἰωάννην τὸν πάνυ, τοὺς Χριστοῦ μαθητὰς, τοὺς μετὰ Χριστὸν, ἢ λαοῦ προκαθεσθέντας, ἢ διὰ λόγου φανερωθέντας, ἢ διὰ σημείων γνωρισθέντας, ἢ τελειωθέντας δι᾽ αἵματος. τούτων Ἀθανάσιος τοῖς μὲν ἡμιλλήθη, τῶν δὲ μικρὸν ἀπελείφθη. ἔστι δὲ οὓς

ὑπερέ-

ὑπερέχων, εἰ μὴ τολμηρὸν εἰπεῖν, καὶ τῶν μὲν, τὸν λόγον, τῶν δὲ, τὴν πρᾶξιν, τῶν δὲ, τὸ πρᾶον, τῶν δὲ, τὸν ζῆλον, τῶν δὲ, τοὺς κινδύνους, τῶν δὲ, τὰ πλείω, τῶν δὲ, ἅπαντα μιμησάμενος. καὶ ἄλλο ἀπ' ἄλλου λαβὼν, ὥσπερ οἱ τὰς μορφὰς μεθ' ὑπερβολῆς γράφοντες, καὶ εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν συναγαγὼν, ἓν ἀρετῆς εἶδος ἐκ πάντων ἀπηκριβώσατο. τοὺς μὲν ἐν λόγῳ δεινοὺς τῇ πράξει, τοὺς πρακτικοὺς δὲ, τῷ λόγῳ νικήσας. εἰ βούλει δὲ, λόγῳ μὲν, τοὺς εὐδοκίμους ἐν λόγῳ, πράξει δὲ, τοὺς πρακτικωτάτους ὑπερβαλών. καὶ τοὺς μὲν κατ' ἀμφότερα μέσως ἔχοντας, τῷ περὶ τὸ ἕτερον ὑπερβάλλοντι, τοὺς δὲ καθ' ἕτερον ἄκρους, τοῖς ἀμφοτέροις παραδραμών. καὶ εἰ μέγα τοῖς προλαβοῦσι τὸ παράδειγμα τούτῳ γενέσθαι τῆς ἀρετῆς, οὐχ ἧττον εἰς εὐφημίαν τῷ ἡμετέρῳ καλῷ, τὸ τοῖς μετ' αὐτὸν γενέσθαι παράδειγμα. πάντα μὲν δὴ τὰ ἐκείνου λέγειν τε καὶ θαυμάζειν μακρότερον ἂν εἴη τυχὸν ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου, καὶ ἱστορίας ἔργον, οὐκ εὐφημίας. ἃ καὶ ἰδίᾳ παραδοῦναι γραφῇ παίδευμά τε καὶ ἥδυσμα τοῖς εἰς ὕστερον, εὐχῆς ἔργον ἐμοὶ, ὥσπερ ὃν ἐκεῖνος Ἀντωνίου τοῦ θείου βίον συνέγραψε τοῦ μοναδικοῦ βίου νομοθεσίαν, ἐν πλάσματι διηγήσεως. ὀλίγα δὲ ἐκ πολλῶν τῶν ἐκείνου διεξελθόντες, καὶ ὅσα σχεδιάζει ἡμῖν ἡ μνήμη νῦν ὡς γνωριμώτερα, ἵνα τόν τε ἡμέτερον ἀφοσιωσώμεθα πόθον, καὶ τῇ πανηγύρει τὸ εἰκὸς ἐκπληρώσωμεν, τὰ πλείω δὲ τοῖς εἰδόσι παρήσωμεν. οὐ δὲ γὰρ ἄλλως ὅσιον οὐδὲ ἀσφαλὲς, ἀσεβῶν μὲν βίους τιμᾶσθαι ταῖς μνήμαις, τοὺς δὲ εὐσεβείᾳ διενεγκόντας, σιωπῇ παραπέμψασθαι, καὶ ταῦτα ἐν πόλει, ἣν μόλις ἂν καὶ πολλὰ τῆς ἀρετῆς ὑποδείγματα σώσειεν, ὥσπερ τοὺς ἱππικοὺς, καὶ τὰ θέατρα, οὕτω δὴ καὶ τὰ θεῖα παιζούσαν. Ἐκεῖνος ἐτράφη μὲν εὐθὺς ἐν τοῖς θείοις ἤθεσι καὶ παιδεύμασιν, ὀλίγα τῶν ἐγκυκλίων φιλοσοφήσας, τοῦ μὴ δοκεῖν παντάπασι τῶν τοιούτων ἀπείρως ἔχειν, μηδὲ ἀγνοεῖν ὧν ὑπεριδεῖν ἐδοκίμασεν. οὐ γὰρ ἠνέσχετο τὸ τῆς φύσεως εὐφυὲς καὶ φιλότιμον, ἐν τοῖς ματαίοις ἀσχοληθῆναι, οὐδὲ

σπου-

ἑαυτὸν παθεῖν τῶν ἀθλητῶν τοῖς ἀπείροις, οἳ τὸν ἀέρα πλείω παίοντες ἢ τὰ σώματα, τῶν ἄθλων ἀποτυγχάνουσι. καὶ πᾶσαν μὲν παλαιὰν βίβλον, πᾶσαν δὲ νέαν ἐκμελετήσας, ὡς οὐδεὶς ἕτερος, πλουτεῖ μὲν θεωρίαν, πλουτεῖ δὲ βίου λαμπρότητα, καὶ πλέκει θαυμασίως ἀμφότερα, τὴν χρυσῆν ὄντως σειρὰν καὶ τοῖς πολλοῖς ἄπλοκον, βίῳ μὲν ὁδηγῷ θεωρίας, θεωρίᾳ δὲ σφραγῖδι βίου χρησάμενος. ἀρχή τε γὰρ σοφίας φόβος Κυρίου, οἷόν τι πρῶτον σπάργανον. καὶ σοφία τὸν φόβον ὑπερβᾶσα, καὶ εἰς τὴν ἀγάπην ἀναβιβάσασα, Θεοῦ φίλους ἡμᾶς, καὶ υἱοὺς ἀντὶ δούλων ἐργάζεται. τραφεὶς δὲ οὕτω καὶ παιδευθείς, ὡς ἔδει γε καὶ νῦν τοὺς λαοῦ προστήσεσθαι μέλλοντας, καὶ τὸ μέγα Χριστοῦ σῶμα μεταχειρίζεσθαι κατὰ τὴν μεγάλην τοῦ Θεοῦ βουλήν τε καὶ πρόγνωσιν, ἣ πόρρωθεν καταβάλλεται τῶν μεγάλων πραγμάτων τὰς ὑποθέσεις, τῷ μεγάλῳ βήματι τούτῳ ἐγκαταλέγεται, καὶ τῶν ἐγγιζόντων εἷς τῷ ἐγγίζοντι Θεῷ γίνεται, καὶ τῆς ἱερᾶς ἀξιοῦται στάσεώς τε καὶ τάξεως, καὶ πᾶσαν τὴν τῶν βαθμῶν ἀκολουθίαν διεξελθών, ἵνα τὰ ἐν μέσῳ συντέμω, τὴν τοῦ λαοῦ προεδρίαν πιστεύεται, ταὐτὸν δὲ εἰπεῖν, τῆς οἰκουμένης πάσης ἐπιστασίαν. καὶ οὐκ ἔχω λέγειν πότερον ἀρετῆς ἆθλον, ἢ τῆς Ἐκκλησίας πηγὴν καὶ ζωὴν τὴν ἱερωσύνην λαμβάνει. ἔδει γὰρ ἐκλείπουσαν ταύτην τῷ δίψει τῆς ἀληθείας, ὥσπερ τὸν Ἰσμαὴλ ποτισθῆναι, ἢ ὥσπερ τὸν Ἠλίαν ἐκ τοῦ χειμάῤῥου, κατεψυγμένης ἀνομβρίᾳ τῆς γῆς, ἀναψύξαι· καὶ μικρὰ ἀναπνεύσασαν ἀναζωοποιηθῆναι, καὶ σπέρμα τῷ Ἰσραὴλ ὑπολειφθῆναι, ἵνα μὴ γενώμεθα ὡς Σόδομα καὶ Γόμοῤῥα, ὧν περιβόητος μὲν ἡ κακία, περιβοητοτέρα δὲ ἡ ἀπώλεια, πυρὶ καὶ θείῳ κατακαυθέντων. διὰ τοῦτο ἠγέρθη κέρας σωτηρίας ἡμῖν, ἤδη κειμένοις, καὶ λίθος ἀκρογωνιαῖος συνδέων ἑαυτῷ τε καὶ ἀλλήλοις ἡμᾶς ἐνεβλήθη κατὰ καιρόν, ἢ πῦρ καθαρτήριον τῆς φαύλης ὕλης καὶ μοχθηρᾶς, ἢ πτύον γεωργικόν, ᾧ τὸ κοῦφον τῶν δογμάτων καὶ τὸ βαρὺ διακρίνεται, ἢ μάχαιρα τὰς τῆς κακίας ῥίζας ἐκτέμνουσα. καὶ ὁ λόγος εὑρίσκει τὸν

ἑαυ-

ἑαυτοῦ σύμμαχον, καὶ τὸ Πνεῦμα καταλαμβάνει τὸν ὑπὲρ αὐτοῦ πνεύσοντα. οὕτω μὲν οὖν καὶ διὰ ταῦτα, ψήφῳ τοῦ λαοῦ παντὸς, οὐ κατὰ τὸν ὕστερον νικήσαντα πονηρὸν τύπον, οὐ δὲ φονικῶς τε καὶ τυραννικῶς, ἀλλ' Ἀποστολικῶς τε καὶ πνευματικῶς ἐπὶ τὸν Μάρκου θρόνον ἀνάγεται, οὐχ ἧττον τῆς εὐσεβείας, ἢ προεδρίας ἐκείνου διάδοχος. τῇ μὲν γὰρ πολλοστὸς ἀπ' ἐκείνου, τῇ δὲ εὐθὺς μετ' ἐκεῖνον εὑρίσκεται. ἣν δὴ καὶ κυρίως ὑποληπτέον διαδοχήν. τὸ μὲν γὰρ ὁμόγνωμον, καὶ ὁμόθρονον. τὸ δὲ ἀντίδοξον, καὶ ἀντίθρονον. καὶ ἡ μὲν, προσηγορίαν, ἡ δὲ, ἀλήθειαν ἔχει διαδοχῆς. οὐ γὰρ ὁ βιασάμενος, ἀλλ' ὁ βιασθεὶς, διάδοχος. οὐδ' ὁ παρανομήσας, ἀλλ' ὁ προβληθεὶς, ἔννομος, οὐ δὲ ὁ τἀναντία δοξάζων, ἀλλ' ὁ τῆς αὐτῆς πίστεως. εἰ μὴ οὕτω τις λέγοι διάδοχον, ὡς νόσον ὑγιείας, καὶ φωτὸς σκότος, καὶ ζάλην γαλήνης, καὶ συνέσεως ἔκστασιν. ἐπεὶ δὲ οὕτω προβάλλεται, οὕτω καὶ τὴν ἀρχὴν διατίθεται. οὐ γὰρ ὁμοῦ τε καταλαμβάνει τὸν θρόνον, ὥσπερ οἱ τυραννίδα τινὰ, ἢ κληρονομίαν παράδοξον ἁρπάσαντες, καὶ ὑβρίζει διὰ τὸν κόρον· ταῦτα γὰρ τῶν νόθων καὶ παρεγγράπτων Ἱερέων ἐστὶ, καὶ τοῦ ἐπαγγέλματος ἀναξίων. οἳ μηδὲν τῇ Ἱερωσύνῃ προεισενεγκόντες, μηδὲ τοῦ καλοῦ προταλαιπωρήσαντες, ὁμοῦ τε Μαθηταὶ καὶ Διδάσκαλοι τῆς εὐσεβείας ἀναδείκνυνται, καὶ πρὶν καθαρθῆναι καθαίρουσι· χθὲς Ἱερόσυλοι, καὶ σήμερον Ἱερεῖς, χθὲς τῶν Ἁγίων ἔξω, καὶ μυσταγωγοὶ σήμερον· παλαιοὶ τὴν κακίαν, καὶ σχέδιοι τὴν εὐσέβειαν. ὃ ἔργον χάριτος ἀνθρωπίνης, οὐ τῆς τοῦ Πνεύματος. οἳ ὅταν πάντα διεξέλθωσι βιαζόμενοι, τελευταῖον τυραννοῦσι καὶ τὴν εὐσέβειαν. ὧν οὐχ ὁ τρόπος, τὸν βαθμὸν, ὁ βαθμὸς δὲ, τὸν τρόπον πιστεύεται, παρὰ πολὺ τῆς τάξεως ἐναλλαττομένης· οἳ πλείους ὑπὲρ ἑαυτῶν, ἢ τῶν τοῦ λαοῦ ἀγνοημάτων τὰς θυσίας ὀφείλουσι· καὶ πάντως τῶν δύο τὸ ἕτερον ἁμαρτάνουσιν, ἢ τῷ δεῖσθαι συγγνώμης ἅμα συγγινώσκοντες, ὡς ἂν μήτε ἀνακόπτοιτο κακία καὶ διδάσκοιτο, ἢ τῇ τραχύτητι τῆς ἀρχῆς, τὰ ἑαυτῶν συγκαλύπτοντες, ὧν οὐδέτε-

φον ἐκεῖνος, ἀλλ' ἦν ὑψηλὸς μὲν τοῖς ἔργοις, ταπεινὸς δὲ τῷ φρονήματι· καὶ τὴν μὲν ἀρετὴν ἀπρόσιτος, τὴν ἐντυχίαν δὲ καὶ λίαν εὐπρόσιτος. πρᾶος, ἀόργητος, συμπαθής, ἡδὺς τὸν λόγον, ἡδίων τὸν τρόπον, Ἀγγελικὸς τὸ εἶδος, ἀγγελικώτερος τὴν διάνοιαν· ἐπιτιμῆσαι γαληνός, ἐπαινέσαι παιδευτικός, καὶ μηδέτερον τῶν καλῶν τῇ ἀμετρίᾳ λυμήνασθαι, ἀλλὰ ποιήσας καὶ τὴν ἐπιτίμησιν πατρικήν, καὶ τὸν ἔπαινον ἀρχικόν, μήτε τὸ ἁπαλὸν ἔκλυτον, μήτε στύφον τὸ αὐστηρόν· ἀλλὰ τὸ μὲν ἐπιείκειαν, τὸ δὲ φρόνησιν, καὶ φιλοσοφίαν ἀμφότερα· ἐλάχιστα μὲν λόγου διὰ τὸν τρόπον δεόμενος ἀρκοῦντα πρὸς παιδαγωγίαν. ἐλάχιστα δὲ ῥάβδου διὰ τὸν λόγον, ἔτι δὲ ἐλάττω τομῆς, διὰ τὴν ῥάβδον μετρίως πλήττουσαν. τί ἂν ὑμῖν ἀναζωγραφοίην τὸν ἄνδρα; Παῦλος προλαβὼν ἔγραψε, τοῦτο μέν, ἐν οἷς τὸν Ἀρχιερέα τὸν μέγαν τὸν διεληλυθότα τοὺς Οὐρανοὺς ὑμνεῖ (τολμήσει γάρ μοι καὶ μέχρι τούτων ὁ λόγος, ἐπειδὴ Χριστοὺς οἶδε, τοὺς ζῶντας κατὰ Χριστόν.) τοῦτο δέ, ἐν οἷς Τιμοθέῳ, πρὸς αὐτὸν γράφων, νομοθετεῖ, τυπῶν τῷ λόγῳ τὸν Ἐπισκοπῆς προστησόμενον. εἰ γὰρ ὡς κανόνα τὸν νόμον προσαρμοσθείης τῷ ταῦτα ἐπαινουμένῳ, γνώσῃ σαφῶς τὴν εὐθύτητα· δεῦρο δὴ συμπανηγυρίσατέ μοι, ἐπὶ τὸν λόγον κάμνοντι, καὶ τὰ πλείω μὲν παρεξέχειν ἐθέλοντι, ἄλλο τε δὲ ὑπ' ἄλλου κατεχομένῳ, καὶ οὐκ ἔχοντι τὸ νικῶν εὑρεῖν, ὥσπερ ἐν σώματι πανταχόθεν ἴσῳ καὶ καλῷ. ἀεὶ γάρ μοι τὸ προσπεσὸν, κάλλιον φαίνεται, καὶ τοῦτο συναρπάζει τὸν λόγον. δεῦρο οὖν μοι διέλεσθε τὰ ἐκείνου καλά, ὅσοι τῶν ἐκείνου ἐπαινέται καὶ μάρτυρες, καὶ ἀγῶνα καλὸν ἀγωνίσασθαι πρὸς ἀλλήλους ἄνδρες ὁμοῦ καὶ γυναῖκες, νεανίσκοι καὶ Παρθένοι, Πρεσβῦται μετὰ νεωτέρων, Ἱερεῖς καὶ λαός, οἱ μοναδικοὶ καὶ μιγάδες, οἱ τῆς ἁπλότητος καὶ τῆς εὐσεβείας, ὅσοι τῆς θεωρίας, καὶ ὅσοι τῆς πράξεως. ὁ μὲν ἐπαινείτω τὸ ἐν νηστείαις καὶ προσευχαῖς οἷον ἀσώματόν τε καὶ ἄϋλον· ὁ δὲ τὸ ἐν ἀγρυπνίαις τε καὶ ψαλμῳδίαις εὔτονόν τε καὶ ἀήττητον. ἄλλος τὸ ἐν προστασίᾳ

τῶν

τῶν δεομένων· ἄλλος τὴν πρὸς τὸ ὑπερέχον ἀντιτυπίαν, ἢ πρὸς τὸ ταπεινὸν συγκατάβασιν· αἱ Παρθένοι, τὸν νυμφαγωγόν, αἱ ὑπὸ ζυγόν, τὸν σωφρονιστήν· οἱ τῆς ἐρημίας, τὸν πτερωτήν· οἱ τῆς ἐπιμιξίας, τὸν νομοθέτην· οἱ τῆς ἁπλότητος, τὸν ὁδηγόν· οἱ τῆς θεωρίας, τὸν θεολόγον· οἱ ἐν εὐθυμίαις, τὸν χαλινόν· οἱ ἐν συμφοραῖς, τὴν παράκλησιν· τὴν βακτηρίαν, ἡ πολιά· τὴν παιδαγωγίαν, ἡ νεότης· ἡ πενία, τὸν πορίστην. ἡ εὐπορία, τὸν οἰκονόμον. δοκοῦσί μοι καὶ χῆραι τὸν προστάτην ἐπαινέσεσθαι, καὶ ὀρφανοὶ τὸν πατέρα, καὶ πτωχοὶ τὸν φιλόπτωχον, καὶ τὸν φιλόξενον οἱ ξένοι, καὶ ἀδελφοὶ τὸν φιλάδελφον. οἱ νοσοῦντες, τὸν ἰατρόν, ἣν βούλει νόσον καὶ ἰατρείαν· οἱ ὑγιαίνοντες, τὸν φύλακα τῆς ὑγιείας, οἱ πάντες τὸν πᾶσι πάντα γινόμενον, ἵνα κερδάνῃ τοὺς πάντας, ἢ πλείονας. ταῦτα μὲν οὖν, ὅπερ εἶπον, ἄλλοι θαυμαζέτωσάν τε καὶ ὑμνείτωσαν, οἷς σχολὴ τὰ μικρὰ τῶν ἐκείνου θαυμάζειν. μικρὰ δὲ ὅταν εἴπω, αὐτὸν ἑαυτοῦ συγκρίνων λέγω, καὶ τὰ ἐκείνου τοῖς ἐκείνου παρεξετάζων. οὐ γὰρ δεδόξασται τὸ δεδοξασμένον, κἂν ᾖ λίαν λαμπρόν, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης, ὥσπερ ἠκούσαμεν. ἐπεὶ καὶ ὀλίγα τῶν τούτου, ἑτέροις αὐτάρκη πρὸς εὐδοκίμησιν. ἡμῖν δέ, οὐ γὰρ ἀνεκτὸν καταλείπουσι τὸν λόγον, διακονεῖν τοῖς ἐλάττοσιν, ἐπ' αὐτὸ τὸ κυριώτατον τῶν ἐκείνου τρεπτέον. Θεοῦ δὲ ἔργον, ὑπὲρ οὗ καὶ ὁ λόγος, εἰπεῖν τι τῆς ἐκείνου μεγαληγορίας καὶ ψυχῆς ἄξιον. Ἦν ὅτε ἤκμαζε τὰ ἡμέτερα, καὶ καλῶς εἶχεν, ἡνίκα τὸ μὲν περιττὸν τοῦτο καὶ κατεγλωττισμένον τῆς θεολογίας καὶ ἔντεχνον, οὐδὲ πάροδον εἶχεν εἰς τὰς θείας αὐλάς. ἀλλὰ ταὐτὸν ἦν, ψήφοις τε παίζειν τὴν ὄψιν κλεπτούσαις τῷ τάχει τῆς μεταθέσεως, ἢ κατορχεῖσθαι τῶν θεατῶν παντοίοις καὶ ἀνδρογύνοις λυγίσμασι, καὶ περὶ Θεοῦ λέγειν τι καὶ ἀκούειν καινότερον καὶ περιεργότερον. τὸ δὲ ἁπλοῦν τε καὶ εὐγενὲς τοῦ λόγου εὐσέβεια ἐνομίζετο. ἀφ' οὗ δὲ Σέξτοι καὶ Πύρρωνες, καὶ ἡ ἀντίθετος γλῶσσα ὥσπερ τι νόσημα δεινὸν καὶ κακόηθες ταῖς Ἐκκλησίαις ἡμῶν εἰσεφθά-

ἐφθάρη, καὶ ἡ φλυαρία παίδευσις ἔδοξε, καὶ ὅ φησι περὶ Ἀθη-
ναίων ἡ βίβλος τῶν πράξεων, εἰς οὐδὲν ἄλλο εὐκαιροῦμεν ἢ λέ-
γειν τι καὶ ἀκούειν ἀνόνητον. ὢ τίς Ἱερεμίας ὀδύρεται τὴν ἡμε-
τέραν σύγχυσιν καὶ σκοτόμαιναν, ὁ μόνος εἰδὼς ἐξισοῦν θρήνους
πάθεσι. ταύτης τῆς λύσσης ἤρξατο μὲν Ἄρειος ὁ τῆς μανίας
ἐπώνυμος, ὃς καὶ δίκην ἔδωκεν ἀκολάστου γλώσσης, τὴν ἐν
βεβήλοις τόποις κατάλυσιν, δι' εὐχῆς ἔργον οὐ νόσου γενόμενος, καὶ
τὴν Ἰούδα ῥῆξιν ὑποστάς, ἐπ' ἴσῃ προδοσίᾳ τοῦ Λόγου. διαδε-
ξάμενοι δὲ ἄλλοι τὴν νόσον, τέχνην ἀσεβείας ἐδημιούργησαν,
οἳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράψαντες, τὸ γεννητὸν, οὐ μό-
νον δὲ ἀλλὰ καὶ τὸ ἐκπορευτὸν ἐξώθησαν τῆς θεότητος, ὀνόμα-
τος κοινωνίᾳ μόνον τὴν Τριάδα τιμήσαντες, ἢ μηδὲ τοῦτο αὐ-
τῇ τηρήσαντες. ἀλλ' οὐχ ὁ μακάριος ἐκεῖνος καὶ ὄντως ἄνθρω-
πος τοῦ Θεοῦ, καὶ μεγάλη σάλπιγξ τῆς ἀληθείας. ἀλλ' εἰδὼς
τὸ μὲν εἰς ἀριθμὸν ἓν τὰ τρία συστέλλειν, ἀθεότητος ὂν καὶ
τῆς Σαβελλίου καινοτομίας, ὃς καὶ πρῶτος θεότητος συστολὴν
ἐπενόησε, τὸ δὲ τὰ τρία διαιρεῖν φύσεσι, κατατομὴν θεότητος
ἔκφυλον, καὶ τὸ ἓν καλῶς ἐτήρησε. θεότητι γάρ. καὶ τὰ τρία εὐ-
σεβῶς ἐδίδαξεν, ἰδιότησι γάρ. οὔτε τῷ ἑνὶ συγχέας, οὔτε τοῖς
τρισὶ διαστήσας, ἀλλ' ἐν ὅροις μείνας τῆς εὐσεβείας, τῷ φυγεῖν
τὴν ἄμετρον ἐπὶ θάτερα κλίσιν τε καὶ ἀντίθεσιν. καὶ διὰ τοῦτο
πρῶτον μὲν ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ ταύτῃ Συνόδῳ, καὶ τῷ
ἀριθμῷ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ λογάδων, οὓς τὸ Πνεῦμα
τὸ Ἅγιον εἰς ἓν ἤγαγεν, ὅσον ἦν ἐπ' αὐτῷ, τὴν νόσον ἔστησεν·
οὔπω μὲν τεταγμένος ἐν Ἐπισκόποις, τὰ πρῶτα δὲ τεταγμέ-
νος τῶν συνεληλυθότων. καὶ γὰρ ἦν ἀρετῆς οὐχ ἧττον, ἢ βαθμῶν
ἡ προτίμησις. ἔπειτα τοῦ κακοῦ ῥιπισθέντος ἤδη ταῖς αὔραις τοῦ
πονηροῦ, καὶ τὸ πλεῖον ἐπιλαμβάνοντος, ἐνταῦθά μοι καὶ τὰ δρά-
ματα, ὧν πᾶσα μικροῦ πλήρης γῆ τε καὶ θάλασσα. πολὺς μὲν
περὶ αὐτὸν ὁ πόλεμος, ὡς γενναῖον προστάτην τοῦ Λόγου.
πρὸς γὰρ τὸ ἀντιτεῖνον μάλιστα ἡ παράταξις, καὶ ἄλλοθεν ἄλλη

τῶν

τῶν δεινῶν ἐπιῤῥέον. εὑρετικὸν γὰρ κακῶν ἡ ἀσέβεια, καὶ λίαν τολμηρὸν εἰς ἐγχείρησιν. πῶς δὲ ἀνθρώπων ἔμελλον φείδεσθαι, οἱ θεότητος μὴ φεισάμενοι; μία δὲ προσβολῶν, καὶ χαλεπωτάτη· συνεισφέρω τι καὶ αὐτὸς τῷ δράματι. ἀλλά μοι παραιτείσθω τὸ φίλον ἔδαφος ἡ Πατρίς. οὐ γὰρ τῆς ἐνεγκούσης, ἀλλὰ τῶν προειλομένων ἡ πονηρία. ἡ μὲν γὰρ ἱερά τε καὶ πᾶσιν ἐπ' εὐσεβείᾳ γνώριμος. οἱ δὲ ἀνάξιοι τῆς τεκούσης αὐτοὺς Ἐκκλησίας. φύεσθαι δὲ καὶ ἀμπέλῳ βάτον ἠκούσατε, καὶ Ἰούδας τῶν Μαθητῶν εἷς ὁ προδότης. εἰσὶ μὲν οὖν οἱ μηδὲ τὸν ὁμώνυμον ἐμοὶ, τῆς αἰτίας ἀφιᾶσιν. ὃς κατὰ παιδεύσεως ἔρωτα τῇ Ἀλεξανδρέων ἐπιδημῶν τότε πόλει, καὶ πάσης παρ' αὐτῇ τυχὼν δεξιώσεως ἴσα καὶ παίδων ὁ τιμιώτατος, καὶ τῶν τὰ μέγιστα πιστευομένων εἷς ὢν, ἐπανάστασιν, ὥς φασι, βουλεύεται τῷ Πατρὶ καὶ προστάτῃ. καὶ ἦν τὸ μὲν δρᾶμα ἑτέρων, ἡ δὲ χεὶρ Ἀβεσαλὼμ μετ' αὐτῶν, ὡς ὁ λόγος. εἴ τις ὑμῶν οἶδε τὴν χεῖρα ἣν ὁ ἅγιος κατεψεύσθη, καὶ τὸν ζῶντα νεκρὸν, καὶ τὴν ἄδικον ἐξορίαν, οἶδεν ὃ λέγω. πλὴν τούτου μὲν ἑκὼν ἐπιλήσομαι· καὶ γὰρ οὕτως ἔχω ἐν τοῖς ἀμφιβόλοις, νεύειν χρῆναι πρὸς τὸ φιλάνθρωπον, καὶ ἀπογινώσκειν μᾶλλον, ἢ καταγινώσκειν τῶν ὑπαιτίων. ὁ μὲν γὰρ κακὸς, τάχιστ' ἂν καταγνοίη καὶ τοῦ ἀγαθοῦ, ὁ ἀγαθὸς δὲ οὐδὲ τοῦ κακοῦ ῥᾳδίως. τὸ γὰρ εἰς κακίαν οὐχ ἕτοιμον, οὐδ' εἰς ὑπόνοιαν εὐχερές. ὃ δὲ οὐκ ἔτι λόγος, ἀλλ' ἔργον ἐστὶν, οὐδὲ ὑπόνοιά τις ἀνεξέταστος, ἀλλὰ πίστις κεκηρυγμένη, τέρας τι Καππαδόκιον, ἐκ τῶν ἐσχατιῶν τῶν ἡμετέρων ὁρμώμενον, πονηρὸν τὸ γένος, πονηρότερον τὴν διάνοιαν. οὐδὲ παντελῶς ἐλεύθερον, ἀλλ' ἐπίμικτον, οἷον τὸ τῶν ἡμιόνων γινώσκομεν· τὰ μὲν πρῶτα τραπέζης ἀλλοτρίας δοῦλον καὶ μάζης ὤνιον, πάντα καὶ ποιεῖν καὶ λέγειν ἐπὶ τῇ γαστρὶ μεμαθηκὸς, τὰ τελευταῖα δὲ καὶ πολιτείᾳ παρεισφθαρὲν, καὶ πιστευθὲν ταύτης τὰ ἔσχατα, ὅσον ὑείων κρεῶν ὑποδοχεῖα γενέσθαι, οἷς τὸ στρατιωτικὸν τρέφεται. εἶτα κακὸν ἐπὶ τὴν πίστιν γενόμενον, καὶ τῇ γαστρὶ πο-

λιτευσάμενον, ἐπειδὴ τὸ σῶμα ὑπελείπετο μόνον, δρασμὸν ἐννοεῖ. καὶ ἄλλην ἐξ ἄλλης ἀμείβων χώραν καὶ πόλιν (οἷα τὰ τῶν φυγάδων) τέλος ἐπὶ κακῷ τῷ κοινῷ τῆς Ἐκκλησίας, οἷόν τις Αἰγυπτιακὴ πληγή, τὴν Ἀλεξανδρέων καταλαμβάνει. ἐνταῦθα τῆς ἄλης ἵσταται, καὶ τῆς κακουργίας ἄρχεται. καὶ ἦν τἆλλα μὲν οὐδενὸς ἄξιος, οὐ λόγων ἐλευθερίων μετεσχηκώς, οὐ τὴν συνουσίαν στωμύλος, οὐκ εὐλαβείας σχῆμα γοῦν τι καὶ πλάσμα καινὸν προκείμενος, κακουργῆσαι δὲ καὶ συγχέαι πράγματα, πάντων δεινότατος. ἴστε καὶ διηγεῖσθε πάντες, οἷα κατὰ τῶν Ἁγίων νεανιεύεται. παραδίδονται γὰρ καὶ δίκαιοι πολλάκις εἰς χεῖρας ἀσεβῶν, οὐχ ἵνα ἐκεῖνοι τιμηθῶσιν, ἀλλ' ἵνα οὗτοι δοκιμασθῶσι· καὶ φαῦλοι μὲν ἐν θανάτῳ ἐξαισίῳ κατὰ τὸ γεγραμμένον, καταγελῶνται δὲ ὅμως πρὸς τὸ παρὸν ἀσεβεῖς, ἕως ἡ χρηστότης τοῦ Θεοῦ κρύπτηται, καὶ τὰ μεγάλα ταμιεῖα τῶν εἰς ὕστερον ἑκατέροις ἀποκειμένων, ἡνίκα καὶ λόγος, καὶ πρᾶξις, καὶ διανόημα τοῖς δικαίοις σταθμοῖς τοῦ Θεοῦ ταλαντεύεται, ὅταν ἀναστῇ κρῖναι τὴν γῆν, τὴν βουλὴν καὶ τὰ ἔργα συνάγων, καὶ γυμνῶν τὰ ἐσφραγισμένα παρ' αὐτῷ καὶ σωζόμενα. ταῦτα πειθέτω σε καὶ λέγων καὶ πάσχων Ἰώβ, ὃς ἦν ἄνθρωπος ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβής, καὶ ὅσα μεμαρτύρηται. τοσαύταις δὲ πλήττεται παρὰ τοῦ ἐξῃτηκότος προσβολαῖς, καὶ οὕτως ἀλλεπαλλήλοις καὶ φιλοτίμοις, ὥστε πολλῶν πολλάκις ἐκ τοῦ παντὸς αἰῶνος κακοπαθησάντων, τῶν δὲ ὡς εἰκὸς καὶ ταλαιπωρησάντων, μηδένα εἶναι ταῖς ἐκείνου παραβαλεῖν συμφοραῖς. οὐ γὰρ μόνον χρήματα, κτήματα, εὐτεκνίαν, πολυτεκνίαν, ἃ πᾶσιν ἀνθρώποις διὰ περισπούδαστα, οὐ ταῦτα ζημιοῦται μόνον, ὡς μηδὲ θρήνοις γενέσθαι χώραν διὰ τὸ συνεχὲς τῶν κακῶν, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα τελευταῖον πληγεὶς πληγὴν ἀνίατόν τε καὶ δυσθεώρητον. εἶχε μὲν προσθήκην τῆς συμφορᾶς τὴν γυναῖκα, παραμυθουμένην τοῖς χείροσι (πλῆξαι γὰρ ἐφιλονείκει, καὶ τὴν ψυχὴν πρὸς τῷ σώματι) εἶχε δὲ καὶ τῶν φίλων τοὺς γνησιωτάτους παρακλήτο-

ρας κακῶν, ὡς αὐτός φησιν, καὶ θεραπευτάς. οἳ τὸ μὲν πάθος ἑώρων, τὸ δὲ τοῦ πάθους ἀγνοοῦντες μυστήριον, καὶ βάσανον ἀρετῆς, ἀλλὰ κακίας ἔκπραξιν τὴν πληγὴν ὑπελάμβανον. καὶ οὐκ ἐνόμιζον μόνον, ἀλλ' οὐδὲ ᾐσχύνοντο τὸ δεινὸν ὀνειδίζοντες, ὁπότε καὶ εἰ διὰ κακίαν ἔπασχε, σοφίζεσθαι τὸ λυποῦν ἔδει παραμυθίας ῥήμασιν. οὕτω μὲν οὖν ὁ Ἰὼβ καὶ τὰ πρῶτα τῆς περὶ αὐτὸν πραγματείας· ἀγὼν γὰρ ἀρετῆς ἦν καὶ φθόνου, τοῦ μὲν ὅπως τοῦ καλοῦ κρατήσῃ φιλονεικοῦντος, τῆς δὲ ὅπως ἀήττητος διαμείνῃ πάντα φερούσης. καὶ τοῦ μὲν, ὅπως εὐοδώσῃ κακίαν ἀγωνιζομένου διὰ τῆς τῶν κατορθούντων κολάσεως, τῆς δὲ, ὅπως κατάσχῃ τοὺς ἀγαθοὺς, κἂν ταῖς συμφοραῖς τὸ πλέον ἔχοντας. τί δὲ ὁ πρὸς αὐτὸν χρηματίζων διὰ λαίλαπος καὶ νεφῶν; ὁ βραδὺς εἰς κόλασιν καὶ ταχὺς εἰς ἀντίληψιν; ὁ μὴ παντελῶς ἐπαφιεὶς ῥάβδον ἁμαρτωλῶν κλήρῳ δικαίων, ἵνα μὴ κακίαν δίκαιοι μάθωσιν; ἐπὶ τέλει τῶν ἄθλων ἀναγορεύει τὸν ἀθλητὴν λαμπρῷ τῷ κηρύγματι, καὶ γυμνοῖ τῆς πληγῆς τὸ ἀπόρρητον. οἴει με ἄλλως σοι κεχρηματικέναι λέγων, ἵνα ἀναφανῇς δίκαιος; τοῦτο τῶν τραυμάτων τὸ φάρμακον, οὗτος τῆς ἀγωνίας ὁ στέφανος, αὕτη τῆς ὑπομονῆς ἡ ἀντίδοσις· τὰ γὰρ ἑξῆς ἴσως καὶ μικρὰ, κἂν μεγάλα τισὶ δοκῇ, καὶ μικρῶν ἕνεκεν οἰκονομηθέντα, καὶ εἰ διπλάσιον τῶν ἀφῃρημένων ἀντιλαμβάνει. ἐκεῖνο οὐ δὲ ἐνταῦθα θαυμαστὸν, εἰ Ἀθανασίου πλέονα ἔχει Γεώργιος· ἀλλ' ἐκεῖνο θαυμασιώτερον, εἰ μὴ ἐπυρώθη ταῖς ἐπηρείαις ὁ δίκαιος, οὐ δὲ τοῦτο θαυμαστὸν ἄγαν, ἀλλ' ἐπὶ πλέον αἱ φλόγες ἤρχοντο. ἐντεῦθεν ὁ μὲν ἦν ἐκ ποδῶν, καὶ τὴν φυγαδείαν ὡς κάλλιστα διατίθεται· τοῖς γὰρ ἱεροῖς καὶ θείοις τῶν κατ' Αἴγυπτον φροντιστηρίοις φέρων ἑαυτὸν δίδωσιν. οἳ Κόσμου χωρίζοντες ἑαυτοὺς, καὶ τὴν ἐρημίαν ἀσπαζόμενοι, ζῶσι Θεῷ πάντων μᾶλλον τῶν στρεφομένων ἐν σώματι. οἱ μὲν τὸν πάντη μοναδικόν τε καὶ ἄμικτον διαθλοῦντες βίον, ἑαυτοῖς μόνοις προσλαλοῦντες καὶ τῷ Θεῷ, καὶ τοῦτο μόνον Κόσμον εἰδότες, ὅσον ἐν τῇ ἐρημίᾳ γνω-

ζῶσιν. οἱ δὲ νόμον ἀγάπης τῇ κοινωνίᾳ στέργοντες, ἐρημικοί τε ὁμοῦ καὶ μιγάδες, τοῖς μὲν ἄλλοις τεθνηκότες ἀνθρώποις καὶ πράγμασιν, ὅσα ἐν μέσῳ περιφέρεται, στροβοῦντά τε καὶ στροβούμενα, καὶ παίζοντα ἡμᾶς ταῖς ἀγχιστρόφοις μεταβολαῖς, ἀλλήλοις δὲ κόσμος ὄντες, καὶ τῇ παραθέσει τὴν ἀρετὴν θήγοντες. τούτοις ὁμιλήσας ὁ μέγας, ὥσπερ τῶν ἄλλων ἁπάντων μεσίτης καὶ διαλλακτὴς ἦν, τὸν εἰρηνοποιήσαντα τῷ αἵματι τὰ διεστῶτα μιμούμενος· οὕτω καὶ τὸν εἰρηνικὸν βίον, τῷ κοινωνικῷ καταλλάττει, δεικνὺς ὅτι ἐστὶ καὶ Ἱερωσύνη φιλόσοφος καὶ φιλοσοφία δεομένη μυσταγωγίας· οὕτω γὰρ ἀμφότερα συνηρμόσατο, καὶ εἰς ἓν ἤγαγε καὶ πρᾶξιν ἡσύχιον, καὶ ἡσυχίαν ἔμπρακτον· ὥστε πεῖσαι τὸ μονάζειν, ἐν τῇ εὐσταθείᾳ τοῦ τρόπου μᾶλλον, ἢ τῇ τοῦ σώματος ἀναχωρήσει χαρακτηρίζεσθαι, καθ' ὃ καὶ Δαβὶδ ὁ μέγας πρακτικώτατός τε ἦν ὁ αὐτὸς καὶ μονώτατος, εἴπερ τὸ κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω, τοῦτο σημαίνειν δοκεῖ, καὶ μέγα πρὸς ἀπόδειξιν τοῦ λόγου καὶ ἀξιόπιστον. διὰ τοῦτο τῶν ἄλλων ἀρετῇ κρατοῦντες, τῆς ἐκείνου διανοίας πλέον ἡττῶντο, ἢ ὅσον ἐκράτουν τῶν ἄλλων, καὶ ὀλίγα πρὸς Ἱερωσύνης τελείωσιν συνεισφέροντες, πλείω πρὸς φιλοσοφίας συντέλειαν ἀντελάμβανον· καὶ τοῦτο ἦν νόμος αὐτοῖς, ὅ, τι ἐκείνῳ ἐδόκει, καὶ τοῦτο ἀπώμοτον πάντων, ὃ μὴ ἐδόκει· καὶ πλάκες Μωσέως αὐτοῖς τὰ ἐκείνου δόγματα, καὶ πλεῖον τὸ σέβας, ἢ παρὰ ἀνθρώποις τοῖς Ἁγίοις ὀφείλεται· οἵ γε καὶ ἡνίκα παρῆσάν τινες ὥσπερ θῆρα τὸν ἅγιον ἀνιχνεύοντες· ἐπειδὴ πανταχοῦ τοῦτον ἀναζητοῦντες οὐχ εὕρισκον, λόγου μὲν οὐδενὸς τοὺς πεμφθέντας ἠξίωσαν, προὔτεινον δὲ τοῖς ξίφεσι τοὺς αὐχένας, ὡς ὑπὲρ Χριστοῦ κινδυνεύοντες, καὶ τὸ παθεῖν τι τῶν ἀνηκέστων ὑπὲρ ἐκείνου, μεγίστην μοῖραν εἰς φιλοσοφίαν νομίζοντες. καὶ πολὺ τῶν μακρῶν νηστειῶν καὶ χαμευνιῶν, καὶ τῆς ἄλλης κακοπαθείας, ἧς ἐκεῖνοι τρυφῶσιν ἀεί, ἐνθεώτερόν τε καὶ ὑψηλότερον. ὁ μὲν οὖν ἐν τούτοις ἦν, καὶ τὸ τοῦ Σολομῶντος ἐπῄνει, καιρὸν εἶναι παντὶ πράγ-

πραγ-

πράγματι φιλοσοφήσαντος, καὶ διὰ τοῦτο ἀπεκρύπτετο μικρὸν ὅσον τὸν τοῦ πολέμου καιρὸν διαφεύγων, ἵνα συναναφανῇ τῷ τῆς εἰρήνης ἥκοντι, ὅπερ οὖν καὶ γίνεται μικρὸν ὕστερον. ὁ δὲ καὶ πολλὴν ἤδη τοῦ κωλύσοντος ἐρημίαν, καταθέει μὲν Αἴγυπτον, ληίζεται δὲ Συρίαν τῷ κράτει τῆς ἀσεβείας, ἐπιλαμβάνεται δὲ καὶ τῆς Ἑῴας ὅσον ἐδύνατο, τὸ ἀρρωστοῦν ἀεὶ προσλαμβάνων, ὥσπερ οἱ χείμαρροι τὰ συῤῥέοντα, καὶ τοῖς κουφοτέροις, ἢ δειλοτέροις ἐπιφυόμενος. οἰκειοῦται δὲ τὴν Βασιλέως ἁπλότητα, οὕτω γὰρ ἐγὼ καλῶ τὴν κουφότητα, αἰδούμενος τὴν εὐλάβειαν· καὶ γὰρ ἦν, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ζῆλον μὲν ἔχων, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, ἐξωνεῖται δὲ τῶν ἐντελεῖ, τοὺς φιλοχρύσους μᾶλλον ἢ φιλοχρίστους (εὐπορία γὰρ ἦν αὐτῷ τὰ τῶν πενήτων, κακῶς δαπανώμενα) καὶ τύπον μάλιστα γυναικώδεις τε καὶ ἀνδράσιν ἀνάνδρους, καὶ ἀμφιβόλους μὲν τὸ γένος, προδήλους δὲ τὴν ἀσέβειαν, οἷς οὐκ οἶδ' ὅπως καὶ ὅθεν οἱ Ῥωμαίων Βασιλεῖς τὰ τῶν γυναικῶν πιστευομένοις, τὰ τῶν ἀνδρῶν ἐγχειρίζουσι· καὶ ταῦτα ἴσχυσεν ὁ τοῦ πονηροῦ θεράπων, ὁ τῶν ζιζανίων σπορεύς, ὁ τοῦ Ἀντιχρίστου πρόδρομος, χρώμενος μὲν ὅσα γλώσσῃ τῶν τότε λογίων ἐν Ἐπισκόποις τῷ πρώτῳ, εἴπερ λόγιον φίλον καλεῖν τὸν οὐχ οὕτως ἀσεβῆ δογματιστήν, ὅσον ἐχθρὸν καὶ φιλόνεικον (τὸ γὰρ ὄνομα ἑκὼν ὑπερβήσομαι) αὐτὸς δὲ ἀντὶ χειρὸς ὢν τῷ συστήματι, καὶ παρασύρων τῷ χρυσῷ τὴν ἀλήθειαν, ὃν δι' εὐσέβειαν συναγόμενον, ὄργανον ἀσεβείας οἱ πονηροὶ πεποίηνται. ταύτης ἀποτέλεσμα τῆς δυναστείας ἡ πρότερον μὲν τὴν τῆς Ἁγίας καὶ καλλιπαρθένου Θέκλας Σελεύκειαν· μετὰ δὲ τοῦτο τὴν μεγαλόπολιν ταύτην καταλαβοῦσα Σύνοδος, ἃς ἐπὶ τοῖς καλλίστοις τέως γνωριζομένας, ἐπὶ τοῖς αἰσχίστοις ὀνομαστὰς ἐποίησεν. εἴτε τὸν Χαλάνης πύργον, ὃς καλῶς τὰς γλώσσας ἐμέρισεν (ὡς ὤφελόν γε κἀκείνας, ἐπὶ κακῷ γὰρ ἡ συμφωνία) εἴτε τὸ Καϊάφα συνέδριον, ᾧ Χριστὸς κατακρίνεται, εἴτε τι ἄλλο τοιοῦτο τὴν Σύνοδον ἐκείνην

ὀνο-

ὀνομαστόν· ἣ πάντα ἀνέτρεψε καὶ συνέχεε, τὸ μὲν εὐσεβὲς δόγμα καὶ παλαιὸν καὶ τῆς Τριάδος συνήγορον καταλύσασα, τῷ βαλεῖν χάρακα καὶ μηχανήμασι κατασεῖσαι τὸ ὁμοούσιον, τῇ δὲ ἀσεβείᾳ θύραν ἀνοίξασα διὰ τῆς τῶν γεγραμμένων μεσότητος· πρόφασιν μὲν αἰδοῖ τῆς γραφῆς καὶ τῆς τῶν ἐγκειμένων ὀνομάτων χρήσεως, τὸ δὲ ἀληθές, τὸν ἄγραφον Ἀρειανισμὸν ἀντεισάγουσα (τὸ γὰρ ὅμοιον κατὰ τὰς γραφάς, τοῖς ἁπλουστέροις δέλεαρ ἦν τῆς ἀσεβείας χαλκῷ προκείμενον) ἡ πρὸς πάντας ὁρῶσα καὶ παριόντας εἰκών, ὁ κοινὸς ἀμφοτέρων τῶν ποδῶν κόθορνος, ἡ κατὰ πάντα ἄνεμον λίκμησις, ἐξουσίαν λαβοῦσα τὴν νεόγραφον κακουργίαν, καὶ τὴν κατὰ τῆς ἀληθείας ἐπίνοιαν. σοφοὶ γὰρ ἐγένοντο εἰς τὸ κακοποιῆσαι, τὸ δὲ καλοποιῆσαι, οὐκ ἔγνωσαν. ἐντεῦθεν ἡ σοφιστικὴ τῶν αἱρετικῶν κατάκρισις, οὓς λόγῳ μὲν ἀπεκήρυξαν, ἵν' ᾖ πιθανὸν αὐτοῖς τὸ ἐπιχείρημα, ἔργῳ δὲ προήγαγον εἰς τὸ ἔμπροσθεν· οὐδὲ ἀσέβειαν ἄμεμψον, ἀλλὰ συγγραφὴν ἄπιστον ἐγκαλέσαντες. ἐντεῦθεν οἱ βέβηλοι τῶν Ὁσίων κριταί, καὶ ἡ καινὴ μίξις, ὄψις δημοσία, καὶ μυστικὰ προβλήματα, καὶ ἡ παράνομος τῶν βεβιωμένων ἐξέτασις, τῶν οἱ μισθούμενοι συκοφάνται, καὶ ἡ ἐπὶ ῥητοῖς κρίσις· καὶ οἱ μὲν ἐξωθούμενοι τῶν θρόνων ἀδίκως, οἱ δὲ ἀντεισαγόμενοι, καὶ τὰ χειρόγραφα τῆς ἀσεβείας ἀπαιτούμενοι, ὥσπερ τι ἄλλο τῶν ἀναγκαίων, καὶ τὸ μέλαν ἕτοιμον, καὶ ὁ συκοφάντης ἐγγύς· ὃ δὴ καὶ ἡμῶν τῶν ἀηττήτων οἱ πλεῖστοι πεπόνθασι, διανοίᾳ μὲν οὐ πεσόντες, γράμματι δὲ ὑπαχθέντες, καὶ εἰς ἓν ἐλθόντες τοῖς πονηροῖς κατ' ἀμφότερα, καὶ τοῦ καπνοῦ γευσάμενοι καὶ μὴ τοῦ πυρὸς μετασχόντες. ὃ πολλάκις ἐδάκρυσα, ὁρῶν τὴν τότε χύσιν τῆς ἀσεβείας, καὶ τὸν νῦν ἐπαναστάντα διωγμὸν τοῦ ὀρθοῦ λόγου παρὰ τῶν προστατῶν τοῦ Λόγου. τῷ ὄντι γὰρ ποιμένες ἠφρονεύσαντο κατὰ τὸ γεγραμμένον· καὶ ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ᾔσχυναν μερίδα ἐπιθυμητήν, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ λέγω, πολλοῖς ἱδρῶσι, καὶ σφαγίοις συνειλεγμένην,

τοῖς

τοῖς πρὸ Χριστοῦ τε καὶ μετὰ Χριστὸν, καὶ αὐτοῖς τοῖς μεγάλοις τοῦ Θεοῦ περὶ ἡμᾶς πάθεσι· πλὴν γὰρ ὀλίγων ἄγαν, καὶ τούτων ὅσοι διὰ σμικρότητα παρερρίφησαν, ἢ δι᾽ ἀρετὴν ἀντέβησαν, οὓς ἔδει σπέρμα καὶ ῥίζαν ὑπολειφθῆναι τῷ Ἰσραὴλ, ἵνα ἀναθάλῃ πάλιν, καὶ ἀναβιώσῃ ταῖς ἐπιρροίαις τοῦ Πνεύματος. πάντες τοῦ καιροῦ γεγόνασι, τοσοῦτον ἀλλήλων διενηνοχότες, ὅσον τοὺς μὲν πρότερον, τοὺς δὲ ὕστερον τοῦτο παθεῖν. καὶ τοὺς μὲν προαγωνιστὰς καὶ προστάτας γενέσθαι τῆς ἀσεβείας, τοὺς δὲ ταχθῆναι τὰ δεύτερα, ἢ φόβῳ κατασεισθέντας, ἢ χρείᾳ δουλωθέντας, ἢ κολακείᾳ δελεασθέντας, ἢ ἀγνοίᾳ κλαπέντας, τὸ μετριώτατον. εἴπερ καὶ τοῦτο αὐτάρκες εἰς ἀπολογίαν τῶν λαοῦ προεστάναι πεπιστευμένων. ὥσπερ γὰρ οὐχ αἱ αὐταὶ λεόντων τε καὶ τῶν ἄλλων ζώων ὁρμαὶ, οὐδὲ ἀνδρῶν, ἢ γυναικῶν, ἢ πρεσβυτέρων, ἢ νεωτέρων, ἀλλ᾽ ἔστι καὶ ἡλικιῶν καὶ γενῶν οὐ μικρὸν τὸ διάφορον, οὕτως οὐδὲ ἀρχόντων, ἢ ἀρχομένων. τοῖς μὲν γὰρ τοῦ λαοῦ τάχα ἂν καὶ συγγνώσκοιμεν τοῦτο πάσχουσιν, οὓς σώζει πολλάκις τὸ ἀβασάνιστον, Διδασκάλῳ δὲ πῶς τοῦτο δώσομεν, ὃς καὶ τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῖ, αἴπερ ἢ μὴ ψευδώνυμος; πῶς γὰρ οὐκ ἄτοπον, Ῥωμαίων μὲν νόμον μηδενὶ ἀγνοεῖν ἐξεῖναι, μηδὲ εἰ σφόδρα ἦ τις ἀγροικίας καὶ ἀμαθέστατος, μηδὲ εἶναι νόμον τὸν βοηθοῦντα τοῖς πραττομένοις δι᾽ ἄγνοιαν, τοὺς δὲ τῆς σωτηρίας ἀγνοεῖν μυσταγωγοὺς, τὰς τῆς σωτηρίας ἀρχὰς, κἂν τἆλλα τυγχάνωσι τῶν ἁπλουστέρων ὄντες, καὶ μὴ βαθεῖς τὴν διάνοιαν; πλὴν ἔστω συγγνώμη τοῖς δι᾽ ἄγνοιαν κατακολουθήσασι. τί δὲ ἂν εἴποις περὶ τῶν ἄλλων, ὅσοι καὶ ἀγχινοίας μεταποιούμενοι, δι᾽ ἃς εἶπον αἰτίας τῶν κρατούντων ἡττήθησαν, καὶ τὴν τῆς εὐσεβείας σκηνὴν ἐπὶ πολὺ παίξαντες, ὡς ἐφκῆντι τῶν ἐλεγχόντων, καὶ κατηνέχθησαν; ἔτι μὲν ἅπαξ τὸν Οὐρανὸν καὶ τὴν γῆν σεισθήσεσθαι τῆς γραφῆς ἀκούω λεγούσης, ὡς δὴ τοῦτο μαθόντων καὶ πρότερον, ὑποδηλουμένης, οἶμαι, τῆς ἐπιφανοῦς τῶν πραγμάτων καινοτομίας, καὶ τὸν τελευταῖον σεισμὸν Παύλῳ

πιστευτέον λέγοντι μὴ ἄλλον εἶναι, ἢ τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν, καὶ τὴν τοῦδε τοῦ παντὸς μεταποίησιν καὶ μετάθεσιν, εἰς τὸ ἀκίνητον καὶ ἀσάλευτον. τὸν δὲ νῦν τοῦτον σεισμὸν οὐδενὸς ἐλάττω τῶν προγεγενημένων ὑπολαμβάνω, καθ᾽ ὃν κινεῖται μὲν ἀφ᾽ ἡμῶν, ὅσον φιλόσοφον καὶ φιλόθεον, καὶ πρὸ καιροῦ τοῖς ἄνω πολιτευόμενον. οἳ κἂν τἆλλα ὦσιν εἰρηνικοί τε καὶ μέτριοι, τοῦτό γε οὐ φέρουσιν ἐπιεικεῖς εἶναι, Θεὸν προδιδόναι διὰ τῆς ἡσυχίας. ἀλλὰ καὶ λίαν εἰσὶν ἐνταῦθα, πολεμικοί τε καὶ δύσμαχοι. τοιοῦτον γὰρ ἡ τοῦ ζήλου θερμότης, καὶ θᾶττον ἄν τι μὴ δέον προσκινήσαιεν, ἢ δέον παραλίποιεν. συναπορρήγνυται δὲ καὶ τῶν λαῶν οὐκ ἐλάχιστον, ὥσπερ ἐν ὀρνίθων ἀγέλῃ, τοῖς προανιπτᾶσι συνανιπτῆν, καὶ οὐδὲ νῦν ἔτι λήγει συνιστάμενον. τοῦτο Ἀθανάσιος ἡμῖν, ἕως παρῆν ὁ στῦλος τῆς Ἐκκλησίας. καὶ τοῦτο ἐπειδή γε ταῖς ἐπηρείαις τῶν πονηρῶν ὑπεχώρησεν. ὥσπερ γὰρ οἱ φρούριόν τι τῶν καρτερῶν ἐξελεῖν βουληθέντες, ἐπειδὰν ἄλλως ἴδωσι δυσπρόσιτον καὶ δυσάλωτον, ἐπὶ τὴν τέχνην χωροῦσιν, εἶτα τί; χρήμασιν, ἢ δόλῳ τὸν φρούραρχον ὑποσπάσαντες, οὕτως ἤδη σὺν οὐδενὶ πόνῳ καὶ τῆς φρουρᾶς ἐκράτησαν. εἰ βούλει δὲ ὥσπερ οἱ τῷ Σαμψὼν ἐπιβουλεύσαντες, τὴν κόμην πρότερον, ἐν ᾗ τὴν ἰσχὺν εἶχε, περιελόντες, γυναικαῦται ὑπὸ χεῖρα τὸν Κριτὴν ἔλαβον, εἶτ᾽ ἐνέπαιζον ὅσα βουλομένοις ἦν, τῆς πρὶν τοῦ ἀνδρὸς δυναστείας ἀντίρροπα, οὕτω καὶ οἱ καθ᾽ ἡμᾶς ἀλλόφυλοι, τὸ ἡμέτερον κράτος ἐκ ποδῶν ποιησάμενοι, καὶ τὴν δόξαν τῆς Ἐκκλησίας ἀποκείραντες, οὕτως ἤδη τοῖς τῆς ἀσεβείας ἐνύβριζον δόγμασί τε καὶ πράγμασι. ταύτῃ καὶ μεταλλάττει μὲν τὸν βίον ὁ τοῦ ἀντιθέτου ποιμένος βεβαιωτὴς καὶ προστάτης, κακὸν οὐ κακῇ Βασιλείᾳ τὸ κεφάλαιον ἐπιθείς, καὶ ἀνόνητα μεταγνούς, ὥς φασιν, ἐπὶ ταῖς τελευταίαις ἀναπνοαῖς, ἡνίκα εὐγνώμων ἕκαστος τῶν ἑαυτοῦ κριτής, διὰ τὸ ἐκεῖ δικαστήριον. τρία γὰρ ταῦτα οἱ συνεγνωκέναι φασί, καὶ τῆς ἑαυτοῦ Βασιλείας ἀνάξια, τὸν τοῦ γένους φόνον, καὶ

τὴν

τὴν ἀνάῤῥησιν τοῦ ἀποστάτου, καὶ τὴν καινοτομίαν τῆς πίστεως, ἢ ταύταις συναπελθεῖν λέγεται ταῖς φωναῖς. ἐξουσίαν δὲ αὖθις ὁ τῆς ἀληθείας λόγος λαμβάνει, καὶ παῤῥησίαν οἱ βιασθέντες αὐτόνομον, τοῦ ζήλου τὸν θυμὸν θήγοντες· ὃ δὴ καὶ τὸν Ἀλεξανδρέων ἔπαθε δῆμος (οἷον ἐκεῖνος περὶ τοὺς ὑβρισάς) οὐκ ἐνεγκόντες τοῦ ἀνδρὸς τὴν ἀμετρίαν, καὶ διὰ τοῦτο ξένῳ μὲν θανάτῳ τὴν ποινὴν, ξένῃ δὲ ὕβρει τὸν θάνατον στηλιτεύσαντες. ἴστε τὴν κάμηλον ἐκείνην, καὶ τὸν ξένον φόρτον, καὶ τὸ καινὸν ὕψος, καὶ τὴν πρώτην περίοδον, οἶμαι δὲ καὶ μόνην, τὴν μέχρι καὶ νῦν τοῖς ὑβρισαῖς ἀπειλουμένην. ἐπεὶ δὲ ὁ τυφῶν τῆς ἀδικίας ὁ τῆς ἀσεβείας φθορεὺς, ὁ τοῦ πονηροῦ πρόδρομος ταύτην εἰσπράττεται τὴν δίκην, ἐμοὶ μὲν οὐκ ἐπαινετὴν (οὐ γὰρ ἃ παθεῖν ἐκεῖνον ἐχρῆν, ἀλλ' ἃ ποιεῖν ἡμᾶς ἔδει σκοπεῖν) εἰσπράττεται δ' οὖν ὀργῆς πανδήμου, καὶ φορᾶς ἔργον γενόμενος, ἐπάνεισι μὲν ἐκ τῆς καλῆς ἐκδημίας ὁ ἀθλητής. οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἐκείνου διὰ τὴν Τριάδα καὶ μετὰ τῆς Τριάδος φυγήν. οὕτω δὲ ἀσμένοις προσαίνεται τοῖς ἐν τῇ πόλει, καὶ μικροῦ τῇ Αἰγύπτῳ πάσῃ, πανταχόθεν εἰς ταυτὸ συνδραμούσῃ, καὶ ἀπ' ἄκρου παντὸς, ἵν' οἱ μὲν φωνῆς Ἀθανασίου μόνης, οἱ δὲ τοῦ εἴδους ἐμφορηθῶσιν, οἱ δὲ ὃ περὶ τῶν Ἀποστόλων ἠκούσαμεν, τῇ σκιᾷ γοῦν ἁγιασθῶσι μόνῃ, καὶ τῷ καινῷ τύπῳ τοῦ σώματος, ὥστε πολλῶν πολλάκις καὶ πολλοῖς ἤδη γεγενημένων ἐκ τοῦ παντὸς χρόνου τιμῶν τε καὶ ὑπαντήσεων, οὐκ ἄρχουσι μόνον δημοσίοις καὶ ἱερεῦσιν, ἀλλὰ καὶ τῶν οἰκείων τοῖς ἐπιφανεστάτοις, μηδὲ μίαν ταύτης μνημονεύεσθαι πολυανθρωποτέραν καὶ λαμπροτέραν. ἓν δὲ εἶναι ταύτῃ μόνον παραβάλλειν αὐτὸν Ἀθανάσιον καὶ τὴν αὐτοῦ προτέραν συντεθεῖσαν, ἐπὶ τῇ προτέρᾳ ταύτης εἰσόδῳ τιμὴν, ἡνίκα ἐκ τῆς αὐτῆς καὶ ἐπὶ τοῖς αὐτοῖς ἐπανῄει φυγῆς. φέρεται καὶ τοιοῦτός τις ἐπ' ἐκείνῃ τῇ τιμῇ λόγος. λεγέσθω γὰρ εἰ καὶ περιττότερος, οἷον ἥδυσμά τι τῷ λόγῳ καὶ ἄνθος εἰσόδιον. εἰσήλαυνέ τις τῶν δισυπάτων μετ' ἐκεῖ-

νην

ἤδειν τὴν εἴσοδον. ἡμέτερος οὗτος ἦν, Καππαδόκης γὰρ καὶ τῶν πάνυ, τὸν Φιλάγριον ἐκεῖνον οἶδ᾽ ὅτι πάντες ἀκούετε, καὶ τὸ φίλτρον, οἷον οὐκ ἄλλον καὶ περὶ ἄλλον, καὶ ἡ τιμὴ κατὰ τὸ φίλτρον, ἵνα μικρῷ λόγῳ περιηγήσωμαι τὸ πᾶν γνώρισμα, ᾧ καὶ ἡ ἀρχὴ πιστευθεῖσά τε τῆς πόλεως, καὶ ψήφῳ τοῦ Βασιλέως, αὖθις ἐγχειρισθεῖσα. τότε οὖν τινα τοῦ δήμου, ὡς ἐφαίνετο τὸ πλῆθος ἄπειρον καὶ οἷόν τι πέλαγος οὐχ ὁριζόμενον τοῖς ὀφθαλμοῖς, πρός τινα λέγεται τῶν ἑαυτοῦ συνήθων καὶ φίλων, ὃ φιλεῖ συμβαίνειν ἐν τοῖς τοιούτοις, εἰπεῖν· εἰπέ μοι, ὦ βέλτιστε, ἤδη ποτέ τι τεθέασαι δῆμον τοσοῦτον, καὶ οὕτως ἔμψυχον, ἐφ᾽ ἑνὸς ἀνθρώπου τιμῇ χυθέντας; οὐ φάναι τὸν νεανίαν, ἀλλ᾽ ἐμοί μὲν δόξαι, μηδ᾽ ἂν αὐτὸν ταύτης τυχεῖν Κωνστάντιον, ὡς τοῦ ἀκροτάτου τῆς τιμῆς δηλουμένου διὰ τοῦ Βασιλέως. καὶ τὸν γελάσαντα μάλα κομψὸν καὶ ἡδύ, τί τοῦτο ἔφης, εἰπεῖν, ὡς δή τι λέγων μέγα καὶ θαυμαστόν; μόλις ἂν οἶμαι καὶ Ἀθανάσιον οὕτως εἰσαχθῆναι τὸν μέγαν, καὶ ἅμα ὅρκον τινὰ προσθεῖναι καὶ τῶν ἐπιχωρίων, εἰς τὴν τοῦ λόγου βεβαίωσιν. ἐβούλετο δὲ ὁ λόγος αὐτῷ ὃ καὶ ὑμῖν οἶμαι δῆλον, καὶ Βασιλέως αὐτοῦ ἔμπροσθεν ἄγειν, τὸν νῦν εὐφημούμενον. τοσοῦτον ἦν παρὰ πᾶσι τὸ τοῦ ἀνδρὸς τούτου σέβας, καὶ τοσαύτη τῆς μνημονευομένης εἰσόδου νῦν ἡ κατάπληξις. καὶ γὰρ φῦλα, καὶ ἡλικίας, καὶ τέχνας διαιρεθέντες (φιλοῦσι γὰρ μάλιστα ἡ πόλις αὕτη οὕτω διασκευάζεσθαι, ὅταν τινὶ πλέκωσι τιμὴν δημοσίαν. πῶς ἂν περιηγησαίμην τῷ λόγῳ, τὸ μέγα ἐκεῖνο θέαμα;) ποταμὸς ἦσαν εἷς· ποιητοῦ δὲ ἦν ἄρα καὶ τὸν Νεῖλον εἰπεῖν τὸν χρυσορρόαν ὄντως καὶ εὐστάχυν, ἔμπαλιν ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Χαιρέου ῥέοντα, ἡμερησίαν ὁδὸν οἶμαι καὶ περαιτέρω. δότε μοι μικρὸν ἔτι ἐντρυφῆσαι τῷ διηγήματι· ἐκεῖσε γάρ εἰμι, καὶ οὐδὲ ἀπαχθῆναι τὸν λόγον τῆς τελετῆς ἐκείνης ῥᾴδιον. πῶλος μὲν ἦγεν αὐτόν (καὶ μή μοι τῆς ἀπονοίας μέμψησθε) ὡς μικροῦ τὸν ἐμὸν Ἰησοῦν ὁ πῶλος ἐκεῖνος, εἴτ᾽ οὖν ὁ ἐξ ἐθνῶν λαός, ὃν εὖ ποιῶν ἐπιβαίνει τῶν τῆς ἀγνοίας δεσμῶν

λυόμενον, εἴτε τι ἄλλο βούλεται παραδηλοῦν ὁ λόγος. κλάδοι δὲ αὐτὸν ὑποδέχονται, καὶ στρώσεις ἱματίων πολυανθῶν καὶ ποικίλων προῤῥιπτουμένων τε καὶ ὑποῤῥιπτουμένων. ἐνταῦθα μόνον ἀτιμαθέντος τοῦ ὑψηλοῦ καὶ πολυτελοῦς καὶ τὸ ἴσον μὴ ἔχοντος. εἰκὼν καὶ αὕτη τῆς ἐπιδημίας Χριστοῦ. καὶ οἱ προβοῶντες καὶ προχορεύοντες, πλὴν ὅσον οὐ παίδων ὅμιλος μόνον τὸ εὔφημον ἦν, ἀλλὰ καὶ πᾶσα γλῶσσα σύμφωνος καὶ συνήθεις, νικᾶν ἀλλήλους ἐπειγομένων. ἐῶ γὰρ λέγειν κρότους πανδήμους, καὶ μύρων ἐκχύσεις καὶ παννυχίδας, καὶ πᾶσαν φωτὶ καταστραπτομένην τὴν πόλιν, καὶ δημοσίους ἑστιάσεις καὶ οἰκιδίας, καὶ ὅσοις αἱ πόλεις τὸ φαιδρὸν ἐπισημαίνουσιν, ἃ τότε μεθ᾽ ὑπερβολῆς ἐκείνῳ καὶ παρὰ τὸ εἰκὸς ἐχαρίζοντο. οὕτω τὴν ἑαυτοῦ πόλιν ὁ θαυμάσιος ἐκεῖνος, καὶ μετὰ τοιαύτης καταλαμβάνει τῆς πανηγύρεως. ἆρ᾽ οὖν ἐβίω μὲν, ὥσπερ εἰκὸς τοὺς λαοῦ τοσούτου προστησομένους; ἐδίδαξε δὲ οὐχ ὡς βεβίωκεν; ἠγώνισται δὲ οὐχ ὡς ἐδίδαξεν; ἐκινδύνευσε δὲ τῶν ὑπὲρ τοῦ Λόγου τινὸς ἠγωνισμένων ἐλάττω; τετίμηται δὲ ὧν ἠγώνισται μεῖον; κατῄσχυνε δέ τι τῶν τῆς εἰσόδου μετὰ τὴν εἴσοδον; οὐδαμῶς. πάντα δὲ ἀλλήλων ἐχόμενα, ὥσπερ ἐν λύρᾳ μιᾷ, καὶ τῆς αὐτῆς ἁρμονίας, ὁ βίος, ὁ λόγος, οἱ ἀγῶνες, οἱ κίνδυνοι, τὰ τῆς ἐπανόδου, τὰ μετὰ τὴν ἐπάνοδον. ὁμοῦτε γὰρ τὴν Ἐκκλησίαν καταλαμβάνει, καὶ οὐ πάσχει ταυτὸν τοῖς δι᾽ ἀμετρίαν ὀργῆς τυφλώττουσι, καὶ ὅ, τι ἂν παραπέσῃ, τοῦτο πρῶτον παραλωθῶσι, κἄν ᾖ τι τῶν φειδοῦς ἀξίων ὃν τύχοι, τοῦ θυμοῦ δυναστεύοντος· ἀλλὰ τοῦτον μάλιστα δ᾽ δοκιμήσεως καιρὸν εἶναι νομίσας· ἐπειδὴ τὸ μὲν πάσχον κακῶς ἀεὶ μετριώτερον, τὸ δὲ ἐν ἐξουσίᾳ τοῦ ἀντιδρᾷν ἀκρατέστερον. οὕτω πράως καὶ ἠπίως τὰ τῶν λελυπηκότων μεταχειρίζεται, ὡς μηδὲ αὐτοῖς ἐκείνοις, οἷόν τε τοῦτο εἰπεῖν, ἀηδῆ γενέσθαι τοῦ ἀνδρὸς τὴν ἐπάνοδον. καθαιρεῖ μὲν γὰρ τὸ ἱερὸν τῶν θεοκαπήλων καὶ χριστεμπόρων, ἵνα καὶ τοῦτο τὸν Χριστοῦ μιμήσηται, πλὴν ὅσον οὐ φραγγελλίῳ πλεκτῷ, λόγῳ δὲ πιθανῷ τοῦτο ἐργάζεται. καταλλάττει δὲ τὸ στα-

σιάζον, πρός τε αὐτὸ καὶ ἑαυτὸν, οὐδενὸς τῶν συναγόντων προσδεηθείς· λύει δὲ τοῖς ἠδικημένοις τὰς τυραννίδας, οὐδὲν διελὼν τοὺς τῆς αὐτοῦ μερίδος καὶ τῆς ἐναντίας· ἀνίστησι δὲ πεπτωκότα λόγον· παῤῥησιάζεται δὲ ἡ Τριὰς πάλιν ἐπὶ τὴν λυχνίαν τεθεῖσα, καὶ λαμπρῷ τῷ φωτὶ τῆς μιᾶς θεότητος ταῖς πάντων ψυχαῖς ἐναστράπτουσα. νομοθετεῖ δὲ τῇ οἰκουμένῃ πάλιν, ἐπιστρέφει δὲ πρὸς ἑαυτὸν πᾶσαν διάνοιαν· τοῖς μὲν ἐπιστέλλων, τοὺς δὲ διδάσκων, ἔστι δὲ οὓς καὶ ἀκλήτους προσιόντας σοφίζων, νόμον ἕνα προθεὶς τὸ βούλεσθαι, καὶ γὰρ τοῦτο μόνον ἐξήρκει πρὸς ὁδηγίαν τοῦ κρείττονος. ἐν κεφαλαίῳ δὲ εἰπεῖν, δύο λίθων μιμεῖται φύσεις ἐπαινουμένων. γίνεται γὰρ τοῖς μὲν παίουσιν ἀδάμας, τοῖς δὲ στασιάζουσι μαγνῆτις, ἀῤῥήτῳ φύσεως βίᾳ τὸν σίδηρον ἕλκουσα, καὶ τὸ στεῤῥότατον ἐν ὕλαις οἰκειουμένη. ἀλλ' οὐ γὰρ ἔμελλε ταῦτα οἴσειν ὁ φθόνος, οὐδὲ τὴν Ἐκκλησίαν ὁρῶν ἀνέξεσθαι. πάλιν ἐπὶ τῆς αὐτῆς δόξης, καὶ τῆς παλαιᾶς ὑγιείας τάχιστα τοῦ διεστῶτος συνουλωθέντος, ὥσπερ ἐν σώματι. διὰ τοῦτο ἐπανίστησιν αὐτῷ τὸν συναποστάτην ἑαυτοῦ Βασιλέα, καὶ τὴν κακίαν ὁμότιμον, χρόνῳ μόνῳ λειπόμενον, ὃς πρῶτος Χριστιανῶν Βασιλέων κατὰ Χριστοῦ ἐμάνη, καὶ ὃν ὤδινε πόῤῥωθεν ἐν ἑαυτῷ Βασιλίσκον τῆς ἀσεβείας ἀναῤῥήξας ἀθρόως, ἐπειδὴ καιρὸν ἔλαβεν, ὁμοῦ τε Αὐτοκράτωρ ἀναδείκνυται. καὶ κακὸς μὲν περὶ τὸν πιστεύσαντα Βασιλέα τὰ Βασίλεια γίνεται, κακίων δὲ περὶ τὸν σεσωκότα Θεόν. καὶ διωγμὸν ἐννοεῖ τῶν πώποτε γενομένων ἀπανθρωπότατον, ὅσῳ τὸ πιθανὸν τῇ τυραννίδι μίξας (ἐφθόνει γὰρ τοῖς πάσχουσι καὶ τῆς ἐπὶ τοῖς ἄθλοις τιμῆς.) ἀμφίβολον ἐποίει, καὶ τὸ τῆς ἀνδρείας φιλότιμον, τὰς ἐν τοῖς λόγοις στροφὰς καὶ πλοκὰς, ἐπὶ τὸν τρόπον μετενεγκὼν, ἢ τόγε ἀληθέστερον εἰπεῖν, ἀπὸ τοῦ τρόπου καὶ περὶ ἐκεῖνα συνδάσας, καὶ τὸν σύνοικον αὐτοῦ πονηρὸν, τῆς πολυτεχνίας μιμούμενος. οὗτος μικρὸν μὲν ἔργον ἐνόμισεν εἶναι, τὸ πάντων Χριστιανῶν καταστήσασθαι γένος, μέγα δὲ τὸ Ἀθα-

μοσίᾳ κρατῆσαι, καὶ τῆς ἐκείνου περὶ τὸν λόγον ἡμῶν δυνάμεως. καὶ γὰρ ἑώρα μηδὲν ὂν αὐτοῖς πλέον τῆς καθ' ἡμῶν ἐννοίας, διὰ τὴν τοῦ ἀνδρὸς ἀντιπαράταξιν καὶ ἀντίθεσιν, ἀεὶ τοῦ κοινουμένου Χριστιανῶν ἀναπληρουμένου διὰ τῆς Ἑλληνικῆς προσθήκης, καὶ τῆς ἐκείνου συνέσεως, ὃ καὶ παράδοξον. ταῦτ' οὖν ἐννοῶν καὶ ὁμῶν ὁ δεινὸς ἐκεῖνος παραλογιστὴς καὶ διώκτης, οὐδὲ ἐπὶ τοῦ πλάσματος ἔτι μένει, καὶ τῆς σοφιστικῆς ἀνελευθερίας, ἀλλὰ τὴν πονηρίαν γυμνώσας, φανερῶς ὑπερορίζει τὸν ἄνδρα τῆς πόλεως. ᾔδει γὰρ τρισὶ παλαίσμασι τὸν δυνάδην νικήσαντα, τελείας τυχεῖν καὶ τῆς ἀναρρήσεως. μικρὸν τὸ ἐν μέσῳ, καὶ Πέρσαις μὲν ἡ δίκη δοῦσα τὸν ἀλιτήριον, ἐκεῖ δικάζει, καὶ Βασιλέα φιλότιμον παραπέμψασα, νεκρὸν ἐπανάγει μηδ' ἐλεούμενον, ὡς δὲ ἐγώ τινος ἤκουσα, μηδὲ τῷ τάφῳ προσλαμβανόμενον. ἀλλ' ὑπὸ τῆς σεισθείσης δι' αὐτὸν γῆς ἀποσειόμενον καὶ ἀναβρασσόμενον, προοίμιον οἶμαι τῆς ἐκεῖθεν κολάσεως. αἴρεται δὲ Βασιλεὺς ἕτερος, οὐκ ἀναιδὴς τῷ προσώπῳ κατὰ τὸν προειρημένον, οὐδὲ τοῖς πονηροῖς ἔργοις καὶ ἐπιστάταις ἐκθλίβων τὸν Ἰσραήλ, ἀλλὰ καὶ λίαν εὐσεβής τε καὶ ἥμερος, ὃς ἵνα ἰσχυρὰν ἑαυτῷ καταστήσηται τὴν τῆς Βασιλείας κρηπῖδα, καὶ ὅθεν δεῖ τῆς εὐνομίας ἄρξηται, λύει μὲν τοῖς Ἐπισκόποις τὴν ὑπερορίαν τοῖς τε ἄλλοις ἅπασι, καὶ πρὸ πάντων τῷ πρὸ πάντων τὴν ἀρετὴν, καὶ προδήλως ὑπὲρ τῆς εὐσεβείας πολεμηθέντι. ζητεῖ δὲ τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀλήθειαν ὑπὸ πολλῶν διασπασθεῖσαν καὶ συγχυθεῖσαν, καὶ εἰς πολλὰς δόξας καὶ μοίρας κατατετμημένην, ὥστε μάλιστα μὲν τὸν Κόσμον ὅλον οἷόν τι συμφωνῆσαι καὶ εἰς ἓν ἐλθεῖν τῇ συνεργίᾳ τοῦ Πνεύματος, εἰ δ' οὖν, ἀλλ' αὐτόν γε μετὰ τῆς βελτίστης ἑνωθῆναι, κἀκείνῃ παρασχεῖν τὸ κράτος, καὶ παρ' ἐκείνης ἀντιλαβεῖν, λίαν ὑψηλῶς τε καὶ μεγαλοπρεπῶς ἐπὶ τῶν μεγίστων διανοούμενος. ἔνθα δὴ καὶ μάλιστα ἐδείχθη τοῦ ἀνδρὸς ἡ καθαρότης, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως. τῶν γὰρ ἄλλων ἁπάντων ὅσοι τοῦ καθ' ἡμᾶς λόγου, τρία

νενεμημένων, καὶ πολλῶν μὲν ὄντων τῶν περὶ τὸν Υἱὸν ἀῤῥωστούντων, πλειόνων δὲ τῶν περὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἔνθα καὶ τὸ ἧττον ἀσεβεῖν εὐσέβεια ἐνομίσθη, ὀλίγων δὲ τῶν κατ' ἀμφότερα ὑγιαινόντων, πρῶτος καὶ μόνος, ἢ κομιδῇ σὺν ὀλίγοις ἀποτολμᾷ τὴν ἀλήθειαν, σαφῶς οὑτωσὶ καὶ διαῤῥήδην τῶν τριῶν μίαν θεότητα καὶ οὐσίαν ἐγγράφως ὁμολογήσας, καὶ ὅ τῷ πολλῷ τῶν Πατέρων ἀριθμῷ περὶ τὸν Υἱὸν ἐχαρίσθη πρότερον, τοῦτο περὶ τοῦ Ἁγίου Πνεύματος αὐτὸς ἐμπνευσθεὶς ὕστερον, καὶ δῶρον βασιλικὸν ὄντως καὶ μεγαλοπρεπὲς τῷ Βασιλεῖ προσενεγκών, ἔγγραφον τὴν εὐσέβειαν κατὰ τῆς ἀγράφου καινοτομίας, ἵνα Βασιλεῖ μὲν Βασιλεύς, λόγῳ δὲ λόγος, γράμματι δὲ γράμμα καταπαλαίηται. ταύτην μοι δοκοῦσιν αἰδούμενοι τὴν ὁμολογίαν οἵ τε τῆς Ἑσπερίας καὶ τῆς Ἑῴας ὅσον βιώσιμον, οἱ μὲν μέχρι διανοίας ἄγειν τὸ εὐσεβὲς (εἴτι λέγουσιν αὐτοῖς πιστευτέον) περαιτέρω δὲ μὴ προάγειν, ὥσπερ τι νεκρὸν κύημα ταῖς ὠδῖσιν ἐναποθνήσκον· οἱ δὲ μικρὸν ἐξάπτειν ὥσπερ σπινθῆρα, ὅσον ἀφοσιοῦσθαι τὸν καιρόν, ἢ τῶν ὀρθοδόξων τοὺς θερμοτέρους, ἢ τῶν λαῶν τὸ φιλόθεον· οἱ δὲ καὶ παῤῥησιάζεσθαι τὴν ἀλήθειαν, ἧς ἂν εἴην ἐγὼ μερίδος, οὐ γὰρ τολμῶ τι πλέον καυχήσασθαι· μηκέτι τὴν ἐμὴν δειλίαν οἰκονομῶν, ὡς δὴ τὴν τῶν σαθροτέρων διάνοιαν (ἱκανῶς γὰρ ᾠκονομήσαμεν, μήτε τὸ ἀλλότριον προσλαμβάνοντες, καὶ τὸ ἡμέτερον φθείροντες, ὃ κακῶν ὄντως ἐστὶν οἰκονόμων,) ἀλλ' εἰς φῶς ἄγων τὸν τόκον, καὶ μετὰ σπουδῆς ἐκτρέφων, καὶ ταῖς ἁπάντων ὄψεσι προτιθείς, ἤδη τελειούμενον. τοῦτο μὲν οὖν ἧττον ἐκείνου θαυμάζειν ἄξιον· ὁ γὰρ ἔργῳ τῆς ἀληθείας προκινδυνεύσας, τί θαυμαστὸν εἰ γράμματι ταύτην καθωμολόγησεν; ὃ δὲ μάλιστα τοῦ ἀνδρὸς θαυμάζειν ἔπεισι, καὶ ζημία τὸ σιωπᾷν διὰ τὸν καιρὸν μάλιστα πολλὰς ποιοῦν τὰς διαστάσεις, τοῦτο ἔτι προσθήσω τοῖς εἰρημένοις. γένοιτο γὰρ ἄν τι παίδευμα καὶ τοῖς νῦν ἡ πρᾶξις, εἰ πρὸς ἐκεῖνον βλέποιμεν. ὡς γὰρ ὕδατος ὁδὸς τέμνεται,

ται, οὐ τοῦτο μόνον ὅσον ἡ χεὶρ ἀφῆκεν ἀρυομένη, ἀλλὰ καὶ ὅσον τῇ χειρὶ περιεσχέθη τῶν δακτύλων ἐκρέον, οὕτω καὶ ἡμῶν οὐχ ὅσον ἀσεβὲς χωρίζεται μόνον, ἀλλὰ καὶ ὅσον εὐσεβέστερον, οὐ περὶ δογμάτων μόνον μικρῶν καὶ παροραθῆναι ἀξίων (ἧττον γὰρ ἂν ἦν τοῦτο δεινὸν) ἀλλ' ἤδη καὶ περὶ ῥημάτων εἰς τὴν αὐτὴν φερόντων διάνοιαν. τῆς γὰρ μιᾶς οὐσίας, καὶ τῶν τριῶν ὑποστάσεων λεγομένων μὲν ὑφ' ἡμῶν εὐσεβῶς· τὸ μὲν γὰρ τὴν φύσιν δηλοῖ τῆς θεότητος, τὸ δὲ τὰς τῶν τριῶν ἰδιότητας, νοουμένων δὲ καὶ παρὰ τοῖς Ἰταλοῖς ὁμοίως, ἀλλ' οὐ δυναμένοις διὰ στενότητα τῆς παρ' αὐτοῖς γλώττης καὶ ὀνομάτων πενίαν, διελεῖν ἀπὸ τῆς οὐσίας τὴν ὑπόστασιν, καὶ διὰ τοῦτο ἀντεισάγουσι τὰ πρόσωπα, ἵνα μὴ τρεῖς οὐσίας παραδεχθῶσι, τί γίνεται; ὡς λίαν γελοῖον ἢ ἐλεεινόν. πίστεως ἔδοξε διαφορὰ, ἡ περὶ τὸν ἦχον μικρολογία. εἶτα Σαβελλισμὸς ἐνταῦθα ἐπενοήθη τοῖς τρισὶ προσώποις, καὶ Ἀρειανισμὸς ταῖς τρισὶν ὑποστάσεσι, τὰ τῆς φιλονεικίας ἀναπλάσματα. εἶτα τί; προστιθεμένου μικροῦ τινος ἀεὶ τοῦ λυποῦντος, ὃ λυπηρὸν ἡ φιλονεικία ποιεῖ, κινδυνεύει συναπορραγῆναι ταῖς συλλαβαῖς τὰ πέρατα. ταῦτ' οὖν ὁρῶν καὶ ἀκούων ὁ μακάριος ἐκεῖνος καὶ ὡς ἀληθῶς ἄνθρωπος τοῦ Θεοῦ καὶ μέγας τῶν ψυχῶν οἰκονόμος, οὐκ ᾠήθη δεῖν παριδεῖν τὴν ἄτοπον οὕτω καὶ ἄλογον τοῦ Λόγου κατατομὴν, τὸ δὲ παρ' ἑαυτοῦ φάρμακον ἐπάγει τῷ ἀρρωστήματι. πῶς οὖν τοῦτο ποιεῖ; προσκαλεσάμενος ἀμφότερα τὰ μέρη οὕτω πράως καὶ φιλανθρώπως, καὶ τὸν νοῦν τῶν λεγομένων ἀκριβῶς ἐξετάσας, ἐπειδὴ συμφρονοῦντας εὗρε, καὶ οὐδὲν διεστῶτας κατὰ τὸν λόγον, τὰ ὀνόματα συγχωρήσας, συνδεῖ τοῖς πράγμασι, τοῦτο τῶν μακρῶν πόνων καὶ λόγων λυσιτελέστερον, οὓς πάντες ἤδη λογογραφοῦσιν, οἷς τις καὶ φιλοτιμία συνέζευκται, καὶ διὰ τοῦτο ἴσως τι καὶ καινοτομεῖται περὶ τὸν λόγον. τοῦτο τῶν πολλῶν ἀγρυπνιῶν καὶ χαμευνιῶν προτιμότερον, ὧν μέχρι τῶν κατορθούντων τὸ κέρδος. τοῦτο τῶν ἀοιδίμων ἐξοριῶν καὶ φυγῶν τοῦ ἀνδρὸς ἐπάξιον. ὑπὲρ

γὰρ ὧν εἵλετο πάσχειν ἐκεῖνα, ταῦτα μετὰ τὸ παθεῖν ἀσπάζεται. τὸ δ' αὐτὸ καὶ ἐν τοῖς ἄλλοις ποιῶν διετέλει, τοὺς μὲν ἐπαινῶν, τοὺς δὲ πλήττων μετρίως, καὶ τῶν μὲν τὸ νωθρὸν διεγείρων, τῶν δὲ τὸ θερμὸν κατείργων· καὶ τῶν μὲν ὅπως μὴ πταίσωσι προμηθούμενος, τοὺς δὲ ὅπως διορθωθεῖεν πταίσαντες, μηχανώμενος· ἁπλοῦς δὲ τὸν τρόπον, πολυειδὴς τὴν κυβέρνησιν, σοφὸς τὸν λόγον, σοφώτερος τὴν διάνοιαν, πεζὸς τοῖς ταπεινοτέροις, ὑψηλότερος τοῖς μετεωροτέροις, φιλόξενος, ἱκέσιος, ἀποτρόπαιος, πάντα εἷς ἀληθῶς, ὅσα μεμερισμένως τοῖς ἑαυτῶν θεοῖς Ἑλλήνων παῖδες ἐπιφημίζουσι. προσθήσω δὲ καὶ ζύγιον, καὶ παρθένιον, καὶ εἰρηναῖον, καὶ διαλλακτήριον, καὶ πομπαῖον τοῖς ἐντεῦθεν ἀπαιρομένοις. ὢ πόσας μοι ποιεῖ κλήσεις ἡ τοῦ ἀνδρὸς ἀρετή, πανταχόθεν καλεῖν ἐθέλοντι. ζήσας δὲ οὕτω, καὶ παιδευθεὶς καὶ παιδεύσας, ὥστε ὅρον μὲν ἐπισκοπῆς εἶναι τὸν ἐκείνου βίον καὶ τρόπον, νόμον δὲ ὀρθοδοξίας τὰ ἐκείνου δόγματα· τίνα μισθὸν τῆς εὐσεβείας κομίζεται; οὐδὲ γὰρ τοῦτο παριδεῖν ἄξιον. ἐν γήρᾳ καλῷ καταλύει τὸν βίον, καὶ προστίθεται τοῖς πατράσιν αὐτοῦ, Πατριάρχαις, καὶ Προφήταις, καὶ Ἀποστόλοις, καὶ Μάρτυσι, τοῖς ὑπὲρ τῆς ἀληθείας ἠγωνισμένοις. καὶ ἵνα εἴπω τινὰ βραχὺν ἐπιτάφιον, τιμᾶται τῶν εἰσοδίων τιμῶν τὴν ἐξόδιον πολυτελεστέραν· πολλὰ μὲν κινήσας δάκρυα, μείζονα δὲ τῶν ὁρωμένων τὴν περὶ αὐτοῦ δόξαν ταῖς ἁπάντων διανοίαις ἐναποθέμενος. ἀλλ' ὦ φίλη καὶ ἱερὰ κεφαλή, ὁ καὶ λόγου καὶ σιωπῆς μέτρα καὶ μετὰ τῶν ἄλλων σου καλῶν διαφερόντως τιμήσας, ἡμῖν μὲν ἐνταῦθα στήσαις τὸν λόγον, εἰ καὶ τῆς ἀληθείας ἐνδεέστερον, ἀλλὰ τοῦ γε πρὸς δύναμιν οὐ λειπόμενον. αὐτὸς δὲ ἄνωθεν ἡμᾶς ἐποπτεύοις ἵλεως, καὶ τὸν λαὸν τὸν σὸν διεξάγοις τέλειον, τελείας τῆς Τριάδος προσκυνητήν, τῆς ἐν Πατρὶ καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι θεαρμένης καὶ σεβομένης. καὶ ἡμᾶς εἰ μὲν εἰρηνικῶς, κατάγοις καὶ συμποιμαίνοις, εἰ δὲ πολεμικῶς, ἐπανάγοις, ἢ

προσ-

προσλαμβανομένοις, καὶ στήσαις μετὰ σεαυτοῦ καὶ τῶν οἷος σὺ, κἂν μέγα ᾖ τὸ αἰτούμενον, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· ᾧ πᾶσα δόξα, τιμὴ, κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΑ ΘΕΟΦΑΝΙΑ,

## Εἴτ' οὖν γενέθλια τοῦ Σωτῆρος.

ΧΡιστὸς γεννᾶται, δοξάσατε. Χριστὸς ἐξ Οὐρανῶν, ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς, ὑψώθητε. ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἵν' ἀμφότερα συνελὼν εἴπω· εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ, διὰ τὸν ἐπουράνιον, εἶτα ἐπίγειον. Χριστὸς ἐν σαρκὶ, τρόμῳ καὶ χαρᾷ ἀγαλλιᾶσθε· τρόμῳ διὰ τὴν ἁμαρτίαν, χαρᾷ διὰ τὴν ἐλπίδα. Χριστὸς ἐκ Παρθένου, γυναῖκες, παρθενεύετε, ἵνα Χριστοῦ γένησθε μητέρες. τίς οὐ προσκυνεῖ τὸν ἀπ' ἀρχῆς; τίς οὐ δοξάζει τὸν τελευταῖον; πάλιν τὸ σκότος λύεται· πάλιν τὸ φῶς ὑφίσταται· πάλιν Αἴγυπτος σκότῳ κολάζεται· πάλιν Ἰσραὴλ στύλῳ φωτίζεται. ὁ λαὸς ὁ καθήμενος ἐν σκότει τῆς ἀγνοίας, ἰδέτω φῶς μέγα τῆς ἐπιγνώσεως. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. τὸ γράμμα ὑποχωρεῖ, τὸ Πνεῦμα πλεονεκτεῖ, αἱ σκιαὶ παρατρέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται, ὁ Μελχισεδὲκ συνάγεται, ὁ ἀμήτωρ ἀπάτωρ γίνεται, ἀμήτωρ τὸ πρότερον, ἀπάτωρ τὸ δεύτερον, νόμοι φύσεως καταλύονται. πληρωθῆναι δεῖ τὸν ἄνω Κόσμον. Χριστὸς κελεύει, μὴ ἀντιτείνωμεν. πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ὅτι παιδίον ἐγεννήθη ἡμῖν Υἱὸς, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. τῷ γὰρ Σταυρῷ συνεπαίρεται, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς τοῦ Πατρὸς Ἄγγελος. Ἰωάννης βοάτω· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου· κἀγὼ βοήσομαι τῆς ἡμέρας τὴν

δύναμιν, ὁ ἄσαρκος σαρκοῦται, ὁ λόγος παχύνεται, ὁ ἀόρατος ὁρᾶται, ὁ ἀναφὴς ψηλαφᾶται, ὁ ἄχρονος, ἄρχεται, ὁ Υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γίνεται. Ἰησοῦς Χριστὸς, χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Ἰουδαῖοι σκανδαλιζέσθωσαν, Ἕλληνες διαγελάτωσαν, αἱρετικοὶ γλωσσαλγείτωσαν. τότε πιστεύσουσιν, ὅταν ἴδωσιν εἰς Οὐρανὸν ἀνερχόμενον. εἰ δὲ μὴ τότε, ἀλλ' ὅταν ἐξ Οὐρανῶν ἐρχόμενον, καὶ ὡς Κριτὴν καθιζόμενον. ταῦτα μὲν ὕστερον, τὰ δὲ νῦν θεοφάνια ἡ πανήγυρις, εἴτ' οὖν γενέθλια· λέγεται γὰρ ἀμφότερα, δύο κειμένων προσηγοριῶν ἑνὶ πράγματι. ἐφάνη γὰρ Θεὸς ἀνθρώποις διὰ γεννήσεως, τὸ μὲν ὤν, καὶ ἀεὶ ὢν ἐκ τοῦ ἀεὶ ὄντος, ὑπὲρ αἰτίαν καὶ λόγον (οὐδὲ γὰρ ἦν τοῦ Λόγου λόγος ἀνώτερος) τὸ δὲ δι' ἡμᾶς, γινόμενος ὕστερον, ἵν' ὁ τὸ εἶναι δοὺς, καὶ τὸ εὖ εἶναι χαρίσηται. μᾶλλον δὲ ῥεύσαντας ἡμᾶς ἀπὸ τοῦ εὖ εἶναι διὰ κακίαν, πρὸς αὐτὸ πάλιν ἐπαναγάγῃ διὰ σαρκώσεως. ὄνομα δὲ τῷ φανῆναι μὲν θεοφάνια, τῷ δὲ γεννᾶσθαι γενέθλια. τοῦτό ἐστιν ἡμῖν ἡ πανήγυρις, τοῦτο ἑορτάζομεν σήμερον, ἐπιδημίαν Θεοῦ πρὸς ἀνθρώπους, ἵνα πρὸς Θεὸν ἐκδημήσωμεν, ἢ ἐπανέλθωμεν· οὕτω γὰρ εἰπεῖν οἰκειότερον, ἵνα τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα. καὶ ὥσπερ ἐν τῷ Ἀδὰμ ἀπεθάνομεν, οὕτως ἐν τῷ Χριστῷ ζήσωμεν, Χριστῷ καὶ συγγεννώμενοι, καὶ συσταυρούμενοι, καὶ συνθαπτόμενοι, καὶ συνανιστάμενοι. δεῖ γάρ με παθεῖν τὴν καλὴν ἀντιστροφήν, καὶ ὥσπερ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρὰ, οὕτως ἐκ τῶν λυπηρῶν ἐπανελθεῖν τὰ χρηστότερα. εἰ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. καὶ εἰ ἡ γεῦσις κατέκρινε, πόσῳ μᾶλλον τὸ Χριστὸν παθεῖν ἐδικαίωσε; τοιγαροῦν ἑορτάζωμεν, μὴ πανηγυρικῶς, ἀλλὰ θεϊκῶς· μὴ κοσμικῶς, ἀλλ' ὑπερκοσμίως· μὴ τὰ ἡμέτερα, ἀλλὰ τὰ τοῦ ἡμετέρου, μᾶλλον δὲ τὰ τοῦ Δεσπότου· μὴ τὰ τῆς ἀσθενείας, ἀλλὰ τὰ τῆς ἰατρείας· μὴ τὰ τῆς πλάσεως, ἀλλὰ τὰ τῆς ἀναπλάσεως. ἔσται δὲ τοῦτο πῶς; μὴ πρόθυρα στεφανώσωμεν, μὴ

χο-

χοροὺς συστησώμεθα, μὴ κοσμήσωμεν ἀγυιάς, μὴ ὀφθαλμὸν ἑστιάσωμεν, μὴ ἀκοὴν καταυλήσωμεν, μὴ ὄσφρησιν ἐκθηλύνωμεν, μὴ γεῦσιν καταπορνεύσωμεν, μὴ ἁφῇ χαρισώμεθα ταῖς προχείροις εἰς κακίαν ὁδοῖς, καὶ εἰσόδοις τῆς ἁμαρτίας· μὴ ἐσθῆτι μαλακισθῶμεν, ἁπαλῇ τε καὶ περιρρεούσῃ, καὶ ἧς τὸ κάλλιστον ἀχρηστία, μὴ λίθων διαυγείαις, μὴ χρυσοῦ περιλάμψεσι, μὴ χρωμάτων σοφίσμασι ψευδομένων τὸ φυσικὸν κάλλος, καὶ κατὰ τῆς εἰκόνος ἐξευρημένων, μὴ κώμοις, καὶ μέθαις, αἷς κοίτας καὶ ἀσελγείας οἶδα συνεζευγμένας· ἐπειδὴ κακῶν διδασκάλων κακὰ τὰ μαθήματα, μᾶλλον δὲ πονηρῶν σπερμάτων πονηρὰ τὰ γεώργια. μὴ στιβάδας ὑψηλὰς πηξώμεθα, σκηνοποιοῦντες τῇ γαστρὶ τὰ τῆς θρύψεως, μὴ τιμήσωμεν οἴνων τὰς ἀνθοσμίας, ὀψοποιῶν μαγγανείας, μύρων πολυτελείας. μὴ γῆ καὶ θάλασσα τὴν τιμίαν ἡμῖν κόπρον δωροφορείτωσαν, οὕτω γὰρ ἐγὼ τιμᾶν οἶδα τρυφήν. μὴ ἄλλος ἄλλον ἀκρασίᾳ νικᾷν σπουδάζωμεν· ἀκρασία γὰρ ἐμοὶ πᾶν τὸ περιττόν, καὶ ὑπὲρ τὴν χρείαν, καὶ ταῦτα πεινώντων ἄλλων, καὶ δεομένων, τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος. ἀλλὰ ταῦτα μὲν Ἕλλησι παρῶμεν, καὶ Ἑλληνικοῖς κόμποις, καὶ πανηγύρεσιν, οἳ καὶ Θεοὺς ὀνομάζουσι κνίσαις χαίροντας, καὶ ἀκολούθως τὸ θεῖον τῇ γαστρὶ θεραπεύουσι. πονηροὶ πονηρῶν δαιμόνων, καὶ πλάσται, καὶ μυσταγωγοί, καὶ μύσται τυγχάνοντες. ἡμεῖς δέ, οἷς Λόγος τὸ προσκυνούμενον, κἄν τι δέῃ τρυφᾶν, ἐν λόγῳ τρυφήσωμεν, καὶ θείῳ νόμῳ, καὶ διηγήματι τοῖς τε ἄλλοις, καὶ ἐξ ὧν ἡ παροῦσα πανήγυρις, ἵν' οἰκεῖον ᾖ τὸ τρυφᾶν, καὶ μὴ πόρρω τοῦ συγκαλέσαντος. ἢ βούλεσθε (καὶ γὰρ ἐγὼ σήμερον ἑστιάτωρ ὑμῖν) ἐγὼ τὸν περὶ τούτων παραθῶ λόγον, τοῖς καλοῖς ὑμῖν δαιτυμόσιν, ὡς οἷόν τε δαψιλῶς τε καὶ φιλοτίμως· ἵν' εἰδῆτε πῶς δύναται τρέφειν ὁ ξένος τοὺς ἐγχωρίους, καὶ τοὺς ἀστικοὺς ὁ ἄγροικος, καὶ τοὺς τρυφῶντας ὁ μὴ τρυφῶν, καὶ τοὺς περιουσίᾳ λαμπροὺς, ὁ πένης τε, καὶ ἀνέστιος; ἄρξομαι δὲ ἐντεῦθεν, καί μοι καθήρασθε, καὶ νοῦν, καὶ

ἀκοὴν, καὶ διάνοιαν, ὅσοι τρυφᾶτε τὰ τοιαῦτα, ἐπειδὴ περὶ Θεοῦ, καὶ θεῖος ὁ λόγος, ἵν' ἀπέλθητε τρυφήσαντες ὄντως τὰ μὴ κενούμενα. ἔσται δὲ ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος, ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον. Θεὸς ἦν μὲν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται, μᾶλλον δὲ ἔστιν ἀεί. τὸ γὰρ ἦν, καὶ ἔσται, τῶν καθ' ἡμᾶς χρόνου τμήματα, καὶ τῆς ῥευστῆς φύσεως. ὁ δὲ ὢν ἀεὶ, καὶ τοῦτο αὐτὸς ἑαυτὸν ὀνομάζει τῷ Μωϋσεῖ χρηματίζων ἐπὶ τοῦ ὄρους. ὅλον γὰρ ἐν ἑαυτῷ συλλαβὼν ἔχει τὸ εἶναι, μήτε ἀρξάμενον, μήτε παυσόμενον, οἷόν τι πέλαγος οὐσίας ἄπειρον καὶ ἀόριστον, πᾶσαν ὑπερεκπῖπτον ἔννοιαν καὶ χρόνου καὶ φύσεως, νῷ μόνῳ σκιαγραφούμενον, καὶ τούτῳ λίαν ἀμυδρῶς καὶ μετρίως, οὐκ ἐκ τῶν κατ' αὐτὸν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν, ἄλλης ἐξ ἄλλου φαντασίας συλλεγομένης εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα, πρὶν κρατηθῆναι, φεῦγον, καὶ πρὶν νοηθῆναι, διαδιδράσκον, τοσοῦτον περιλάμπον ἡμῶν τὸ ἡγεμονικὸν, καὶ ταῦτα κεκαθαρμένων, ὅσα καὶ ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης. ἐμοὶ δοκεῖν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτό. (τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον, καὶ ἀνεπιχείρητον) τῷ δὲ ἀλήπτῳ θαυμάζηται· θαυμαζόμενον δὲ, ποθῆται πλέον. ποθούμενον δὲ, καθαίρῃ· καθαῖρον δὲ, θεοειδεῖς ἀπεργάζηται· τοιούτοις δὲ γενομένοις ὡς οἰκείοις ἤδη προσομιλῇ (τολμᾷ τι νεανικὸν ὁ λόγος) Θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος, καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους. ἄπειρον οὖν τὸ θεῖον, καὶ δυσθεώρητον, καὶ τοῦτο πάντῃ καταληπτὸν αὐτοῦ μόνον ἡ ἀπειρία, κἄν τις οἴηται τὸ ἁπλῆς εἶναι φύσεως, ἢ ὅλον ἄληπτον εἶναι, ἢ τελέως ληπτόν. τί γὰρ ὂν, ἁπλῆς ἐστι φύσεως ἐπιζητήσωμεν· οὐ γὰρ δὴ τοῦτο φύσις αὐτοῦ ἡ ἁπλότης, εἴπερ μηδὲ τοῖς συνθέτοις, μόνον τὸ εἶναι συνθέτοις. διχῇ δὲ τοῦ ἀπείρου θεωρουμένου, κατά τε ἀρχὴν καὶ τέλος (τὸ γὰρ ὑπὲρ ταῦτα, καὶ μὴ ἐν τούτοις ἄπειρον) ὅταν μὲν εἰς τὸν ἄνω βυθὸν ὁ νοῦς ἀποβλέψῃ, οὐκ ἔχων ὅποι στῇ καὶ ἀπερείσηται ταῖς περὶ Θεοῦ φαντασίαις

ἰδίως, τὴν ἐνταῦθα ἄπειρον καὶ ἀνέκβατον, ἄναρχον προσηγόρευσεν. ὅταν δὲ εἰς τὰ κάτω καὶ τὰ ἑξῆς, ἀθάνατον καὶ ἀνώλεθρον. ὅταν δὲ συνέλῃ τὸ πᾶν, αἰώνιον. αἰὼν γὰρ οὔτε χρόνος, οὔτε χρόνου τι μέρος, οὐδὲ γὰρ μετρητόν. ἀλλ' ὅπερ ἡμῖν ὁ χρόνος ἡλίου φορᾷ μετρούμενος, τοῦτο τοῖς ἀϊδίοις αἰών, τὸ συμπαρεκτεινόμενον τοῖς οὖσιν, οἷόν τι χρονικὸν κίνημα καὶ διάστημα. ταῦτά μοι περὶ Θεοῦ πεφιλοσοφήσθω τανῦν. οὐδὲ γὰρ ὑπὲρ ταῦτα καιρός, ὅτι μὴ θεολογία τὸ προκείμενον ἡμῖν, ἀλλ' οἰκονομία. Θεοῦ δὲ ὅταν εἴπω, λέγω, Πατρός, καὶ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος. οὔτε ὑπὲρ ταῦτα τῆς θεότητος χεομένης, ἵνα μὴ δῆμον Θεῶν εἰσαγάγωμεν, οὔτε ἐντὸς τούτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακριθῶμεν, ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες, ἢ διὰ τὴν ἀφθονίαν Ἑλληνίζοντες. τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται. οὕτω μὲν οὖν τὰ Ἅγια τῶν Ἁγίων, ἃ καὶ τοῖς Σεραφὶμ συγκαλύπτεται καὶ δοξάζεται τρισὶν ἁγιασμοῖς, εἰς μίαν συνιοῦσι κυριότητα καὶ θεότητα, ὃ καὶ ἄλλῳ τινὶ τῶν πρὸ ἡμῶν πεφιλοσόφηται κάλλιστά τε καὶ ὑψηλότατα. ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τὸ κινεῖσθαι μόνον τῇ ἑαυτῆς θεωρίᾳ, ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα. τοῦτο γὰρ τῆς ἄκρας ἦν ἀγαθότητος, πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους, καὶ τὸ ἐννόημα ἔργον ἦν Λόγῳ συμπληρούμενον, καὶ Πνεύματι τελειούμενον. καὶ οὕτως ὑπέστησαν λαμπρότητες δεύτεραι, λειτουργοὶ τῆς πρώτης λαμπρότητος. εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην ἐγγυτάτω τῶν εἰρημένων ταύτας ὑποληπτέον. βούλομαι μὲν εἰπεῖν, ὅτι ἀκινήτους πρὸς τὸ κακόν, καὶ μόνην ἐχούσας τὴν τοῦ καλοῦ κίνησιν, ἅτε περὶ Θεὸν οὔσας, καὶ τὰς πρώτας ἐκ Θεοῦ λαμπομένας· τὰ γὰρ ἐνταῦθα, δευτέρας ἐλλάμψεως. πείθει δέ με μὴ ἀκινήτους, ἀλλὰ δυσκινήτους, καὶ ὑπολαμβάνειν ταύτας, καὶ λέγειν, ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ λεγό-

μενος

μενος καὶ λεγόμενος· αἵτε ὑπ' αὐτὸν ἀποστατικαὶ δυνάμεις, δημιουργοὶ τῆς κακίας τῇ τοῦ καλοῦ φυγῇ, καὶ ἡμῖν πρόξενοι. οὕτω μὲν οὖν ὁ νοητὸς αὐτῷ, καὶ διὰ ταῦτα ὑπέστη Κόσμος, ὥς ἐμέ γε περὶ τούτων φιλοσοφῆσαι, μικρῷ λόγῳ τὰ μεγάλα σταθμώμενον. ἐπεὶ δὲ τὰ πρῶτα καλῶς εἶχεν αὐτῷ, δεύτερον ἐννοεῖ Κόσμον ὑλικὸν καὶ ὁρώμενον, καὶ οὗτός ἐστι τὸ ἐξ Οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα. ἐπαινετὸν μὲν τῆς καθ' ἕκαστον εὐφυΐας, ἀξιεπαινετώτερον δὲ, τῆς ἐξ ἁπάντων εὐαρμοστίας, καὶ συμφωνίας, ἄλλου πρὸς ἄλλο τι καλῶς ἔχοντος, καὶ πάντων πρὸς ἅπαντα, εἰς ἑνὸς Κόσμου συμπλήρωσιν, ἵνα δείξῃ, μὴ μόνον οἰκείαν ἑαυτῷ φύσιν, ἀλλὰ καὶ πάντῃ ξένην ὑποστήσασθαι δυνατὸς ὤν. οἰκεῖον μὲν γὰρ Θεότητος, αἱ νοεραὶ φύσεις, καὶ νῷ μόνῳ ληπταὶ, ξένον δὲ παντάπασιν ὅσαι ὑπὸ τὴν αἴσθησιν, καὶ τούτων αὐτῶν ἔτι πορρωτέρω, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι. ἀλλὰ τί τούτων ἡμῖν τάχα ἂν εἴποι τις τῶν λίαν φιλεόρτων καὶ θερμοτέρων; κέντει τὸν πῶλον περὶ τὴν νύσσαν, τὰ τῆς ἑορτῆς ἡμῖν φιλοσόφει, καὶ οἷς προκαθεζόμεθα σήμερον. τοῦτο δὲ καὶ ποιήσω. καὶ εἰ μακρὸν ἄνωθεν ἠρξάμην, ὑπὸ τοῦ πόθου καὶ τοῦ λόγου βιασαμένων. Νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις, οὕτως ἀπ' ἀλλήλων διακριθέντα, τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν, καὶ τὸ τοῦ δημιουργοῦ Λόγου μεγαλεῖον ἐν ἑαυτοῖς ἔφερον, σιγῶντες ἐπαινέται τῆς μεγαλουργίας, καὶ διαπρύσιοι κήρυκες. οὔπω δ' ἦν κρᾶμα ἐξ ἀμφοτέρων, οὐδέ τις μίξις τῶν ἐναντίων, σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας, οὐδὲ ὁ πᾶς πλοῦτος τῆς ἀγαθότητος γνώριμος. τοῦτο δὴ βουληθεὶς ὁ τεχνίτης ἐπιδείξασθαι Λόγος, καὶ ζῶον ἓν ἐξ ἀμφοτέρων, ἀοράτου τε λέγω καὶ ὁρατῆς φύσεως, δημιουργεῖ τὸν ἄνθρωπον, καὶ παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα, ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθείς. ὃ δὴ, νοερὰν ψυχὴν καὶ εἰκόνα Θεοῦ οἶδεν ὁ Λόγος, οἷόν τινα Κόσμον δεύτερον, ἐν μικρῷ μέγαν ἐπὶ τῆς γῆς ἵστησιν. Ἄγγελον ἄλλον, προσκυνητὴν μικτὸν, ἐπόπτην τῆς

ὁρα-

ὁρατῆς κτίσεως, μύστην τῆς νοουμένης, βασιλέα τῶν ἐπὶ γῆς, βασιλευόμενον ἄνωθεν, ἐπίγειον καὶ οὐράνιον, πρόσκαιρον καὶ ἀθάνατον, ὁρατὸν καὶ νοούμενον, μέσον μεγέθους καὶ ταπεινότητος. τὸν αὐτὸν, πνεῦμα καὶ σάρκα· πνεῦμα, διὰ τὴν χάριν, σάρκα, διὰ τὴν ἔπαρσιν. τὸ μὲν, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην, τὸ δὲ, ἵνα πάσχῃ, καὶ πάσχων ὑπομιμνήσκηται καὶ παιδεύηται τῷ μεγέθει φιλοτιμούμενος. ζῶον ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον, καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς Θεὸν νεύσει θεούμενον. εἰς τοῦτο γάρ ἐμοὶ φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν, ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσαντος, καὶ αὖθις συνδήσοντος, ὑψηλότερον, τοῦτον ἔθετο μὲν ἐν τῷ Παραδείσῳ· ὅς τίς ποτε ἦν ὁ Παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον, ἢ τοῦ παρασχόντος τὰ σπέρματα, φυτῶν ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως τῶν τε ἁπλουστέρων, καὶ τῶν τελεωτέρων, γυμνὸν τῇ ἁπλότητι, καὶ ζωῇ τῇ ἀτέχνῳ, καὶ δίχα παντὸς ἐπικαλύμματος καὶ προβλήματος. τοιοῦτον γὰρ ἔπρεπεν εἶναι τὸν ἀπ' ἀρχῆς. καὶ δίδωσι νόμον, ὕλην τῷ αὐτεξουσίῳ, ὁ δὲ νόμος, ἦν ἐντολὴ, ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὗ μὴ προσαπτέον· τὸ δὲ ἦν τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ' ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς (μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν) ἀλλὰ καλὸν μὲν, εὐκαίρως μεταλαμβανόμενον. θεωρία γὰρ ἦν τὸ φυτὸν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς, τοῖς τὴν ἕξιν τελεωτέροις. οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι, καὶ τὴν ἔφεσιν λιχνοτέροις. ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς, τοῖς ἁπαλοῖς ἔτι καὶ δεομένοις γάλακτος. Ἐπεὶ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς ἐπηρείᾳ, ἧς τε ἔπαθεν ὡς ἁπαλωτέρα, καὶ ἧς προσήγαγεν ὡς πιθανωτέρα, φεῦ τῆς ἐμῆς ἀσθενείας· (ἐμὴ γὰρ ἡ τοῦ Προπάτορος,) τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης, καὶ ἡττήθη τῆς πικρᾶς γεύσεως, ὁμοῦ τε τοῦ τῆς ζωῆς ξύ-

λου,

λου, καὶ τοῦ Παραδείσου, καὶ τοῦ Θεοῦ διὰ τὴν κακίαν ἐξόριστος γίνεται, καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ ἀντίτυπον. καὶ τοῦτο πρῶτον, γινώσκει τὴν ἰδίαν αἰσχύνην, καὶ ἀπὸ Θεοῦ κρύπτεται. κερδαίνει μέντοι κἀνταῦθα τὸν θάνατον, καὶ τὸ διακοπῆναι τὴν ἁμαρτίαν, ἵνα μὴ ἀθάνατον ᾖ τὸ κακόν, καὶ γίνεται φιλανθρωπία ἡ τιμωρία. οὕτω γὰρ ἐγὼ πείθομαι κολάζειν Θεόν. Πολλοῖς δὲ παιδευθεὶς πρότερον, ἀντὶ πολλῶν τῶν ἁμαρτημάτων, ὧν ἡ τῆς κακίας ῥίζα ἐβλάστησε, κατὰ διαφόρους αἰτίας καὶ χρόνους, λόγῳ, νόμῳ, Προφήταις, εὐεργεσίαις, ἀπειλαῖς, πληγαῖς, ὕδασιν, ἐμπρησμοῖς, πολέμοις, νίκαις, ἥτταις, σημείοις ἐξ Οὐρανοῦ, σημείοις ἐξ ἀέρος, ἐκ γῆς, ἐκ θαλάττης, ἀνδρῶν, πόλεων, ἐθνῶν ἀνελπίστοις μεταβολαῖς, ὑφ' ὧν ἐκτριβῆναι τὴν κακίαν τὸ σπουδαζόμενον ἦν· τέλος ἰσχυροτέρου δεῖται φαρμάκου, ἐπὶ δεινοτέροις τοῖς ἀρρωστήμασιν, ἀλληλοφονίαις, μοιχείαις, ἐπιορκίαις, ἀνδρομανίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον, εἰδωλολατρείαις, καὶ τῇ μεταθέσει τῆς προσκυνήσεως ἀπὸ τοῦ πεποιηκότος ἐπὶ τὰ κτίσματα. Ταῦτα, ἐπειδὴ μείζονος ἐδεῖτο τοῦ βοηθήματος, μείζονος καὶ τυγχάνει. τὸ δὲ ἦν, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ προαιώνιος, ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ὁ ἀσώματος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ μὴ κινουμένη σφραγίς, ἡ ἀπαράλλακτος εἰκών, ὁ τοῦ Πατρὸς ὅρος καὶ λόγος· ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σάρκα φορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος. κυηθεὶς μὲν ἐκ τῆς Παρθένου καὶ ψυχὴν καὶ σάρκα προκαθαρθείσης τῷ Πνεύματι (ἔδει γὰρ καὶ γέννησιν τιμηθῆναι, καὶ παρθενίαν προτιμηθῆναι) προελθὼν δὲ Θεὸς μετὰ τῆς προσλήψεως ἓν ἐκ δύο τῶν ἐναντίων σαρκὸς καὶ πνεύματος. ὧν τὸ μὲν, ἐθέωσε, τὸ δὲ, ἐθεώθη. ὢ τῆς καινῆς μίξεως. ὢ τῆς παραδόξου

κρά·

κράσεως. ὁ ὢν, γίνεται, καὶ ὁ ἄκτιστος, κτίζεται, καὶ ὁ ἀχώρητος, χωρεῖται διὰ μέσης ψυχῆς νοερᾶς μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι, καὶ ὁ πλουτίζων, πτωχεύει· πτωχεύει γὰρ τὴν ἐμὴν σάρκα, ἵν' ἐγὼ πλουτήσω τὴν αὐτοῦ θεότητα· καὶ ὁ πλήρης, κενοῦται· κενοῦται γὰρ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν, ἵν' ἐγὼ τῆς ἐκείνου μεταλάβω πληρώσεως. τίς ὁ πλοῦτος τῆς ἀγαθότητος; τί τὸ περὶ ἐμὲ τοῦτο μυστήριον; μετέλαβον τῆς εἰκόνος, καὶ οὐκ ἐφύλαξα. μεταλαμβάνει τῆς ἐμῆς σαρκὸς, ἵνα καὶ τὴν εἰκόνα σώσῃ, καὶ τὴν σάρκα ἀθανατίσῃ. δευτέραν κοινωνεῖ κοινωνίαν, πολὺ τῆς προτέρας παραδοξοτέραν, ὅσῳ τότε μὲν τοῦ κρείττονος μετέδωκε, νῦν δὲ μεταλαμβάνει τοῦ χείρονος. τοῦτο τοῦ προτέρου θεοειδέστερον, τοῦτο τοῖς νοῦν ἔχουσιν ὑψηλότερον. πρὸς ταῦτα τί φασιν ἡμῖν οἱ συκοφάνται, οἱ πικροὶ τῆς θεότητος λογισταὶ, οἱ κατήγοροι τῶν ἐπαινουμένων, οἱ σκοτεινοὶ περὶ τὸ φῶς, οἱ περὶ τὴν σοφίαν ἀπαίδευτοι, ὑπὲρ ὧν Χριστὸς δωρεὰν ἀπέθανε, τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ πλάσματα; τοῦτο ἐγκαλεῖς Θεῷ τὴν εὐεργεσίαν; διὰ τοῦτο μικρὸς, ὅτι διὰ σὲ ταπεινός; ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν ὁ Ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, ἐπὶ τὰ ὄρη, καὶ τοὺς βουνοὺς, ἐφ' ὧν ἐθυσίαζες, καὶ πλανώμενον εὗρε, καὶ εὑρὼν, ἐπὶ τῶν ὤμων ἀνέλαβεν, ἐφ' ὧν καὶ τὸ ξύλον, καὶ λαβὼν, ἐπανήγαγεν ἐπὶ τὴν ἄνω ζωὴν, καὶ ἀναγαγὼν, τοῖς μένουσι συνηρίθμησεν; ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε, τῆς ἁμαρτίας τὸν Κόσμον ἀποκαθαίρων, καὶ τὴν δραχμὴν ἐζήτησε, τὴν βασιλικὴν εἰκόνα συγκεχωσμένην τοῖς πάθεσι, καὶ συγκαλεῖ τὰς φίλας αὐτοῦ δυνάμεις ἐπὶ τῇ τῆς δραχμῆς εὑρέσει, καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης, ἃς καὶ τῆς οἰκονομίας μύστιδας πεποίητο; ὅτι τῷ Προδρόμῳ λύχνῳ τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον, καὶ τῇ φωνῇ ὁ Λόγος, καὶ τῷ νυμφαγωγῷ ὁ νυμφίος, κατασκευάζοντι Κυρίῳ λαὸν περιούσιον, καὶ προκαθαίροντι ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ ὕδατος; ταῦτα ἐγκαλεῖς

τῷ

τῷ Θεῷ; διὰ ταῦτα ὑπολαμβάνεις χείρονα; ὅτι λεντίῳ διαζώννυται, καὶ νίπτει τοὺς πόδας τῶν Μαθητῶν, καὶ δείκνυσιν ἀρίστην ὁδὸν ὑψώσεως τὴν ταπείνωσιν; ὅτι διὰ τὴν συγκύπτουσαν χαμαὶ ψυχὴν ταπεινοῦται, ἵνα καὶ συνανυψώσῃ τὸ κάτω νεῦον ὑπὸ τῆς ἁμαρτίας; ἐκεῖνο δὲ πῶς οὐ κατηγορεῖς; ὅτι καὶ μετὰ τελωνῶν ἐσθίει, καὶ παρὰ τελώναις, καὶ μαθητεύει τελώνας, ἵνα καὶ αὐτός τι κερδάνῃ. τί τοῦτο; τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν, εἰ μὴ καὶ τὸν ἰατρὸν αἰτιῷτό τις, ὅτι συγκύπτει ἐπὶ τὰ πάθη, καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγείαν τοῖς κάμνουσι, καὶ τὸν ἐπικλινόμενον βόθρῳ διὰ φιλανθρωπίαν, ἵνα τὸ ἐμπεπτωκὸς κτῆνος κατὰ τὸν νόμον ἀνασώσηται; ἀπεστάλη μὲν, ἀλλ᾽ ὡς ἄνθρωπος, διπλοῦς γὰρ ἦν· ἐπεὶ καὶ ἐκοπίασε, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἠγωνίασε, καὶ ἐδάκρυσε νόμῳ σώματος· εἰ δὲ καὶ ὡς Θεὸς, τί τοῦτο; τὴν εὐδοκίαν τοῦ Πατρὸς, ἀποστολὴν εἶναι νόμισον, ἐφ᾽ ὃν ἀναφέρει τὰ ἑαυτοῦ, καὶ ὡς ἀρχὴν τιμῶν ἄχρονον, καὶ τὸ μὴ δοκεῖν εἶναι ἀντίθεος. ἐπεὶ καὶ παραδεδόσθαι λέγεται, ἀλλὰ καὶ ἑαυτὸν παραδεδωκέναι γέγραπται, καὶ ἐγηγέρθαι παρὰ τοῦ Πατρὸς, καὶ ἀνειλῆφθαι, ἀλλὰ καὶ ἑαυτὸν ἀνεστακέναι καὶ ἀνεληλυθέναι πάλιν. ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας, σὺ δὲ τὰ μὲν ἐλαττοῦντα λέγεις, τὰ ὑψοῦντα δὲ παρατρέχεις; καὶ ὅτι μὲν ἔπαθε λογίζῃ, ὅτι δὲ ἑκὼν, οὐ προστίθης; οἷα πάσχει καὶ νῦν ὁ Λόγος· ὑπὸ μὲν τῶν, ὡς Θεὸς τιμᾶται καὶ συναλείφεται, ὑπὸ δὲ τῶν, ὡς σὰρξ ἀτιμάζεται καὶ χωρίζεται. τίσιν ὀργισθῇ πλέον; μᾶλλον δὲ τίσιν ἀφῇ; τοῖς συναιροῦσι κακῶς, ἢ τοῖς τέμνουσι; καὶ γὰρ κἀκείνους διαιρεῖν ἔδει, καὶ τούτους συνάπτειν, τοὺς μὲν τῷ ἀριθμῷ, τοὺς δὲ τῇ θεότητι. προσκόπτεις τῇ σαρκί; τοῦτο καὶ Ἰουδαῖοι. ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς; καὶ τὸ ἑξῆς σιωπήσομαι, ἀπιστεῖς τῇ θεότητι; τοῦτο οὐδὲ οἱ δαίμονες, ὦ καὶ δαιμόνων ἀπιστότερε, καὶ Ἰουδαίων ἀγνωμονέστερε. ἐκεῖνοι τὴν τοῦ Υἱοῦ προσηγορίαν ὁμοτιμίας φωνὴν ἐνόμισαν. οὗτοι τὸν ἐλαύνοντα Θεὸν ᾔδεσαν· ἐπείθοντο γὰρ ἐξ ὧν ἔπασχον· σὺ δὲ οὐ

τὴν

τὴν ἰσότητα δέχῃ, οὐδὲ ὁμολογεῖς τὴν θεότητα· κρεῖττον ἦν σοι περιτετμῆσθαι καὶ δαιμονᾷν (ἵν' εἴπω τι καὶ γελοίως) ἢ ἐν ἀκροβυστίᾳ καὶ ὑγιείᾳ διακεῖσθαι πονηρῶς καὶ ἀθέως. μικρὸν μὲν ὕστερον ὄψει καὶ καθαιρόμενον Ἰησοῦν ἐν τῷ Ἰορδάνῃ, τὴν ἐμὴν κάθαρσιν, μᾶλλον δὲ ἁγνίζοντα τῇ καθάρσει τὰ ὕδατα (οὐ γὰρ δὴ αὐτὸς ἐδεῖτο καθάρσεως ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου) καὶ σχιζομένους τοὺς Οὐρανοὺς, καὶ ὑπὸ τοῦ συγγενοῦς Πνεύματος μαρτυρούμενον, καὶ πειραζόμενον, καὶ νικῶντα, καὶ ὑπὸ Ἀγγέλων ὑπηρετούμενον, καὶ θεραπεύοντα πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν, καὶ ζωοποιοῦντα νεκροὺς (ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον,) καὶ δαίμονας ἀπελαύνοντα· τὰ μὲν δι' ἑαυτοῦ, τὰ δὲ διὰ τῶν Μαθητῶν. καὶ ἄρτοις ὀλίγοις τρέφοντα μυριάδας, καὶ πεζεύοντα πέλαγος, καὶ προδιδόμενον, καὶ σταυρούμενον, καὶ συσταυροῦντα τὴν ἐμὴν ἁμαρτίαν. ὡς ἀμνὸν προσαγόμενον, καὶ ὡς ἱερέα προσάγοντα· ὡς ἄνθρωπον θαπτόμενον, καὶ ὡς Θεὸν ἐγειρόμενον, εἶτα καὶ ἀνερχόμενον, καὶ ἥξοντα μετὰ τῆς ἑαυτοῦ δόξης. πόσαι μοι πανηγύρεις καθ' ἕκαστον τῶν τοῦ Χριστοῦ μυστηρίων; ὧν ἁπάντων κεφάλαιον ἕν, ἡ ἐμὴ τελείωσις καὶ ἀνάπλασις, καὶ πρὸς τὸν πρῶτον Ἀδὰμ ἐπάνοδος. νυνὶ δέ μοι δέξαι τὴν κύησιν, καὶ προσκίρτησον, εἰ καὶ μὴ ὡς Ἰωάννης ἀπὸ γαστρὸς, ἀλλ' ὡς Δαβὶδ ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ. καὶ τὴν ἀπογραφὴν αἰδέσθητι, δι' ἣν εἰς Οὐρανοὺς ἐγράφης, καὶ τὴν γέννησιν σεβάσθητι, δι' ἣν ἐλύθης τῶν δεσμῶν τῆς γεννήσεως. καὶ τὴν Βηθλεὲμ τίμησον τὴν μικρὰν, ἥ σε πρὸς τὸν Παράδεισον ἐπανήγαγε. καὶ τὴν φάτνην προσκύνησον, δι' ἣν ἄλογος ὢν ἐτράφης ὑπὸ τοῦ Λόγου. γνῶθι ὡς βοῦς τὸν κτησάμενον (Ἡσαΐας διακελεύεταί σοι) καὶ ὡς ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. εἴτε τῶν καθαρῶν τις εἶ, καὶ ὑπὸ τὸν νόμον, καὶ μηρυκισμὸν ἀναγόντων τοῦ λόγου, καὶ πρὸς θυσίαν ἐπιτηδείων, εἴτε τῶν ἀκαθάρτων τέως, ἀβρώτων, καὶ ἀθύτων, καὶ τῆς ἐθνικῆς μερίδος. μετὰ τοῦ ἀστέρος δράμε, καὶ μετὰ Μάγων δωροφόρησον, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν,

ὡς

ὡς Βασιλεῖ, καὶ ὡς Θεῷ, καὶ ὡς διὰ σὲ νεκρῷ. μετὰ Ποιμένων δόξασον, μετὰ Ἀγγέλων χόρευσον. μετὰ Ἀρχαγγέλων ὕμνησον. ἔστω κοινὴ πανήγυρις, οὐρανίων καὶ ἐπιγείων δυνάμεων· πείθομαι γὰρ κἀκείνας συναγάλλεσθαι καὶ συμπανηγυρίζειν σήμερον, εἴπερ εἰσὶ φιλάνθρωποι καὶ φιλόθεοι. ὥσπερ οὓς Δαβὶδ εἰσάγει μετὰ τὸ πάθος συνανιούσας Χριστῷ, καὶ προσυπαντώσας καὶ διακελευομένας ἀλλήλαις τὴν τῶν πυλῶν ἔπαρσιν. ἓν μίσησον τῶν περὶ τὴν Χριστοῦ γέννησιν, τὴν Ἡρώδου παιδοκτονίαν· μᾶλλον δὲ καὶ ταύτην αἰδέσθητι, τὴν ἡλικιῶτιν Χριστοῦ θυσίαν, πρὸ τῆς καινῆς σφαγίου προθυομένην. κἂν εἰς Αἴγυπτον φεύγῃ, προθύμως συμφυγαδεύθητι, καλὸν τῷ Χριστῷ συμφεύγειν διωκομένῳ. κἂν ἐν Αἰγύπτῳ βραδύνῃ, κάλεσον αὐτὸν ἐξ Αἰγύπτου καλῶς ἐκεῖ προσκυνούμενον. διὰ πασῶν ὅδευσον ἀμέμπτως τῶν ἡλικιῶν Χριστοῦ, καὶ δυνάμεων. ὡς Χριστοῦ Μαθητὴς ἁγνίσθητι, περιτμήθητι, περιελοῦ τὸ ἀπὸ γενέσεως κάλυμμα. μετὰ τοῦτο δίδαξον ἐν τῷ Ἱερῷ, τοὺς θεοκαπήλους ἀπέλασον. λιθάσθητι αὖ τοῦτο δέῃ παθεῖν, λήσῃ τοὺς βάλλοντας, εὖ οἶδα, φεύξῃ καὶ διὰ μέσου αὐτῶν ὡς Θεός. ὁ Λόγος γὰρ οὐ λιθάζεται. κἂν Ἡρώδῃ προσαχθῇς, μηδὲ ἀποκριθῇς τὰ πλείω, αἰδεσθήσεταί σου καὶ τὴν σιωπὴν πλέον, ἢ ἄλλων τοὺς μακροὺς λόγους. κἂν φραγελλωθῇς, καὶ τὰ λειπόμενα ζήτησον. γεῦσαι χολῆς, διὰ τὴν γεῦσιν, ὄξος ποτίσθητι, ζήτησον ἐμπτύσματα, δέξαι ῥαπίσματα, κολαφίσματα, ἀκάνθαις στεφανώθητι, τῷ τραχεῖ τοῦ κατὰ Θεὸν βίου, περιβαλοῦ τὸ κόκκινον, δέξαι κάλαμον, προσκυνήθητι παρὰ τῶν παιζόντων τὴν ἀλήθειαν. τέλος συσταυρώθητι, συννεκρώθητι, συντάφηθι προθύμως, ἵνα καὶ συναναστῇς, καὶ συνδοξασθῇς, καὶ συμβασιλεύσῃς, Θεὸν ὁρῶν ὅσον ἐστὶ, καὶ ὁρώμενος, τὸν ἐν Τριάδι προσκυνούμενόν τε καὶ δοξαζόμενον· ὃν καὶ νῦν τρανοῦσθαι ἡμῖν εὐχόμεθα, ὅσον ἐφικτὸν τοῖς δεσμίοις τῆς σαρκός, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΣΤΕΡΙΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΑΜΑΣΙΑΣ,

### Ὁμιλία ῥηθεῖσα ἐν πανηγύρει κατὰ πλεονεξίας.

Ἄνδρες Χριστιανοὶ καὶ κλήσεως ἐπουρανίου μέτοχοι ἄνδρες, ὑμεῖς ὁ χωρικὸς δῆμος, καὶ πάντες ὅσοι τῶν πόλεων ἐπιφοιτήσαντες, πρὸς τὴν παροῦσαν συμφώνως ἑορτὴν συνεδράμετε. Κοινῷ γὰρ πάντας ὑμᾶς περιλαμβάνω κηρύγματι. ἆρα ἕκαστος ἡμῶν ἐνέβαλε τῇ διανοίᾳ φροντίδα; συνεῖδε δὲ καὶ κατενόησεν ὑπὲρ τίνος ἠθροίσθημεν; αὐθ' ὅτι δὲ τιμῶνται Μάρτυρες οἴκων περιφανῶν κατασκευαῖς, καὶ ταῖς ἐνιαυσίοις τούτοις συλλόγοις; καὶ πρὸς τίνα σκοπὸν βλέποντες οἱ Πατέρες ἡμῶν ἐνομοθέτησαν τὰ δρώμενα, καὶ ἰσχυρὸν ἀφῆκαν τὸν νόμον τοῖς μετέπειτα; ἢ πρόδηλον καὶ τῷ μικρὸν πυκνώσαντι τὴν διάνοιαν; ὡς ζήλῳ μὲν εὐσεβείας ταῦτα διετυπώθη, καὶ κοινὰ παιδαγωγεῖα τῶν ψυχῶν αἱ πανηγύρεις συνάγονται, ἵνα Μάρτυρας τιμῶντες, τὸ τῶν Μαρτύρων ὑπὲρ εὐσεβείας καρτερὸν μιμησώμεθα. ἵνα τοῖς συναγομένοις παιδευτικῶς ὑποθέντες τὸ οὖς, μάθωμέν τι χρηστὸν, ὃ πρὸ βραχέος οὐκ ἐγινώσκομεν, ἢ δόγματος ἀσφάλειαν, ἢ λύσιν ἀπορουμένης γραφῆς, ἤ τινα λόγον τὴν τῶν ἠθῶν ἐπανορθοῦντα κατάστασιν. ὑμεῖς δέ μοι δοκεῖτε τῆς ἀρετῆς ἐπιμέλειαν ἀφέντες, καὶ τῆς περὶ τὴν ψυχὴν σπουδῆς ἐκλαθόμενοι, ὅλην ἑαυτῶν μετατεθεικέναι τὴν μέριμναν πρὸς τὸν συρφετὸν τοῦ μαμωνᾶ, καὶ τὴν ἀσχολίαν τῶν

πρατηρίων· οἱ μὲν αὐτοὶ συναλλάττοντες, οἱ δὲ κεχηνότες εἰς τὰ ἀλλότρια, καὶ τοὺς ἐπὶ τοῖς ὠνίοις φιλονεικοῦντας ἱστοροῦντες, ὅπως τὰ ἀλλήλων ἐπευωνίζωσιν. ἀλλὰ μετάθετέ μοι τὸν πόθον ἐπὶ τὴν Ἐκκλησίαν, καταλείψατε τὴν φιλαργυρίαν, τὴν ἀγέραιον, τὴν μαινάδα, ἀποστράφητε αὐτὴν ὡς ἄκοσμον ἑταιρίδα, προσγελῶσαν τῷ πλήθει, ταῖς ἀλλοτρίαις ὕλαις καλλωπιζομένην, καὶ τοῖς ἄνθεσι τοῦ φαρμακοπώλου. ἐράσθητε ταύτης τῆς θείας, καὶ σώφρονος, ἐσταλμένης κοσμίως, σεμνὸν καὶ ἀμετεώριστον βλεπούσης. οὕτω γὰρ Σολομὼν ἐν τῇ παροιμιακῇ βίβλῳ φησί· μὴ ἐγκαταλείπῃς αὐτὴν, καὶ ἀνθέξεταί σου· ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε. μὴ παρέλθῃς καταφρονήσας, μὴ δὲ τὰ παρ' ἡμῖν ἐπὶ τῆς τραπέζης ταύτης προκείμενα, διὰ τοῦτο αὐτὰ νομίσῃς ἄτιμα· ἐπειδὴ προῖκά σοι ἔξεστι τὴν κτῆσιν περιποιήσασθαι. ἀλλὰ καὶ μᾶλλον ἐπιθύμησον, ὅτι οὐ καθήμεθα κάπηλοι ζυγὸν, ἢ τρυτάνην φέροντες, οὐδὲ κέρδος ζητοῦμεν τὴν τοῦ Μαθητοῦ σωτηρίαν. ἀνεγνώσθη ἡμῖν ἐκ τῶν πράξεων Παύλου λόγος πρὸς Φῆστον καὶ Ἀγρίππαν. Παύλου τοῦ πιστοῦ Ἀποστόλου καὶ σοφοῦ δημηγόρου. εἶδες πάντως ὦ ἀκροατὰ, εἰ τὸν νοῦν ἐπέστησας, ὅπως καὶ τὴν ἀλήθειαν οὐκ ἀποδίδωσιν ἐκ δειλίας, καὶ τὴν πρὸς Ἀγρίππαν θεραπείαν τῇ παρρησίᾳ κεράσας, τὸ τραχὺ κεντήριον ἐκμαλάσσει πρὸς ἀγαθότητα, ὥσπερ θηρία τινὰ κατεπάδων ταῖς τοῦ λόγου μεταχειρήσεσι. προεφήτευσε καὶ σήμερον Ζαχαρίας, τῶν μεγάλων ἡμῖν μυστηρίων τοῦ μονογενοῦς ὑπανοίγων τὴν θύραν, διὰ τοῦ λίθου τοῦ τοὺς ἑπτὰ βολὰς τῶν ὀφθαλμῶν κεκτημένου, διὰ τῆς χρυσῆς λυχνίας, ἐφ' ἧς οἱ ἑπτὰ λύχνοι, καὶ τὰ δύο στελέχη τῶν ἐλαιῶν. πολλαὶ αἱ ἑξῆς γραφαὶ, πλούσιον τὸν θησαυρὸν τῆς ὠφελείας ἔχουσαι, αἷς ἐβουλόμην πάσαις ἐπελθεῖν, καὶ δεῖξαι ὑμῖν τὴν τῆς πνευματικῆς πανηγύρεως εὐθηνίαν. ἐπείγει δέ με πρὸς τὴν ἔκτισιν τοῦ χρέους ἡ τῆς προτεραίας ὑπόσχεσις. ἀρξάμενοι γὰρ πολλαῖς κατηγορίαις τῆς πλεονεξίας κα-

θά-

θάπτεσθαι, ἐπειδὴ μὴ ἔφθημεν αὐτῆς γυμνῶσαι τὴν ματαιότητα, εἰς τὴν παροῦσαν ἡμέραν τὸν ἔλεγχον τῆς κατηγορίας ὑπερεθέμεθα. ἀκούσατε οὖν καὶ γνῶτε οἱ ἀγνώμονες τῆς ἀληθείας κριταί, ἐπειδὴ μήτε ἄλλοις τισίν, ἀλλὰ τῇ ἑαυτῶν σωτηρίᾳ δικάζετε, καὶ πάσας τὰς κατακρινάσας ψήφους ἐπὶ τὴν ὑπόδικον φέρετε ἕκαστος τῆς ἰδίας ψυχῆς, ὥσπερ οἰκίας, ἢ πόλεως αὐτὴν ἀπελάσαντες. πλεονεξία τοίνυν ἐστὶν οὐ μόνον τὸ ἀργυρίῳ σὺν τοῖς ἄλλοις κτήμασιν ἐπιμαίνεσθαι, καὶ βούλεσθαι τοῖς παροῦσι τὰ μὴ προσόντα συνάπτειν, ἀλλὰ καθολικώτερον εἰπεῖν, τὸ ἐπὶ παντὸς πράγματος πλέον ἔχειν βούλεσθαι τοῦ ὀφειλομένου καὶ ἐπιβάλλοντος. καὶ δὴ τοῦτο τὸ πλημμέλημα πρῶτος ἔπαθεν ὁ διάβολος, Ἀρχάγγελος μὲν ὤν, καὶ ἐπὶ τῆς καλλίστης ζωῆς καὶ τάξεως τεταγμένος, τυραννίδα δὲ καὶ ἐπανάστασιν κατὰ τῆς θεότητος ὀνειρώξας ὁ ματαιόφρων, ἄνωθεν καταβληθείς, καὶ εἰς τὸν περίγειον τοῦτον ἀέρα καταπεσών, κακὸς γείτων τῆς ἡμετέρας ζωῆς. οὔτε γοῦν κατέλαβεν ὃ ἐδίωξε τὴν θεότητα, καὶ ἀπώλεσεν ὃ ἐκέκτητο, τὸν Ἀρχάγγελον, δοῦλος ἄπιστος ταῖς καταμικρὸν τόλμαις εἰς λῃστὴν ἐξελθών, κύων τοῦ παρ᾽ Ἕλλησι μύθου, καὶ τοῦ κρέως στερηθείς, καὶ τῆς σκιᾶς οὐ δραξάμενος. πῶς γὰρ ἀκαταλήπτου πράγματος; μετὰ τοῦτον ὁ πρῶτος ἄνθρωπος εἰς ἡδυπάθειαν δελεασθεὶς ἀπηγορευμένῃ βρώσει τὴν ἀθανασίαν ἀπώλεσεν, ὡς Ἡσαῦ ὕστερον διὰ φακῆν τὰ πρωτότοκα. καὶ τὰς διαλέκτους δὲ ταύτας, καὶ τὰς πολλὰς τῶν ἀνθρώπων φωνάς, ἔρως τοῦ πλείονος εἰς τὸν βίον εἰσήγαγεν. οἱ γὰρ τῇ ἀνθρωπίνῃ εὐθηνίᾳ ὑπερμαζήσαντες, βατὸν δὲ ἑαυτοῖς ἔσεσθαι τὸν Οὐρανὸν προσδοκήσαντες, καὶ πύργον γελοῖον ἐπὶ τὴν ἐκείνου ματαιοποιοῦντες ἀνάβασιν, τοὺς ὁμοφώνους ἀνθρώπους ἑτερογλώσσους ἐποίησαν. καὶ τὸ πλέον οὐκ ἔσχον ζητοῦντες, αὐτοί τε συνεχέθησαν, καὶ τὸ γένος τῶν ἀνθρώπων κατέλιπον κάμνειν ἐν ἀπορίαις ἀσήμων φωνῶν, καὶ ἑρμηνειῶν ζητήσει. τί δὲ ὁ Φαραώ; πόθεν ταῖς διαφοραῖς

καὶ ποικίλαις περιέπεσε μάστιξιν; οὐ διὰ πλεονεξίαν, ὅτι ἠ-
βούλεσθαι κύριος εἶναι ξένου λαοῦ, καὶ μηδαμόθεν τῇ ἐκείνου
βασιλείᾳ προσήκοντος; καὶ διὰ τοῦτο τοὺς ἀλλοτρίους οὐκ ἀφεὶς
τοὺς ἰδίους ἀπώλεσε· τοὺς μὲν ἐν πληγῇ τῶν πρωτοτόκων, τοὺς
δὲ ἐν τῇ διώξει τῇ κατὰ θάλασσαν. ἀφίημι γὰρ ποταμοὺς εἰς αἷ-
μα ῥυέντας, καὶ βατράχων ἄπλετον φύσιν, καὶ βρούχου λύ-
μην, καὶ φλυκταινῶν ἐξάνθησιν, καὶ τὸν τετραπόδων τὸν θάνα-
τον, καὶ πᾶσαν τὴν κάκωσιν, ἣν Αἴγυπτος κατεδικάσθη διὰ
τὴν πλεονεξίαν τοῦ ἄρχοντος. ἀλλ' ἄγε πάλιν τέλος τῆς ἁμαρ-
τίας κατέμαθον, λέπραν ἀθρόον τῷ πλεονέκτῃ περιχυθεῖ-
σαν. καί μοι συνδιαμνημόνευσον εἴ τις φιλοΐστωρ, καὶ τῶν θαυ-
μάτων Ἐλισσαίου φιλήκοος, ὅπως μὲν ὁ Σύρος Νεε-
μὰν ἐκαθαρίσθη τῆς λέπρας ἐν τῷ Ἰορδάνῃ λουσάμενος, ὅπως
δὲ μετῆλθε τὸ πάθος εἰς Γιεζῆ, τὸ παιδάριον, νεανίσκον πλεο-
νέκτην καὶ ἀφιλόσοφον, πνευματικὸν πωλήσαντα χάρισμα,
καὶ τὴν ἄμισθον ἰατρείαν τοῦ Διδασκάλου. Πόθεν ὁ Ἀβεσσαλὼμ
πατραλοίας ἐγένετο, ὁ τῇ ὀργῇ πατρὸς φλεγμαίνων καὶ θρα-
σὺς νεανίσκος; οὐ πρὸ καιροῦ ζητήσας τὴν κληρονομίαν τῆς
Βασιλείας, ἐπιπηδήσας δὲ τοῖς ἀλλοτρίοις ὡς ἅρπαξ; τὸν
Ἰούδαν δὲ πάλιν τίς τοῦ καταλόγου τῶν Μαθητῶν ἐξέβαλεν, καὶ
ποιῆσαι δὲ προδότην ἀντ' Ἀποστόλου; οὐ τὸ γαζοφυλάκιον τὸ
τῶν ῥᾳδιουργημένων, ἐξ ὧν ἡ κτῆσις τῆς ἀτίμου τιμῆς; Ἀνα-
νίαν καὶ Σάπφειραν διατί ἐθανάτωσαν τῶν Ἀποστόλων αἱ ἀπει-
λαί; οὐκ ἐπειδὴ τῶν ἰδίων ἐγένοντο κλέπται, καὶ τῶν οἰκείων
ἀναθημάτων ἱερόσυλοι; ἐπιλείψει με ὁ χρόνος καὶ ἡ ἡμέρα τοὺς
τῆς πλεονεξίας ὑπηρέτας ἀπαριθμούμενον. Ἀφέντες δὲ τῆς
Παλαιᾶς Ἱστορίας, τὴν πεῖραν ἐξετάσωμεν τὴν παρακολου-
θοῦσαν τῷ βίῳ. οἷον εἶδος θηρίου τὴν πλεονεξίαν, καὶ ὡς ἀ-
λάβηταί δυσαπάλλακτον, ἀκμάζον ἀεὶ καὶ οὐ μαραινόμενον,
συγγηράσκον δὲ τοῖς ἁλοῦσι καὶ εἰς τέλος συμμένον. ὁ λάγνος καὶ
σωμάτων ἐραστής, κἂν ἐπὶ πολὺ ταῖς ἐπιθυμίαις λυσσήσῃ,

ἂν αὐ-

ἢ αὐτὸς εἰς πρεσβυτικὴν ἡλικίαν ἐλθὼν, ἢ τὸ ποθούμενον ἑωρακὼς παλαιωθὲν, καὶ τὸ ἄνθος ἀποβαλὸν, στάσιν δέδωκε τῆς νόσου. ὁ γαστρίμαργος ἀναχωρεῖ καὶ αὐτὸς τῆς φιληδονίας, ἢ τοῦ κόρου πληρωθέντος, ἢ τῶν πεπτικῶν μορίων ἀσθενησάντων, καὶ παυσάντων τὴν ἐπιτεταμένην ὄρεξιν. ὁ φιλόδοξος πολλαῖς ἐγκομπάσας περιφανείαις, τοῦ φιλοτιμεῖν ἀπολήγει. ἡ δὲ τῆς πλεονεξίας νόσος κακόν ἐστι δυσαπάλλακτον. καὶ ὥσπερ ὁ κισσὸς οὗτος, τὸ εὐθαλὲς φυτὸν καὶ ἀείφυλλον, ἐπὶ τὰ παραπεφυκότα τῶν δένδρων ἀνέρπων, ἰσχυρῶς περιπλέκεται τοῖς ξύλοις, ὧνπερ ἂν δράξηται, καὶ οὔτε πεπονθότων, οὔτε ξηρανθέντων ἀναχωρεῖ, εἰ μή τις αὐτοῦ σιδήρῳ καθάπερ δράκοντος διατέμῃ τοὺς ἑλιγμούς· οὕτως οὐδὲ τοιαύτην ψυχὴν ἐλευθερῶσαι ῥᾴδιον, οὔτε νεάζοντος τοῦ σώματος, οὔτε καὶ ἀπομαρανθέντος, ἐὰν μή τις νηφάλιος λογισμὸς ἐπελθὼν, ὡς μάχαιρα διακόψῃ τὴν νόσον. τοῖς οἰκείοις ὁ πλεονέκτης ἐστὶν ἀηδὴς, οἰκέταις βαρὺς, φίλοις ἄχρηστος, ξένοις δυσέντευκτος, γείτοσιν ὀχληρὸς, γυναικὶ μοχθηρὸς σύνοικος, παίδων φειδωλὸς, καὶ μικρολόγος τροφεὺς, ἑαυτοῦ κακὸς ἐπιστάτης, νύκτωρ φροντίζων, μεθ᾽ ἡμέραν πεπυκνωμένος, διαλογιζόμενος ἑαυτῷ καὶ τοὺς ἐξεστηκότας, ἢ περιγράψαντας. πάντων ἀθυμούμενος καὶ στένων ὡς ἐνδεὴς, τῶν παρόντων οὐκ ἀπολαύων, καὶ τὰ ἀπόντα ζητῶν, τοῖς ἰδίοις οὐ κεχρημένος, ἐποφθαλμιῶν δὲ τοῖς ἀλλοτρίοις. πολύαρνον τοῦ γείτονος τὸ ποίμνιον, στενοῖ τοὺς σηκοὺς, ἐφ᾽ ὧν κατακλείεται, κωλύει τὰς πιδάκας, ἐν αἷς νέμεται. κἂν εὔσαρκον ὀφθῇ τοῦ προσοίκου πρόβατον, ἀφεὶς τὴν ἰδίαν ἀγέλην, τῷ ξένῳ καὶ ἀλλοτρίῳ τῇ ἐπιθυμίᾳ προσκάθηται. τὸ αὐτὸ καὶ ἐπὶ τῶν βοῶν, ὁμοίως ἐπὶ τῶν ἵππων, οὐκ ἄλλως ἐστὶ τῆς γῆς ἢ πάντα στενοχωρεῖ τὴν οἰκίαν, καὶ οὐδὲν ἐν τῇ χρήσει. οὐδὲ γὰρ ἀπολαυστικὸν οἷόν τε εἶναι τὸν ἄπληστον. ἀλλ᾽ ἔστιν αὐτοῦ οἰκία τάφῳ παραπλησία. ἰδοὺ γὰρ οἱ τάφοι γέμουσι πολλάκις ἀργυρίου καὶ χρυσίου, ἀλλ᾽ οὐκ ὠφελ

τὰς χρωμένους οὐκ ἔχουσι. τὸ σῶμα οὐ τρέφεται, ψυχῆς οὐχ εὑρίσκεται κέρδος. οὐκ εὐθυμεῖ γὰρ ἐκ τῆς δεξιᾶς ἡ ἐλεημοσύνη. τί δὲ τέλος τοῦ μόχθου, διδαξάτωμεν τὶς τῶν ταύτῃ προειλημμένων τῇ νόσῳ. οἶδα δὲ πολλοὺς ἐγὼ γνωρίσας ἐπὶ τῆς πείρας, ὡς καὶ ἐν νόσοις μᾶλλον τῆς ὑγείας ἀγαπῶσι τὰ χρήματα, κἂν μὲν ὁ ἰατρὸς διά τινος ὕλης εὐώνου τὸν τῆς θεραπείας εἰσηγήσηται τρόπον, οἷον διὰ σελίνου, ἢ θύμου, ἢ ἀνήθου, ὧν ἡ εὐπορία ἀδάπανος, εὐπειθῶς τῆς συμβουλῆς ὑπακούοντας, ἂν δέ τινος φαρμάκου γένηται μνήμη, τῶν οἷα τὰ ποικίλα, καὶ πολυσύνθετα, καὶ ἐλθεῖν πρὸς τὸν φαρμακοπώλην, ἢ τὸ μυροπωλεῖον κελευσθῶσι, θᾶττον τὴν ψυχὴν ἀφιέντας, ἢ λύοντας τὸ βαλάντιον· γήϊνοι γὰρ ὄντες τὸ φρόνημα, τὴν κτῆσιν τῶν γηΐνων ὑλῶν νομίζουσι τὴν ζωήν. τούτους λυποῦσιν ἄγαν καὶ αἱ κοιναὶ εὐπραγίαι, εὐφραίνουσι δὲ αἱ περιστάσεις· εὔχονται καὶ φόρων ἀνυποίστων φοιτᾶν ἐπιτάγματα, ἵνα τόκοις πλεονάσωσι τὸ ἀργύριον. ἐπιθυμοῦσι βλέπειν τοὺς παρὰ τῶν δανειστῶν ἀγχομένους, ἵνα κτήσωνται τὸν ἀγρὸν, ἢ τὸ σκεῦος, ἢ τὸ ζῶον, εὐώνως ἐκ τῆς ἀνάγκης ῥιπτόμενον. συνεχῶς δὲ καὶ πρὸς τὸν Οὐρανὸν ἀναβλέπουσι κατὰ τοὺς φιλοσόφους τὰ μετέωρα φροντίζοντας, οὐκ ἀστέρος ἀνατολὴν ζητοῦντες, οὐδέ τις οἶκος, ἕνα τῶν πλανητῶν ἔχει περισκοπούμενοι, ἀλλὰ τὴν τοῦ ἀέρος πολυπραγμονοῦντες κατάστασιν, εἰ τὰ προφαινόμενα σημεῖα ὄμβρων ἐπιρροὴν, ἢ αὐχμὸν ἐπαγγέλλεται. κἂν ἴδωσί τι τοῖς πολλοῖς δυσχερὲς προσδοκώμενον, εὐφραίνονται τῇ τῶν ἄλλων κακώσει. πάντα συνάγουσιν ἐν τοῖς ταμείοις, ἀσφαλῶς κατασημαίνοντες, καὶ διπλοῖς κλείθροις κατασφαλίζονται, περιμετροῦντες ἀλλήκτως ψηφίζουσιν. ἀσχολούμενος δὲ ὁ πλεονέκτης περὶ τὴν τοιαύτην ἐλπίδα, καὶ τέως ὄναρ πλουτῶν ἐν τῇ σκιαγραφίᾳ τῶν ἐννοιῶν, ἐὰν ἐπιγένηται νέφος βαθὺ, φοβεῖται ὡς κινδυνεύσων. ἂν ψεκάδες τὴν γῆν ἐπιρραίνωσιν, ὑποδακρύειν ἄρχεται. ἂν δὲ καὶ ὑετὸς ἐπιγένηται ἀρκῶν πρὸς αὐχ-

μὸν

μὲν ἐξιάσασθαι, πένθος τέλειον τὸ πρᾶγμα. περινοσεῖ λοιπὸν πᾶσι συσκοπούμενος περὶ τοῦ σίτου, ὡς γοῦν κινδυνεύοντος, τίς ἴασις, τίς μηχανή, ἵνα πρὸς πολὺν αὐταρκέσῃ χρόνον, ἵνα τὴν σηπτὴν διαφύγῃ τὸ πάθος. κἂν αἴσθηται καύσωνος, ὡς οἱ ἰατροὶ τοὺς διαφορουμένους, διαπλώσας αὐτὸν καταμερίζει, καὶ καταψύχει· μοχθῶν προσκαθέζεται, σκέπην καὶ τὴν μεσημβρίαν σοφίζεται, τῆς σκιᾶς νυκτὸς ἀπογυμνοῖ, ἵνα ταῖς αὔραις ταῖς νυκτεριναῖς ἀποπνέηται. ταῦτα αὐτῷ ταλαιπωροῦντι ὁ πένης περιΐσταται ζητῶν ἐκ τοῦ κινδυνεύοντος σίτου, καὶ μὴ δίδωσιν, ἢ δύο φειδωλῶς χαρίζεται, καὶ ἡμιθνήτους, τοῦ σίτου σφόδρα περιεχόμενος. μὴ τοίνυν ἀπέραντα μόχθει καὶ χαλεπὰ ὁ πλοῦτος, παρακαλῶ. ἐλέου μὲν γὰρ ἄξιος, καὶ ὁ τρυφῶν πλεονέκτης, ὁ τῇ γαστρὶ καὶ ταῖς ἄλλαις ἡδοναῖς περιορίζων τὸν βίον, τοῦτο τέλος νομίζων τῆς ἀνθρωπότητος. ὁ δὲ μικροπρεπὴς καὶ σμικρολόγος οὐδὲ μεῖζον ἔχει τῆς ἀθλιότητος, λαμβάνων τὰ τῶν πολλῶν, καὶ ἑαυτῷ μὴ διδούς, εἰς οὐδὲν δὲ καταλήγων τὸ τῆς σπουδῆς ἀποτέλεσμα. τίς γὰρ οὐκ οἶδεν ὡς οὐδὲν τῶν γινομένων, πλὴν τῶν ἀρετῶν, αὐτὸ δι' αὐτὸ γίνεται; ἀλλ' ἑτέρου τινὸς πράττομεν, ἵνα ἄλλο κατορθώσωμεν. οὐδεὶς πλέων δι' αὐτὸ τὸ πλεῖν θαλαττεύει, οὐδὲ γεωργῶν δι' αὐτὸ τὸ γεωργεῖν τοῖς πόνοις συζῇ· ἀλλὰ πρόδηλον, ὡς τοῖς λυπηροῖς ἐγκαρτερῶσιν ἀμφότεροι, ὁ μὲν ἵνα τὴν ἐπικαρπίαν τῆς γῆς, ὁ δὲ ἵνα τὸν πλοῦτον τῆς ναυτικῆς ἐμπορείας κομίσηται. σὺ δὲ τί τὸ σὸν πέρας, εἰπέ. ἵνα συναγάγῃς; καὶ ποῖον τοῦτο τέλος τὸ ἄχρηστον ὕλην σωρεύσαντα βλέπειν; τέρπει μέ φησι καὶ ἡ θέα. οὐκοῦν ἄλλως τὸ σαυτοῦ νόσημα μετελθε. ἔξεστι γὰρ καὶ τοῖς ἀλλοτρίοις χρήμασι προσαναπαύειν τὸν πόθον. εἰ εὐφραίνεσαι τὸ στιλπνὸν τοῦ ἀργυρίου, προσεχθήμενος τοῖς ἀργυροχόοις, ἀπόβλεπε πρὸς τὴν πυκνὴν καὶ στίλβουσαν αὐγήν, ἢ καὶ τὰ πρατήρια καταλαμβάνων, τέρπου τοῖς ποικίλοις σκεύεσιν οἰνοφόροις τε καὶ προχόοις. πρόκειται γάρ σοι

ἡ ἀκώλυτος ἡ θεία. ὅρα καὶ τοὺς ἀργυρογνώμονας τοὺς ἐπὶ τῶν τραπεζῶν ψηλαφῶντας, καὶ ἀριθμοῦντας συνεχῶς τὰ νομίσματα. μᾶλλον δὲ παραινέσει πεισθεὶς ἀγαθῇ, μετάθου τῆς γνώμης. εὔκολος γὰρ ἡ διόρθωσις, ἐπειδὴ μὴ φύσεώς ἐστιν ἀνάγκη πλεονεξία, ὁρμὴ δὲ προαιρέσεως, ἣν μεταβαλεῖν τοῖς τὸ συμφέρον ἐπιλογιζομένοις οὐ χαλεπόν. ὑπέρκυψον τῷ λογισμῷ εἰς τὸν ἑξῆς χρόνον, ὅτε οὐκ ἔσῃ, ὅτε μικρὰ γῆ καθέξει σου τὸ σῶμα, διηπλωμένον, ἀναίσθητον, πλὰξ δὲ ὀλίγων σπιθαμῶν καλύψει τὸ λείψανον. ποῦ τότε ὁ πλοῦτος, καὶ τὰ συναχθέντα κειμήλια; τίς ὁ τῶν καταλειφθέντων κληρονόμος; οὐ γὰρ πάντως ἐκεῖνος ἔσται διάδοχος, ὃν σὺ προσδοκᾷς. οὓς παῖδας καταλείπῃς, τυχὸν κονδυλισθήσονται. καὶ ὁ μόζοπός σου πλεονέκτης θριώσαντας αὐτοὺς τῆς οἰκίας τῆς πατρικῆς ἀπελάσει. κἂν ἄπαις ἐπί τινα τῶν φίλων παραπέμψῃς τὸν κλῆρον, μὴ πρόσεχε σὺ τῇ διαθήκῃ ὡς ἀκινήτῳ νόμῳ, ὡς πράγματι ἀναντιρρήτῳ καὶ ἰσχυρῷ· ὀλίγη σπουδὴ ἄκυρον ποιεῖ τὴν γραφήν. ἢ οὐχ ὁρᾷς τοὺς συνεχῶς ἐν τοῖς δικαστηρίοις περὶ τῶν διαθηκῶν ἀγωνιζομένους, ὅπως αὐτὰς ποικίλοις ἐγχειρήμασι παρακρούονται; τοὺς τῶν νόμων τεχνίτας προϊστάμενοι συνηγόρους, τοὺς δεινοὺς ῥήτορας ἐπαγόμενοι βοηθοὺς, ψευδομάρτυρας παρέφοντες, δικαστήρια διαφθείροντες. καὶ διὰ τοῦτο ἐξ ὧν ὁρᾷς, ζῶν, περὶ τῶν μελλόντων τῶν μετὰ σὲ παιδεύου. εἰ δίκαιον ἔχεις τὸν πλοῦτον, εἰς δέον χρῆσαι ὡς ὁ μακάριος Ἰώβ. εἰ ἄδικον, ἀπόλυσον αὐτὸν ἐπὶ τοὺς βιασθέντας κυρίους ὡς αἰχμάλωτον ἐκ πολέμου, ἢ αὐτὸν ὃν ἔλαβες, ἢ μετὰ προσθήκης ὡς Ζακχαῖος. εἰ μὴ ἔχῃς, μὴ κτήσῃ κακῶς· σοὶ μὲν γὰρ ἀκολουθήσει πικρὸν ἐφόδιον ἡ ἁμαρτία, τὴν ἀναγκαίαν πορευομένῳ πορείαν, ἡ δὲ ἀπόλαυσις τῶν κτηθέντων, οἷς οὐ γινώσκεις καταλειφθήσεται. καὶ τότε τὸν Δαβὶδ θαυμάσεις λέγοντα· θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. γνωρίζεις δὲ καὶ τὸν πλούσιον τὸν ἀντίθετον τοῦ Λαζάρου, τὸν ἀρτίως

ἡμῖν

ὑμῖν ἐκ τῶν Εὐαγγελίων ἀναγνωσθέντα, οὐ μῦθον συγκείμενον εἰς κατάπληξιν, ἀλλὰ τύπον ἀκριβῆ παραδοθέντα τοῦ μέλλοντος. ἡ βύσσος ἐσάπη, ἡ βασιλεία μετῆλθεν εἰς ἕτερον, αἱ τρυφαὶ κατηργήθησαν, ἡ ἀπ' ἐκείνων ἁμαρτία συνεξεδήμησεν ὡς σκιὰ παραμένουσα βαδίζοντι σώματι· καὶ διὰ ταῦτα μετὰ τὴν πολυτέλειαν τῶν συμποσίων, καὶ τὴν ἁβροδίαιτον τράπεζαν, ὕδατος ῥανίδα ζητεῖ δακτύλου λεπτοῦ ἀποστάζουσαν. καὶ καλεῖ τὸν πτωχὸν τῆς τιμωρίας θεραπευτὴν, τὸν οὐδὲ χεῖρας ἔχοντα τάχα, ἡνίκα τῷ πυλῶνι προσερρίπτετο. ἢ γὰρ αὖ τὰς κύνας ἀπεσόβησε τὰς ἐπιλειχομένους τὰ τραύματα. ἐπιθυμεῖ δὲ καὶ συμμίξαι τῷ Λαζάρῳ ἐκ τοῦ κατέναντι βλεπομένῳ, καὶ μέσῳ διείργεται τῷ ὀρύγματι, ἢ τῷ χάσματι. οὐ βόθρου τινὸς ὄντος ὠρυγμένου, οὐδὲ τάφρου πεποιημένης, ὡς ἐπὶ τῶν στρατοπέδων ἔστιν ἰδεῖν τὸ τοῦ πολέμου μεταίχμιον, ἀλλὰ τὸ κώλυμα οἶμαι τῶν ἁμαρτημάτων ὁ λόγος ἐνδείκνυται, ὃ τῷ κατεγνωσμένῳ τῆς πρὸς τὸν δίκαιον παρόδου ἀπετείχισε. καί μου τὴν ἑρμηνείαν Ἡσαΐας ὁ Προφήτης ἐπισφραγίζεται πρὸς λαὸν ἄφρονα βαρέως ἀποτεινόμενος, καὶ λέγων· μὴ οὐκ ἰσχύει χεὶρ Κυρίου διασῶσαι, ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ ἀκοῦσαι; ἀλλ' αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ Θεοῦ. οὐδὲ ἁμαρτήματα ἀνθρώπους χωρίζειν οἶδε Θεοῦ, οὐδὲν αὖ πλεονεξίας ἁμαρτωλότερον ἂν γένοιτο, ἣ καὶ παρὰ τῆς ἀψευδοῦς φωνῆς Παύλου τοῦ τῆς ἀληθείας κήρυκος, εἰδωλολατρεία προσαγορεύεται, καὶ πάντων τῶν κακῶν ῥίζα καὶ μήτηρ. πόθεν γὰρ οἱ τῆς μερίδος ὄντες ποτὲ τῶν Χριστιανῶν, καὶ κοινωνοὶ τῶν μυστηρίων, πρὸς τὴν τῶν δαιμόνων λατρείαν εἱλκύσθησαν; οὐκ ἔρωτι τοῦ πολλὰ κτήσασθαι, καὶ κύριοι γενέσθαι τῶν ἀλλοτρίων; λαβόντες δὲ ὑποσχέσεις παρὰ τῶν ἀθέων καὶ ἀσεβῶν, ἢ ζώνης ἀρχοντικῆς, ἢ παραμονίας τῆς ἐκ βασιλικῶν ταμιείων, ὥσπερ ἱμάτιον παχέας

τὴν

τὴν θρησκείαν μετημφιέσαντο. καὶ τὰ μὲν τῶν ἀνωτέρων χρόνων, τῆς ἡμετέρας ζωῆς μνήμη καὶ ἀκοὴ διεσώσατο καὶ ἐδίδαξεν. ἔστι δὲ ἃ καὶ ὁ καθ' ἡμᾶς βίος τῇ πείρᾳ παρέδωκεν. ὅτε γὰρ ὁ Βασιλεὺς ἐκεῖνος ὁ τὸ προσωπεῖον τοῦ Χριστιανοῦ ἀθρόον ἀποθέμενος, γυμνώσας δὲ τὸ δρᾶμα τὸ κωμικὸν, ὃ ἐν πολλῷ τῷ χρόνῳ καθυπεκρίνατο, αὐτός τε ἀναιδῶς ἔθυε δαίμοσι, καὶ τοῖς τοῦτο βουλομένοις ποιεῖν πολλὰ προσετίθει τὰ γέρα· πόσοι τὴν Ἐκκλησίαν ἀφέντες ἐπὶ τοὺς βωμοὺς ἔδραμον; πόσοι δὲ τὸ τῶν ἀξιωμάτων δέλεαρ εἰσδεξάμενοι, μετ' ἐκείνου κατέπιον τὸ τῆς παραβάσεως ἄγκιστρον; νῦν δὲ στιγματίαι περινοστοῦσι κατὰ τὰς πόλεις, μισούμενοι, δακτυλοδεικτούμενοι, προδόται καὶ οὗτοι τοῦ Χριστοῦ δι' ὀλίγον ἀργύριον· ἐξόριστοι τοῦ καταλόγου τῶν Χριστιανῶν, ὡς Ἰούδας τῶν Ἀποστόλων· ἀπὸ τῆς προσηγορίας τοῦ παραβάτου γνωριζόμενοι, ὡς ἀπὸ τῶν σημαντήρων οἱ ἵπποι, ἑλκυσθέντες μόνον εἰς τὴν χαλεπωτάτην παγὴν πασῶν τῶν ἁμαρτιῶν, καὶ αὐθὺς ἀκολουθήσαντες τῷ τῆς βεβήλου καὶ μιαρᾶς δυσσεβείας μυσταγωγῷ. οὕτω τοίνυν κατὰ τὸν Ἀπόστολον ἡ πλεονεξία, καὶ εἰδωλολατρεία γίνεται, καὶ ῥίζα πάντων τῶν κακῶν ἐστιν, ἀφ' ἑαυτῆς ἀμυθήτους φύουσα κακίας. ὥσπερ οἱ τὸν χρυσὸν ἐπὶ τὸν κόλπον τῆς γῆς ἀναχλεύοντες φασὶ τὴν χρυσῖτιν γῆν ἐπ' αὐτῆς μὲν τῆς ἀρχῆς καὶ τῆς κυριωτάτης διαμέσεως σωρηδὸν ἀποκεῖσθαι, ἐκεῖθεν δὲ ὥσπερ φλέβας τινὰς ἀπό τινος ἔνθεν καὶ ἔνθεν εἰς μακρὸν διήκειν, καὶ πολυσχιδῶς ἀποτείνεσθαι κατ' αὐτάς πως τὰς ῥίζας τῶν δένδρων τὰς ἐκ τοῦ πρέμνου διαπλωμένας, οὕτω κἀνταῦθα πολλὰς βλέπων τὰς ἀποφύσεις, μιᾷ ῥίζῃ τῆς πλεονεξίας τὰς πάσας συνδεδεμένας εὑρίσκω. καὶ μέντοι καὶ οὐκ ἀνοίκειον εὗρεν ὁ λόγος πρὸς πλεονεξίαν ἐκ τοῦ χρυσοῦ τὸ ὑπόδειγμα. ἐντεῦθεν ὁρῶ τὸν παραλοίαν τῆς κεφαλῆς τῆς διηκοσάσης καπηλιμῶντα, οὐκ αἰδούμενον δὲ οὔτε τὴν πολιάν, οὔτε τὸ

πα-

πατρικὸν ἀξίωμα, ἀλλὰ τῇ ἐπὶ πλ[illegible] γέροντος βαρυνόμενον. πάντα γὰρ ὁρῶν ἐπὶ τῆς [illegible], καὶ τὴν ἐξουσίαν τῶν βουλομένων οὐκ ἔχων. [illegible] δὲ κύριος εἶναι αὐτῶν τε καὶ τῆς περιουσίας, [illegible] πατρικῇ αὐθεντείᾳ, καὶ τὰ μὲν πρῶτα σιωπῇ κ[illegible] βάθει κατέχει τὴν νόσον, τῷ χρόνῳ δὲ τὴν ἐπι[illegible]ίαν πλεονάσας, καὶ πληρωθεὶς τὴν ψυχὴν, ἀθρόον ἐκρήγνυσι τὴν κακίαν, ὡς ἐπὶ τῶν σωλήνων τὰ ὕδατα. καὶ λοιπὸν ἐστὶν ἀφόρητος τῷ πρεσβύτῃ, μονονουχὶ συνελαύνων αὐτὸν πρὸς τοὺς τάφους ὑγιαίνοντα καὶ βαδίζοντα. ἂν κούφως ἀναβῇ τὸν ἵππον, ὑπερθαυμάζει· ἂν τροφῆς ἐρρωμενέστερον μεταλάβῃ, γογγύζει· ἂν τοὺς οἰκέτας ἑωθινὸς διεγείρει πρὸς τὰς ὑπηρεσίας, τῇ ἐγρηγόρσει καὶ τῇ δυνάμει τοῦ γέροντος ἄχθεται. ἂν δὲ καὶ δωρήσηταί τι τῶν κειμηλίων, ἢ οἰκέτην ἀφῇ τῆς δουλείας, τότε δὴ τότε καὶ λῆρος παρακμαίων, καὶ τοὺς τῆς ζωῆς ὑπερβὰς ὅρους, καὶ τῶν αἰσθητηρίων ἀπαθής, καὶ πᾶν βλάσφημον ἀκούων ἐμπαροινεῖται, διότι μὴ ταχέως ἀπέθανεν ἐγκαλούμενος. σὸς οὗτος, ὦ μιαρὰ πλεονεξία, καρπός. παρὰ σοῦ τὰ κέντρα λαμβάνων ὁ παῖς, πολέμιος γίνεται τοῦ γεννήσαντος. σὺ πληροῖς τὴν γῆν λῃστῶν καὶ φονευτῶν, καταποντιστῶν δὲ τὴν θάλατταν, τὰς πόλεις θορύβων, τὰ δικαστήρια ψευδομαρτύρων, συκοφαντῶν, προδοτῶν, συνηγόρων, δικαστῶν ἐκεῖ ῥεπόντων ὅπῃ δ' ἂν σὺ καθελκύσῃς. πλεονεξία μήτηρ τῆς ἀνισότητος, ἀνηλεὴς, μισάνθρωπος, ὠμοτάτη. διὰ ταύτην ὁ τῶν ἀνθρώπων βίος ἀνωμαλίας γέμει. καὶ οἱ μὲν ἐκ τοῦ κόρου ναυτιῶσι τὴν περιουσίαν τῶν κτημάτων, οἷον τροφὴν ἄπληστον ἀποβλύζοντες. ἄλλοι δὲ λιμῷ καὶ ἐνδείᾳ πιεζόμενοι κινδυνεύουσιν. οἱ μὲν ὑπὸ ὀρόφοις χρυσοπάστοις κατάκεινται, καὶ ὡς μικρὰς πόλεις οἰκοῦσι τὰς οἰκίας, λουτροῖς καὶ οἴκοις ποικίλοις καὶ στοαῖς ἐπὶ μακρότατον διηκούσαις, καὶ παντοίᾳ πολυτελείᾳ κεκοσμημέναις.

ταις· ἕτεροι δὲ δύω δοκῶν σκέπην οὐκ ἔχουσιν. ἀλλ᾽ ὅτι ἐν ὑπαίθρῳ διαζῆν μὴ δύνωνται, ἢ πρὸς τὰς καμίνους καταφεύγουσι τῶν λουτρῶν, ἢ καὶ τοῖς βαλανεῦσι κακοξένοις περιτυχόντες, παραπλησίως τοῖς χοίροις τὴν κόπρον ὀρύττοντες, τὴν ἀναγκαίαν θέρμην ἑαυτοῖς μηχανῶνται. καὶ τὸ ὁμότιμον ζῶον ὁ ἄνθρωπος τοσαύτην ἔχει τὴν διαφορὰν τῆς διαίτης πρὸς τὸ ὁμόφυλον, οὐκ ἄλλου τινὸς τὴν αἰτίαν ταύτην καὶ τὴν ἀνωμαλίαν, ἢ τῆς πλεονεξίας ἐπισαγούσης· ὁ μὲν, γυμνοῖς ἀσχημονεῖ μέλεσι· καὶ ὁ ἄλλος, πρὸς τὸ τὴν ἐσθῆτα δυσαρίθμητον ἔχειν, πορφυραῖς πλοκαῖς τοὺς τοίχους ἐνδύει. ὁ πένης ἐπὶ ξυλίνης τραπέζης ἄρτον ἀπορεῖ διαθρύψαι, καὶ ὁ τρυφῶν ἀργυρίῳ τράπεζαν ἐλάσας εἰς πλάτος τῷ στίλβοντι ψυχαγωγεῖται τῆς ὕλης. καὶ πόσῳ δικαιότερον ἦν, τὸν μὲν ἑστιᾶσθαι ἀρκούμενον τῇ ἄλλῃ τρυφῇ, τῆς τραπέζης δὲ τιμὴν τῶν ἀπόρων εἶναι τροφήν; ἄλλος γηραιὸς καὶ βαδίζειν ἀδυνατῶν, ἢ διά τινα λώβην χωλεύων, ὄνον οὐ κέκτηται ἀναγκαῖον τῆς χρείας ὄχημα, καὶ ἕτερος διὰ πλῆθος τὰς ἀγέλας οὐ γνωρίζει τῶν ἵππων· τῷ μὲν ἔλαιον ἐνδεῖ πρὸς τὸν λύχνον ἀνάψαι, καὶ ἄλλος μόναις ταῖς λυχνίαις πλουτεῖ. ὁ μὲν ἐπὶ τοῦ ἐδάφους ἔρριπται, καὶ ὁ μάτην πλουτῶν τῷ κόσμῳ τῆς κλίνης περιαστράπτεται, ἀργυρᾶς σφαίρας ἐχούσης καὶ ἁλύσεις ἀντὶ τῶν σχοίνων, ταῦτα τῆς ἀορίστου πλεονεξίας τὰ ἀποτελέσματα. εἰ γὰρ μὴ εἰσήγαγον εἰς τὸν βίον τὴν ἀνισότητα, οὐκ ἂν αὗται ἦσαν τῆς ἀνωμαλίας αἱ ἐξοχαὶ καὶ κοιλότητες, οὐδ᾽ αὖ αἱ ποικίλαι συμφοραὶ ἀηδῆ καὶ πολύδακρυν τὴν ζωὴν ἡμῶν ἀπειργάζοντο, ἐντεῦθεν τὴν φυσικὴν πρὸς ἀλλήλους φιλίαν ἀπώλεσαν ἄνθρωποι, τὸν σίδηρον ἀκονῶσι, καὶ συγκροῦσι παρατάξεις, καὶ ὥσπερ τινὰ θηρία μετὰ πολλῆς τῆς ἀγριότητος ἀλλήλοις συνάπτουσι. τὰ δὲ ἀκόλουθα τούτοις πᾶς ἄν τις καὶ ἐξηγήσαιτο· ὁ δεῖνα καρτερεῖ τοῖς μηχανήμασι κακωθεί-

σαι ζ

ται, καὶ πόλεις ἁλίσκονται, καὶ γυναῖκες ἄγονται, καὶ παῖδες ἀνδραποδίζονται, τέμνεται γῆ καὶ κείρεται, καὶ τὰ δένδρα πολεμοῦνται, ὡς ἀδικήσαντες ἄνθρωποι. φόνος δὲ τῶν ἐν ἀκμῇ πολύς, καὶ οἱ τοῦ αἵματος ῥύακες ἀπορρέουσι τῶν ἀθλίων σωμάτων. ὁ δὲ πλοῦτος τῶν ἡττηθέντων, ἆθλον τῶν κρατησάντων. ἐπὶ τούτοις ὀδυρμοὶ χηρείας, ὀρφανῶν δάκρυα καὶ Πατέρας ὁμοῦ καὶ τὴν ἐλευθερίαν θρηνούντων. ὁ δὲ ποίμνης κύριος πλέον πολλοῦ, ἄρτι μεταιτεῖ τέμαχος, προτείνων τὴν δεξιάν. καὶ ὁ πολλοὺς ἔχων δούλους, ὑφάντας, καὶ οἰκίας γεμούσας ἐσθήτων, ῥάκια περιβεβλημένος δουλεύει, ὕδωρ πρὸς ἀνάγκην κομίζων, καὶ τοῦ ἱππῶνος ἀποξύων τὸν κόπρον, καὶ ταῖς αἰσχραῖς ὑπηρεσίαις διακονούμενος. ἄλλα μυρία κακά, ἃ περιλαβεῖν ἀθρόως ἀδύνατον. πάντων δὲ τούτων ἀρχή, καὶ αἰτία, καὶ ῥίζα ἡ τοῦ πλείονος ἐπιθυμία, ἔρως ἄδικος τῶν ἀλλοτρίων κτημάτων. εἰ δέ τις τοῦτο τὸ πάθος τῶν ἀνθρώπων ἐξέκοψεν, ἰδοὺ ἐκώλυσεν εἰρήνην μὲν τῷ βίῳ βαθεῖαν ἐμπολιτεύεσθαι, πολέμους δὲ καὶ ταραχὰς ἐξ ἀνθρώπων φυγαδευθῆναι, ἐπανελθεῖν δὲ πάντας ἐπὶ τὴν κατὰ φύσιν στοργὴν καὶ φιλίαν. διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν ἐπιμελῶς τοῖς παραγγέλμασι ταύτην ἐξιᾶται τὴν νόσον, ποτὲ μὲν ἀποφαινόμενος, μὴ δύνασθαι Θεῷ δουλεύειν, καὶ μαμωνᾷ· ποτὲ δὲ τὸν πλούσιον ἐκεῖνον ἄθλιον ἀποφαίνων τὸν τῇ ἑξῆς τελευτᾷν μέλλοντα, καὶ τὴν μακροχρόνιον ἀπόλαυσιν τῆς τρυφῆς ἑαυτῷ προμνῶντα, καὶ ἀλλαχοῦ τὸν τέλειον ἐκεῖνο εἶναι διδάσκων, ὃς ἂν πάντων ὧν ἔχει τοῖς δεομένοις παραχωρήσας, πρὸς τὴν ἀκτήμονα φιλοσοφίαν αὐτομολήσει τὴν μητέρα τῆς ἀρετῆς καὶ ὁμόσκηνον. ἀλλά μοι δοκῶ καὶ σιωπώντων ἀκούειν τῶν ἐκ συνηθείας τὰ τοιαῦτα φθεγγομένων πρὸς τοὺς διδάσκοντας· καὶ πῶς πρὸς τὸν βίον διατελέσωμεν, εἰ ἡ κτῆσις τῶν χρημάτων ἀμεληθείη; πῶς δὲ τὰς χρείας ἐπαρκέσωμεν; πῶς δὲ λυθήσεται δά-

νειο

νευσμα; πῶς δὲ καὶ δοθήσεται δάνος τῷ ζητοῦντι, ἂν πάντων ὄντων διὰ τὴν σὴν περιγίνεσιν ἄποροι; ἀπιστεῖ τὸ ῥῆμα, ἀσύνετος ἡ φωνή, οὐκ εἰδότος ὅτι Δεσπότην ἔχομεν τὸν Θεὸν οἰκονόμον τοῦ βίου τῷ λογικῷ ζώῳ παρ' αὐτοῦ χορηγοῦντα τὰ χρήσιμα, καὶ τὰς ἀναγκαίας ποριστικὰς τῆς τροφῆς καὶ τῶν σκεπασμάτων τὴν χρείαν. ἡ γὰρ πρόνοια τοῦ Θεοῦ τῶν οἰκείων ποιημάτων ἐστὶ περιεκτική. καὶ τὸν ἐν πίστει πλουτοῦντα, πενίας οὐδέποτε κατέχει συμφορά. ἓν δὲ τῶν θείων περικομίσας λόγων εἰς ἀπόδειξιν τοῦ προκειμένου ἱκανὸν ὡς οἶμαι, μαρτύριον παρέξω. ἐν τῇ τῶν Βασιλειῶν ἱστορίᾳ, γυνή τις ἀναγέγραπται χήρα, βαρυνομένη λίαν τῇ συμφορᾷ τῆς μονώσεως. ἐπολιόρκει δὲ αὐτὴν δανειστὴς φιλάργυρος καὶ μισάνθρωπος, ἐνέχυρον τοὺς υἱοὺς ἀφαιρούμενος, οὓς μόνους εἶχεν ἀντὶ πάντων ἡ μήτηρ. ἐπεὶ δὲ εἰς ἀμηχανίαν αὐτῇ περιειστήκει τὸ πρᾶγμα, καὶ οὐδεὶς ἠλέει τῶν ἐχόντων χρυσίον, ἦλθε πρὸς τὸν ἔχοντα φιλανθρωπίαν, καὶ πίστιν. Ἐλισσαῖος δὲ οὗτος ἦν ὁ Προφήτης, ἀνὴρ ἀκτήμων τῶν γηΐνων ὑλῶν, καὶ περιουσιαζόμενος τῆς ἀσωμάτου περιουσίας, φιλόσοφος ἐξ ἀροτήρων, ἄοικος, ἀνέστιος, μονοείμων, γονεῦσι μὲν κληρονομήσας, τὴν δὲ κληρονομίαν λαβὼν μηλωτὴν εὔωνον, καὶ εὐλογίαν ἀόρατον τοῦ πυρίνου ἅρματος ἐκπεσοῦσαν. οὐ μὴν ἄπρακτον τὴν ἱκέτιν ἀπέπεμψεν, οὐδὲ ἀπέγνω τῆς βοηθείας, ἐπειδὴ μὴ παρῆν τὸ ζητούμενον. οὐδὲ εἶπεν ἀνθρώπινά τινα, καὶ ἄπιστα ῥήματα, ὡς εἷς τῶν πολλῶν· καὶ πόθεν ἐμοὶ ἀργύριον, ὥστε διαλῦσαι τὸ ὄφλημα; ὥσπερ δὲ ἄριστος ἰατρὸς, καὶ φαρμάκων μὴ παρόντων, ἐξ ἐπινοιῶν παραδόξων εὗρε τῇ νόσῳ τὴν ἴασιν. καὶ τί σοι φησὶν ἐπὶ τῆς οἰκίας, ὦ γύναι; μνημόσυνον εἴτι καὶ ὀλίγον ἔνδον τυγχάνει; οὐδεὶς γὰρ οὕπω πενίας, ὡς καθάπαξ μηδενὸς κύριος εἶναι. ὡς δὲ εἶπεν, ὅτι κεράμιον ἐστὶ, καὶ λείψανον ἐν αὐτῷ βραχὺ ἐλαίου.

παρα-

παρασκεύασόν μοι εἶπε, πλῆθος ἀγγείων. καὶ ἡ μὲν ηὐπόρησεν, ὁ δὲ δι' αὐτῆς ἐπλήρωσε, καὶ τῷ δανειστῇ διελύθη τὸ ὄφλημα. ἡ δὲ γυνὴ ἀπῆλθεν, ἐξ ἀπόρων εὑροῦσα τὸν πόρον. τὸ γὰρ ὀλίγιστον ἔλαιον, ὃ εἶναι παρ' αὐτῇ εἶπε πρὸς Προφήτην, ἐπήγασεν ἐκ τοῦ παραδόξου, καὶ πάντας τοὺς εὐτρεπισθέντας ἀμφορεῖς ἐπλήρωσεν. ἔστη δὲ τότε τῆς ῥύσεως, ὅτε ἀγγεῖον οὐκ ἔτι ἦν τὸ δεχόμενον, καὶ τῇ χρείᾳ συνεμετρήθη ἡ χάρις. ἀληθῶς ἔλαιον ἐκεῖνο, ὃ φυτὸν οὐκ ἐκαρποφόρησεν, ἀλλ' οἱ τοῦ Θεοῦ οἰκτιρμοὶ ἐγεώργησαν. ταύτην ὠνήσασθε τὴν ἐπιστήμην εἰ δύνασθε, οἱ ἀπὸ ἡλίου ἀνίσχοντος μέχρι καὶ δυομένου, Βασιλεῖς, δυνάσται, πλούσιοι, οἱ σοφοὶ τῆς ἐγκοσμίου σοφίας, κτήσασθε τοῦ ἀπὸ ἀροτήρων Προφήτου τὸ χάρισμα, ὃ ἀναφαίρετον τῷ λαβόντι μένει. τὰ γὰρ τῆς ὑμετέρας σπουδῆς κτήματα, μυρίους ἔχει περικειμένους τῆς ἀπωλείας κινδύνους, λῃστὰς τοιχωρυχοῦντας, τυράννους ἁρπάζοντας, καὶ συκοφάντας ἐπιβουλεύοντας, θάλασσαν καταποντίζουσαν, καὶ γῆν ὑπορρηγνυμένην τοῖς χάσμασιν. ἔστω τοίνυν ἐλπὶς καὶ ταμιεῖον ἀνθρώποις ἡ τοῦ Θεοῦ δεξιά, ἡ τὸν λαὸν Αἰγύπτου ἐξαγαγοῦσα, καὶ ἐν ἐρήμῳ χώρᾳ τὴν ἀφθονίαν τῶν ἀγαθῶν χορηγήσασα· ἡ τῷ Δανιὴλ ἀγαγοῦσα τὸν Ἀβακούμ, καὶ τὸν Ἰσμαὴλ σώσασα, τῆς μητρικῆς ἀγκάλης ἀπορριφέντα, καὶ τοῖς καθ' ἑκάστην χρείαν ἐπαρκέσασα· καὶ τελευταῖον πέντε κριθίνους ἄρτους εἰς ἄπειρον γεωργίαν πληθύνασα, ἵνα ὁ εἷς ἄρτος χιλίων ἀνδρῶν πεινώντων ἐμπλήσῃ γαστέρα, καὶ πρός γε κόφινον τῶν λειψάνων· τῷ δὲ Θεῷ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΚΥΡΙΛΛΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

### Ὁμιλία κατὰ Νεστορίου, ῥηθεῖσα ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ.

Φαιδρὸν ὁρῶ τὸ σύστημα τῶν Ἁγίων, πάντων συνεληλυθότων προθύμως, κεκλημένων ὑπὸ τῆς Ἁγίας, καὶ Θεοτόκου Μαρίας, τῆς Ἀειπαρθένου. ἀλλὰ γὰρ ἐν λύπῃ με διάγοντα πολλῇ, εἰς χαρὰν μετέβαλεν ἡ τῶν Ἁγίων Πατέρων παρουσία. νῦν ἐπληρώθη πρὸς ἡμᾶς τὸ τοῦ ὑμνογράφου Δαβὶδ γλυκερὸν ῥῆμα· Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; χαίροις τοίνυν παρ' ἡμῶν Ἁγία μυστικὴ Τριὰς, ἥτις ἡμᾶς πάντας συγκαλεσαμένη ἐπὶ τήνδε τὴν Ἐκκλησίαν τῆς Θεοτόκου Μαρίας. χαίροις παρ' ἡμῶν Μαρία Θεοτόκε, τὸ σεπτὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ στέφανος τῆς παρθενίας, τὸ σκῆπτρον τῆς ὀρθοδοξίας, ὁ Ναὸς ὁ ἀκατάλυτος, τὸ χωρίον τοῦ ἀχωρήτου, ἡ μήτηρ καὶ Παρθένος, δι' ἧς ὀνομάζεται ἐν τοῖς Ἁγίοις Εὐαγγελίοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. χαίροις, ἡ τὸν ἀχώρητον χωρήσασα ἐν μήτρᾳ ἁγίᾳ παρθενικῇ. δι' ἧς Τριὰς Ἁγία δοξάζεται καὶ προσκυνεῖται. δι' ἧς Σταυρὸς τίμιος ὀνομάζεται, καὶ προσκυνεῖται εἰς πᾶσαν τὴν οἰκουμένην. δι' ἧς ὁ Οὐρανὸς ἀγάλλεται. δι' ἧς Ἄγγελοι καὶ Ἀρχάγγελοι εὐφραίνονται. δι' ἧς δαίμονες φυγαδεύονται. δι' ἧς διάβολος πειράζων ἔπεσεν ἐξ Οὐρανοῦ. δι' ἧς τὸ ἐκπεσὸν πλάσμα εἰς Οὐρανοὺς ἀναλαμ-

βάνε-

βαίνεται. δι' ἧς πᾶσα ἡ κτίσις, εἰδωλομανίᾳ κατεχομένη, εἰς ἐπίγνωσιν ἀληθείας ἐλήλυθε. δι' ἧς Βάπτισμα ἅγιον γίνεται τοῖς πιστεύουσι. δι' ἧς ἔλαιον ἀγαλλιάσεως. δι' ἧς εἰς πᾶσαν τὴν οἰκουμένην Ἐκκλησίαι τεθεμελίωνται. δι' ἧς ἔθνη ἄγονται εἰς μετάνοιαν. καὶ τί πολλὰ λέγω; δι' ἧς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ φῶς ἔλαμψε τοῖς ἐν σκότει, καὶ σκιᾷ θανάτου καθημένοις. δι' ἧς Προφῆται προεμήνυσαν. δι' ἧς Ἀπόστολοι κηρύττουσι σωτηρίαν τοῖς ἔθνεσι. δι' ἧς νεκροὶ ἐγείρονται, δι' ἧς Βασιλεῖς βασιλεύουσι, διὰ Τριάδος Ἁγίας. καὶ τίς δυνατὸς ἀνθρώπων, λέγειν τὴν πολυύμνητον Μαρίαν; ἡ μήτρα ἡ παρθενική. ὢ τοῦ θαύματος. ἐκπλήττει με τὸ θαῦμα. τίς ἤκουσε πώποτε οἰκοδόμον, Ναὸν ἴδιον οἰκοδομήσαντα, καὶ κωλυόμενον οἰκεῖν ἐν αὐτῷ; τίς ἰδίαν δούλην μητέρα προσκαλεσάμενος, ἐνυβρίζεται; ἰδοὺ τοίνυν χαίρει τὰ σύμπαντα· θάλαττα δὲ ὑπετάγη, τοὺς ἰδίους συνδούλους ἐπιγνοῦσα, καὶ σκιρτώντων κυμάτων ἀγρίων, ἡ τῶν Ἁγίων ἐπίβασις εἰς γαλήνην μετέβαλεν. ἐμέμνητο γὰρ τῆς τοῦ Σωτῆρος φωνῆς ἡ δούλη ἐπανισαμένη, λέγοντος· σιώπα, πεφίμωσο. γαίων δὲ, τὴν ποτε ὑπὸ λῃστῶν διοδευομένην, ἡ τῶν Πατέρων ὁδοιπορία εἰς εἰρήνην μετέβαλεν. ὡς ὡραῖοι γὰρ οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. ποίαν εἰρήνην; Ἰησοῦν τὸν Κύριον ἡμῶν, ὃν ἔτεκε Μαρία, ὡς αὐτὸς ἠθέλησε. τί μοι δεῖ πολυπραγμονεῖν, καὶ μὴ φιλοφρονεῖν περὶ τὴν γραφήν; ἀλλ' ἐρεῖς μοι Ἰουδαίων τὴν ἄρνησιν; οἱ Προφῆται τούτους ἀπεκήρυξαν ἐξ ἀρχῆς, οἴκοθεν τὸ χριστοκτονεῖν ἐπιτηδεύσαντες, καὶ τοῦτο Θεοῦ ἄρνησιν προσεκαλέσαντο. ἀλλ' Ἀρείου τὸ πικρὸν νόσημα; φιλοκαθεδρίας λοιμικῆς τὸ ἐπιθύμημα. ἀλλ' Ἑλληνικῆς ἀσελγείας τὸ ἀνώνυμον, καὶ ἄθεον φρόνημα; ἀγνωσίας τὸ ἐπιχείρημα. καὶ τί δεῖ λέγειν; ποῦ ἔθνος πορευόμενον ἀθεμίτοις κώμοις οὕτως εἰς κακίαν ὑπερῆρεν. ἔθνη γὰρ πολλάκις ἀγνοοῦντα τὴν γραφὴν, Θεὸν δυσφημοῦσιν οὐχ ἑκόντα. οὕτως

τῶν γραφῶν ἄπασαν κεκτημένος, τολμῶ δὲ λέγειν, τάχα καὶ μαγικῆς ἐμπαίγματα μελετήσας, οὐκ ἐνέκυψε γνησίως πρὸς τὴν θεόπνευστον γραφὴν, ἀλλ' ἐνέκυψεν εἰς ἄργυρον, καὶ χρυσόν. τυφλωθεὶς, καὶ κωφωθεὶς τῇ μανίᾳ περὶ πρᾶγμα δυσφημίας, σεαυτὸν βουλόμενος ἀλλοτριῶσαι τοῦ Θρόνου, καὶ τοῦ καταλόγου τῶν ἀδελφῶν σεαυτὸν ἐξήλειψας, μὴ ἐπιγνοὺς τὸν σοι χαρισάμενον Ἀρχιερωσύνης κλῆρον. ἆρα γὰρ οὐκ ἐπείσθης Παύλῳ λέγοντι· κἂν Ἄγγελος ἐξ Οὐρανοῦ εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω; Παῦλος οὐκ ἔπαυσέ σου τὸ καινὸν φρόνημα; ἀλλ' Ἡσαΐας εἰπών· ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται Υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός; εἰ δὲ οὐδὲ αὐτὸς, διώρισαι τῷ ἐκτίσαι δεινῆς κακοφροσύνης, ἄκουσον κἂν τῶν δαιμόνων λεγόντων· τί ἡμῖν, καὶ σοὶ Υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. τίς δέ σοι τοῦτον τὸν ἀπλῆ λογισμὸν συνεβούλευσε κηρῦξαι; τί ὁ συμπονήσας τῷ ἐκείνῳ νοσήματι; οὐκ ᾐδέσθης Θεὸν ἐξομοιοῦν Περσικῇ Βασιλείᾳ; οὐκ ἐνεβράντης, ἀθετεῖν βουλόμενος Πατέρων, καὶ Εὐαγγελιστῶν, καὶ Προφητῶν παραδόσεις, καὶ νομίσας ἄρχειν πασῶν τῶν Ἐκκλησιῶν; καὶ οὐκ ἐμνήσθης τοῦ ἀπὸ κοπρίας εἰς ὕψος οὐράνιον ἀγαγόντος σε; καὶ τοῖς ἔργοις προσέχων, οὐκ ἐπέγνως τὸν δημιουργόν; βουλόμενος ἀνάστατον καταστῆσαι τὴν οἰκουμένην ἀπατηλοῖς λόγοις, ὑφυβρίζων τὸν Ναὸν τοῦ Θεοῦ, καὶ τὸν κυηθέντα ἐκ Παρθένου Μαρίας ἀπομερίζειν βουλόμενος, δόγμα πονηρὸν καὶ λύσσαν τῷ Κόσμῳ διεγείρων μήτε λυομένην, μήτε φανερουμένην. ἀλλά γε μὴ ζητούμενος πρὸ καιροῦ, Βελίαρ μιμησάμενος, ἐνόμισας σειραῖς τῶν σῶν ἀνόμων ἐννοιῶν πείθειν Βασιλέα φίλον ὀρθοδοξίας καὶ προσκυνητὴν ὁμοουσίου Τριάδος, δι' ἧς διηνεκῶς βασιλεύει, δι' ἧς ἔθνη τὰ πολέμια συντρίβει, δι' ἧς χορὸς ἀεὶ παρθένων βασιλεύει, δι' ἧς κόσμον ἐν εἰρήνῃ καθίστησι. τοῦτον λόγοις σοῖς ἀπατηλοῖς οἰ-

μίσας ἀποστάτην γενέσθαι· καὶ λαὸν Θεοφιλῆ πορθεῖν ἐβουλή-
θης, καὶ Πατέρων πλῆθος εἰς ἀνατολὴν τυγχάνοντας διέσκυ-
λας. οὐκ ἠρκέσθης σαυτὸν ὀλέσαι, δυσφημήσας Θεὸν, ἀλλὰ
καὶ τὴν οἰκουμένην πᾶσαν διεθρύλλησας. ἀλλ' ἰδοὺ ἐπληρώθη
ἐπὶ σοί· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρ-
τωλός· κλῆρον Ἁγίων Πρεσβυτέρων καὶ Διακόνων ἀποσυνα-
γώγους ἐποίησας, ἐλέγχοντάς σου τὴν ἄκαιρον μανίαν, μὴ τὰ
Ἀρείου φρονεῖν. καὶ νῦν οὐ τὸν πεσόντα καταβάλλω, οὐδὲ τὸν
κλυδωνιζόμενον καταποντίζω, ἀλλὰ τῶν ἀνόμων συμβουλιῶν
κόπτω τὴν ματαίαν συκοφαντίαν. τίς εἶδε πλοῖον εἰς εὔδιον
λιμένα ἐν γαλήνῃ διάγον, ναυάγιον ὑπομένον; τίς εἶδεν
ἀθλητὴν ἐπὶ τὸ σκάμμα πεσόντα, καὶ μὴ ἀνορθούμενον; ἀλλ'
ἆρά σοι πεσόντι, ἢ ναυαγήσαντι περὶ τὴν πίστιν, ἡμεῖς χεῖ-
ρα οὐκ ὠρέξαμεν; μάρτυρα δέχου τὸν τίμιον καὶ Ἅγιον Ἀρχιε-
πίσκοπον τῆς μεγάλης Ῥώμης Καιλεστῖνον συνεχῶς γράφοντά
σοι ἀποστῆναι τοῦ ματαίου καὶ ἀνωφελοῦς καὶ ἀσυστάτου δόγματος.
ἔτι μὴν καὶ τὴν ἡμετέραν πτωχείαν διὰ γραμμάτων βραχέων
τὸν αὐτὸν τρόπον παρακαλοῦντας δέξασθαι ἡμᾶς περὶ Θεοῦ λέ-
γοντας. σὺ δὲ οὐκ ἐλογίσω ἡμᾶς, ἀσπλαγχνίαν τινὰ καὶ ὑπό-
νοιαν περιβεβλημένος, κακίᾳ ἐγκαυχώμενος, ὡς δυνατὸς ἄ-
νομα διαλογιζόμενος. καὶ ξυρὸν γέγονας κατὰ σεαυτοῦ ἠκονη-
μένον, μέλλων ἐργάζεσθαι δόλον. διὰ τοῦτο ὁ Θεὸς, ὃν παρε-
λογίσω, καθεῖλέ σε, καὶ ἐξέτιλε τὸ ῥίζωμά σου ἐκ γῆς ζών-
των, διότι οὐκ ἐφρόνησας περὶ Θεοῦ. καὶ ταῦτα μὲν παρ' ἡμῶν
ἀρκείτω τὰ πρὸς τοῦτον. Θεὸς ἐστὶ κριτὴς καὶ ἀποδότης ἑκάστῳ κατὰ
τὰ ἔργα αὐτοῦ. γένοιτο δὲ ἡμᾶς τρέμειν καὶ προσκυνεῖν τὴν ἑνό-
τητα, καὶ Βασιλεῖ θεοφιλεστάτῳ ὑπηκόους γίνεσθαι, καὶ ἀρχαῖς
καὶ ἐξουσίαις ὑποτάσσεσθαι, καὶ τρέμειν καὶ σέβειν τὴν ἀδιάστα-
τον Τριάδα, ὑμνοῦντας τὴν Ἀειπάρθενον Μαρίαν, δηλονότι
τὸν ἅγιον τοῦ Θεοῦ Ναὸν, καὶ τὸν ταύτης Υἱὸν καὶ νυμφίον ἄσπι-
λον· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ ΕΝ ΕΦΕΣΩ ΡΗΘΕΙΣΑ

## Περὶ τοῦ Θεανθρώπου Σωτῆρος ἡμῶν.

ΟΙ τοῖς ἱεροῖς προσέχοντες γράμμασι, σεσοφισμένην
ἔχουσι τὴν καρδίαν, ἔργων τε ἀγαθῶν ἐπιστήμονα,
καὶ ὀρθῇ πίστει λελαμπρυσμένην. τὸ δὲ τῆς γνώσεως τῆς
ἀληθοῦς ἐρᾶν, ζωὴν ἔχει τὸ τέλος. καὶ πληροφορήσει πρὸς
τοῦτο ἡμᾶς αὐτὸς ὁ Σωτὴρ, πρὸς τὸν ἐν οὐρανοῖς Πατέρα
καὶ Θεὸν, οὕτω λέγων· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα
γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας
Ἰησοῦν Χριστόν· οὐκοῦν συμπαρέζευκται τῇ περὶ τοῦ Πατρὸς
γνώσει καὶ ἡ περὶ τοῦ Υἱοῦ, καὶ οὕτως ἐστὶ τὸ πρᾶγμα ζωο-
ποιοῦν. ὅταν δὲ χωρίζηται τοῦ ἑτέρου τὸ ἕτερον, χωλεύει πάν-
τως ἡ γνῶσις. οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς
Ἰουδαίων δήμοις προσεφώνει, λέγων· οὔτε ἐμὲ οἴδατε, οὔτε
τὸν Πατέρα μου. εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ἂν ᾔδει-
τε. καὶ πάλιν ἐνόμιζον οἱ Ἰουδαῖοι τοὺς ἑαυτῶν Πατέρας ἐν
τῷ ὄρει τὸν φύσει καὶ κατ' ἀλήθειαν ἑωρακέναι Υἱὸν καὶ Θεὸν,
ὅτε καταβέβηκεν ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ· ᾤοντο
γὰρ κατ' ἀλήθειαν ἀκηκοέναι τῆς φωνῆς αὐτοῦ. ταύτης ἕνεκα τῆς
αἰτίας τεθαυμάκασι μὲν τὸν Ἱεροφάντην Μωϋσέα· κατασμι-
κρύνοντες δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τὸ ἀνθρώ-
πινον, ἀνοσίως ἔφασκον· ἡμεῖς οἴδαμεν, ὅτι Μωσεῖ λελάληκεν
ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί. τί οὖν πρὸς ταῦτα ὁ
Χριστὸς, ἀμὴν ἀμὴν, λέγω ὑμῖν; οὔτε εἶδος αὐτοῦ πώποτε ἑω-
ράκατε, οὔτε τὴν φωνὴν αὐτοῦ ἠκούσατε, καὶ τὸν λόγον αὐτοῦ οὐκ
ἔχετε μένοντα ἐν ὑμῖν. ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς
οὐ πιστεύετε. ἀληθεύει δὲ πάντως ἡ ἀλήθεια· οὐ γὰρ ἦν ἐν τῷ
ὄρει Σινᾶ φύσις Θεοῦ ἡ ὁρωμένη, πῦρ δὲ μᾶλλον. ἐγίνοντο δὲ

καὶ

καὶ φωναὶ σάλπιγγος, καπνοὶ ἦσαν ἐξαπτόμενοι, καὶ τῆς ἀληθείας οἱ τύποι προεμφαίνοντες τὴν ἀλήθειαν. κατέβη μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς ἐν εἴδει πυρὸς ἐπὶ τὸ ὄρος τὸ Σινᾶ. καὶ διὰ ποίαν αἰτίαν ἐν εἴδει πυρός; ἐπειδὴ γὰρ ἔμελλεν ὁρίζειν αὐτοῖς τὸν νόμον, ἐν εἴδει πυρὸς τότε μάλιστα χρησίμως ἐφαίνετο καταβεβηκώς, ἵνα γνῶσιν οἱ παραβαίνοντες, ὅτι πρὸς πῦρ ἔχουσιν. οὕτω καὶ ὁ μακάριος Μωϋσῆς, σωφρονεστέρους ἀποτελῶν τῷ φόβῳ τοὺς ἁμαρτάνοντας, προσεφώνει πλειστάκις· ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. Ἐγίνοντο δὲ καπνοὶ, καὶ σκότος· τοῦ μὲν σκότους τὸ ἀκατάληπτον τῆς περὶ Θεοῦ γνώσεως ἀστείως ἡμῖν ὑπεμφαίνοντος· τοῦ δὲ καπνοῦ διδάσκοντος αἰνιγματωδῶς, ὅτι τοῖς καταφρονεῖν ἐθέλουσι τῶν θείων νόμων, πάντῃ τε καὶ πάντως ἀκολουθήσει τὸ δάκρυον· δακρύειν γὰρ ἀνάγκη τὸν τοῦ σώματος ὀφθαλμὸν ἐν καπνῷ. οὐκοῦν Ἰουδαῖοι μὲν οὐ τεθέανται τὸ εἶδος τοῦ Πατρὸς, ἡμεῖς δὲ αὐτὸ τεθεάμεθα ἐν Χριστῷ. ἔστι γὰρ αὐτὸς τὸ ἀκραιφνέστατον κάλλος τοῦ γεγεννηκότος, ὁ χαρακτὴρ, καὶ τὸ ἀπαύγασμα. εἰ γὰρ καὶ ἐπελάβετο σαρκὸς δι' ἡμᾶς, καὶ αἵματος, Θεὸς ὢν ὁ Λόγος, καὶ χρηματίζων Υἱὸς ἀνθρώπου, οὐκ ἄψυχον, οὐδὲ ἄνουν σῶμα λαβὼν, καθά φησιν ὁ φρενοβλαβὴς, καὶ αἱρετικὸς Ἀπολλινάριος, ἀλλ' ἔμεινε καὶ οὕτω Θεός· οὕτω τοῖς Ἁγίοις Πατράσιν ἀπεκάλυπτε κατὰ καιροὺς τὸ ἑαυτοῦ μυστήριον. καὶ πολλὴ μὲν λίαν ἡ τούτων ἀπόδειξις ἐν τοῖς Ἁγίοις Προφήταις· ἐπειδὴ δὲ χρὴ ταμιεύεσθαι κατὰ μέρος, φέρε, δεικνύωμεν ἐκ τοῦ τῆς γενέσεως βιβλίου, ἄνθρωπον ὁρώμενον τὸν Υἱὸν, καὶ Θεὸν ὀνομαζόμενον. οὐκοῦν ὁ μακάριος Ἰακὼβ, τὴν Μεσοποταμίαν ἀφεὶς, ἐπὶ τὴν τοῦ Πατρὸς οἰκίαν αὖθις ἠπείγετο. καὶ δὴ καὶ τὰς δύο τοῦ Λάβαν ἀναλαβὼν θυγατέρας, καὶ τὰ ἐξ αὐτῶν αὐτῷ γεγονότα παιδία, διεβίβασεν αὐτὰ τὸν Ἰακώβ· ὄνομα δὲ τούτῳ χειμάρρου. ἀλλ' ὥς φησιν ἡ θεόπνευστος γραφὴ, διαβιβασθέντων τῶν τέκνων, καὶ τῶν γυναικῶν, ἀπελείφθη Ἰακὼβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος

μετ' αὐτοῦ ἕως πρωΐ. καὶ εἶδεν, ὅτι οὐ δύναται πρὸς αὐτὸν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ, ἐν τῷ παλαίειν αὐτὸν μετ' αὐτοῦ. καὶ εἶπε, φησιν, ὁ ἄνθρωπος, ὁ παλαίων μετ' αὐτοῦ· ἀπόλυσόν με, ἀνέβη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν. οὐ μή σε ἀπολύσω, ἐὰν μή με εὐλογήσῃς. καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ. καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου Εἶδος Θεοῦ. εἶδον γὰρ, φησὶ, Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. ὢ σοφίας ἀγιοπρεποῦς· ἄνθρωπον ὁρᾷ, τὸν παλαίοντα μετ' αὐτοῦ, καί φησιν ὁ Πατριάρχης· εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή· συνῆκε γὰρ εὐθὺς τῆς ἐνανθρωπήσεως τὸ μυστήριον, ἀποκαλύπτοντος αὐτῷ τοῦ Ἁγίου Πνεύματος. πλὴν ἐκεῖνο ἐπετήρει. ὅλην τὴν νύκτα ἐπάλαιε μετ' αὐτοῦ. ὡς δὲ ἐγένετο ὄρθρος, ἀπόλυσόν με, φησὶν, ἀνέβη γὰρ ὁ ὄρθρος. τί οὖν ἄρα σημαίνει τὸ αἴνιγμα; τοῖς ἐν σκότει καὶ νυκτὶ διάγουσι, καὶ τὴν τῆς ἀγνωσίας ἀχλὺν εἰς νοῦν ἔχουσι καὶ καρδίαν, παλαίει, καὶ μάχεται Χριστός· ἐχθροὺς γὰρ ἡγεῖται. ὅταν δὲ αὐτοῖς ἀνατείλῃ κατὰ τὸν νοῦν ὁ νοητὸς Ἑωσφόρος, ὅταν οἷά τις ἡμέρα τὸ τῆς ἀληθοῦς θεογνωσίας αὐτοῖς διαυγάσῃ φῶς, τότε καταλύει τὴν μάχην. παλαίει μὲν γὰρ, καὶ μάχεται τοῖς ὡς ἐν νυκτὶ, καὶ σκότῳ, τοῖς ἀφεγγῆ, καὶ ἀφώτιστον ἔχουσι τὴν καρδίαν. οὐ μάχεται δὲ τοῖς ἐν φωτὶ γεγονόσι, τοῖς τὸν νοητὸν ὄρθρον ἔχουσι κατὰ νοῦν. δέχου τοίνυν ἄνθρωπε, τὸν νοητὸν Ἑωσφόρον. διαυγαζέτω σοι τῆς ἀληθείας τὸ φῶς. παῦσαι μαχόμενος τῷ Χριστῷ. οὐκ οἶδεν ἡττᾶσθαι· νικᾷ δὲ ἀεὶ, καὶ πάντως. εἰ καὶ γέγονεν Υἱὸς ἀνθρώπου ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, πλὴν οὐκ ἀπέστη τοῦ εἶναι φύσει Θεὸς, ἄτρεπτός τε, καὶ ἀναλλοίωτος ὤν· ὁ αὐτὸς οὖν ἄρα καὶ ἐκ Πατρὸς ὡς Λόγος, καὶ ἐκ γυναικὸς ὡς ἄνθρωπος κατὰ σάρκα. εἷς γὰρ Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα. καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. καὶ ἓν Πνεῦμα Ἅγιον, ἐν ᾧ τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ ΠΕΡΙ ΤΟΥ ΘΕΑΝΘΡΩΠΟΥ

Ἰησοῦ λεχθεῖσα ἐν Ἐφέσῳ ἐν τῷ Ναῷ, καὶ ἡμέρᾳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ.

Τῆς μὲν τῶν Ἁγίων εὐκλείας τε καὶ δόξης ἐλάσσων ἐστὶ πᾶς λόγος· γεγόνασι γὰρ φωστῆρες ἐν Κόσμῳ λόγον ζωῆς ἐπέχοντες. ὅταν δὲ τὰ θεῖα λαλῶσι μυστήρια, πρέπον ἂν εἴη παρὰ πάντων λέγεσθαι πρὸς αὐτούς· οὐκ ἐστὲ ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς, τὸ λαλοῦν ἐν ὑμῖν· διεκήρυξαν γὰρ ἡμῖν τὸν Ἰησοῦν, τὸ φῶς τὸ ἀληθινὸν, τὴν ζωὴν τὴν αἰώνιον. ᾧ καὶ ἡμεῖς λέγομεν κατὰ τὴν φωνὴν τοῦ Μακαρίου Δαβίδ· πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματί σου, ὕψιστε. ἔτι μὲν γὰρ τῆς διὰ Μωσέως κρατούσης ἐντολῆς, οὔπω τῶν εὐαγγελικῶν κηρυγμάτων εἰσκεκωμισμένων, γνωστὸς ἦν ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. ἰσχνόφωνος γὰρ καὶ βραδύγλωσσος ἦν ὁ Μωσῆς, διὰ τοῦτο καὶ κατὰ μόνην ᾤκειτο τὴν Ἰουδαίαν ὁ νόμος. ἐπειδὴ δὲ τὸ φῶς ἡμῖν ἐπέλαμψε τὸ ἀληθινὸν, καὶ παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς Θεὸς ὢν ὁ Λόγος, μεστὰ γέγονε τὰ πάντα αὐτοῦ. πανταχοῦ Ναοὶ καὶ θυσιαστήρια. πανταχοῦ χοροί τε καὶ προσκυνηταὶ, καὶ ποιμένες ἀγαθοὶ, καὶ λογικῶν θρεμμάτων ἀγέλαι, στενὰς ἀποφαίνουσαι τῷ πλήθει τὰς ἱερὰς αὐλάς. πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ἐπὶ γῆς, ἐπλανᾶτο τὸ γένος ἡμῶν. ἐλάτρευον τῇ κτίσει παρὰ τὸν κτίσαντα. προσκεκυνήκασι γὰρ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ τῶν πλανωμένων ἑκάστῳ Θεὸς ἦν τὸ δοκοῦν· ἀλλ' ἐπέφανεν ἡμῖν, ὡς ἔφην, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ὁ ποιμὴν ὁ καλὸς, ὁ ἀμνὸς ὁ ἀληθινὸς, ὃν ἡ Ἁγία Θεοτόκος

καὶ ἀπειρόγαμος Μαρία ἐκ παρθενικῶν ἡμῖν λαγόνων ἀνεκύησε, τὸ ζωοποιὸν βλάστημα· τὸν ἐνανθρωπήσαντα Θεόν· τὸν ἐλεύθερον ἐν δούλου μορφῇ· τὸν καθ' ἡμᾶς δι' ἡμᾶς, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν δι' ἑαυτόν· τὸν ἐν ὑφέσει τῇ καθ' ἡμᾶς, καὶ ἐν δόξῃ θεοπρεπεῖ· τὸν ἑαυτὸν ταπεινώσαντα, καὶ σύνθρονον τῷ Πατρί· τὸν ἑαυτὸν κενώσαντα, καὶ ἐκ τοῦ ἰδίου πληρώματος διανέμοντα τοῖς ἰδίοις τὰ ἀγαθά· τὸν προσκυνοῦντα μεθ' ἡμῶν ἀνθρωπίνως, καὶ προσκυνούμενον ὡς Θεὸν οὐκ ἐν γῇ μόνον, ἀλλὰ καὶ ἐν τοῖς Οὐρανοῖς. ὅταν γάρ, φησιν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ. τίς οὖν ἄρα ἐστὶν ὁ εἰσβεβηκὼς εἰς τὴν οἰκουμένην; τίνα δὲ ὅλως εἰσκεκόμισται ξένον; μυσταγώγησον Εὐαγγελιστά, εἰπὲ καὶ νῦν ὦ μακάριε Ἰωάννη. υἱὸς ἐπεκλήθης βροντῆς· μέγα τι καὶ ἐξαίσιον κατεκτύπησας τὴν ὑπ' Οὐρανόν· ἀθανάτους ἔχεις φωνάς, καὶ λήθη καὶ χρόνος τοῖς σοῖς παραχωροῦσι λόγοις. ἰδοὺ τοσαύτη Ποιμένων ἄθροισις ἦλθε παρὰ σοί. ἀποκύλισον ἡμῖν τὸν λίθον, ὡς ὁ μακάριος Ἰακὼβ τοῖς Ποιμέσιν· ἀποκάλυψον τὸ φρέαρ τῆς ζωῆς· δὸς ἀρύσασθαι καὶ νῦν ἐκ τῶν τοῦ Σωτηρίου πηγῶν· μᾶλλον δὲ τὴν σὴν παράθες ἡμῖν πηγήν· ἐκεῖνον ἀκούσωμεν λέγοντος· Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· ἀλλ' ὅτι μὲν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος ἀπόρρητον ἔχει τὴν ἐκ Πατρὸς ὕπαρξιν, πεπιστεύκαμεν· προστίθει τὸ λοιπόν, ὦ Εὐαγγελιστά. ἄκουε πάλιν λέγοντος· καὶ ὁ Λόγος σὰρξ ἐγένετο. οὐκ ἐν ἀνθρώπῳ γέγονεν, ἀλλὰ σὰρξ γέγονε, τουτέστιν ἄνθρωπος. γέγονε δὲ ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, οὐκ ἀποβεβληκὼς τὸ εἶναι Θεός, ἀλλ' ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν· ἄτρεπτος γὰρ ὅλως καὶ ἀναλλοίωτος ἡ τοῦ Λόγου φύσις, καὶ οὐκ οἶδε παθεῖν τροπῆς ἀπο-

σκίασμα

σκίασμα. ταῦτα φρονεῖν ἐδίδαξεν ἡμᾶς ὁ μακάριος Εὐαγγελιστὴς, τὸ ἄστρον ἀληθῶς τὸ μέγα καὶ περιφανέστατον, ἄστρον χρησιμώτατον οὐ τοῖς τὴν αἰσθητὴν διαπορθμευομένοις θάλατταν, ἀλλὰ τοῖς τῆς εὐσεβείας ἐμπόροις, τοῖς τῆς ἀληθείας ἐρασταῖς, τοῖς ὀρθὴν ἐθέλουσιν ἔχειν καὶ ἀπλανῆ πίστιν· εἴτις οὖν ἐρᾷ τοῦτον ναυτίλλεσθαι τὸν τρόπον, ὥσπερ ἄστρον εἰς νοῦν ἐχέτω τὰς τοῦ Θεολόγου φωνάς. οὔπω τὰ πικρὰ τῶν αἱρέσεων διαπηδήσει κύματα· οὕτως εἰς εὔδιον καταντήσει λιμένα, καὶ πρὸς αὐτὴν ἥξει τὴν ἀλήθειαν, τουτέστι Χριστόν. μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα, καὶ τὸ κράτος σὺν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΕΡΜΑΝΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

### *Ἐγκώμιον εἰς τὴν Ὑπεραγίαν Θεοτόκον ῥηθὲν ἐν τῇ Κοιμήσει αὐτῆς.*

Παυσάσθωσαν τῶν αἱρετικῶν οἱ ἀμαθεῖς καὶ ἐμβρόντητοι λόγοι· ἐμφραττέσθωσαν τὰ τούτων ἄδικα χείλη· ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Θεοτόκε, καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες μεγαλύνειν κατὰ χρέος τὸ ὄνομά σου, ὅτι στόμα τῶν Χριστιανῶν μελετήσει τὴν δικαιοσύνην σου καὶ τὴν παρθενίαν σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινον τῆς ἁγιωσύνης τοῦ τόκου σου· εἶδον οἱ πτωχοὶ τὸν διὰ σοῦ τῆς χρηστότητος τοῦ Θεοῦ πλοῦτον· εἶδον καὶ εἶπον· τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ· ἐξεζήτησαν οἱ ἁμαρτωλοὶ διὰ σοῦ τὸν Θεὸν, καὶ ἐσώθησαν· εἶπον καὶ αὐτοί· εἰ μὴ ὅτι Κύριος ἐβοήθησεν ἡμῖν ἐκ Παρθένου σαρκωθεὶς, παρὰ βραχὺ παρῴκησαν ἂν ἐν τῷ παμφάγῳ τῆς ἀπονεκρώσεως ᾅδῃ τῶν ψυχῶν ἡμῶν αἱ καταδύσεις. δυνατὴ τοιγαροῦν πρὸς σωτηρίαν ἡ βοήθειά σου Θεοτόκε, καὶ μὴ χρήζουσα τινὸς ἑτέρου πρὸς τὸν Θεὸν παραθέτου. σὺ γὰρ εἶ τῆς ὄντως ἀληθινῆς ζωῆς ἡ Μήτηρ· σὺ εἶ τῆς ἀναπλάσεως τοῦ Ἀδὰμ ἡ ζύμη· σὺ εἶ τῶν ὀνειδισμῶν τῆς Εὔας ἡ ἐλευθερία. ἐκείνη μήτηρ χοὸς, σὺ μήτηρ φωτός· ἐκείνης ἡ μήτρα μήτηρ φθορᾶς, ἡ δὲ σὴ γαστὴρ ἀφθαρσίας· ἐκείνη θανά-

ἡ κατοίκησις, σοῦ μετάστασις ἀπὸ θανάτου· ἐκείνη βλεφάρων καταχθονισμός, σοῦ γρηγορούντων ὀφθαλμῶν ἀκοίμητος δόξα· ἐκείνης τὰ τέκνα λύπη, ὁ δὲ σὸς Υἱὸς παγγενὴς χαρά· ἐκείνη ὡς γῆ οὖσα εἰς γῆν παρῆλθε, σὺ δὲ ζωὴν ἡμῖν ἔτεκες, καὶ πρὸς τὴν ζωὴν ἐπανῆλθες, καὶ ζωὴν τοῖς ἀνθρώποις καὶ μετὰ θάνατον προξενεῖν κατίσχυσας. οὐκ ἔστι τῆς ἀντιλήψεώς σου κόρος, οὐδὲ τῆς ζωοποιήσεώς σου μεταθέσεως ἐπιζήμιος, ὡς εἰπεῖν, ὑποδέχεται τοῖς ἀνθρώποις ἡ αἴσθησις· διότι καὶ ἡ προστασία σου ζῶσα, καὶ ἡ πρεσβεία σου ζωή, καὶ ἡ σκέπη σου διηνεκής· εἰ μὴ γὰρ σὺ προηγοῦ, οὐδεὶς πνευματικὸς ἀπετελεῖτο· οὐδεὶς ἐν Πνεύματι τὸν Θεὸν προσεκύνει. τότε γὰρ πνευματικὸς ὁ ἄνθρωπος, ὅτε σὺ Θεοτόκε, Πνεύματος Ἁγίου κατοικητήριον ἐγένου. οὐδεὶς θεογνωσίας ἀνάμεστος, εἰ μὴ διὰ σοῦ, Παναγία· οὐδεὶς ὁ σωζόμενος, εἰ μὴ διὰ σοῦ, Θεοτόκε· οὐδεὶς κινδύνων ἐλεύθερος, εἰ μὴ διὰ σοῦ, Παρθενομῆτορ· οὐδεὶς ὁ ἐλεούμενος δωρεάν, εἰ μὴ διὰ σοῦ, Θεοχώρητε. τίς γὰρ τῶν ἁμαρτωλῶν ἐπὶ τοσοῦτον ὑπερμαχεῖ; τίς τῶν ἀδιορθώτων κατὰ τοσοῦτον ἀντιφωνητικῶς ὑπεραπολογεῖται; πᾶς γὰρ τῶν δυναμένων ἔσθ᾽ ὅτε καὶ βοηθεῖν, τῆς παραβολικῆς συκῆς τὴν ἐκτομὴν ἐν ἡμῖν εὐλαβούμενος, ἀνεβάλλετο ἂν τὴν ὑπὲρ ἡμῶν ἱκεσίαν τῷ Θεῷ προσαναπέμψαι, ἵνα μὴ τῆς ἀποφάσεως διὰ τὸ ἄκαρπον τῆς ὑποσχέσεως δοθείσης, ἄδεκτος ἡ ἀντιφώνησις ὀφθῇ. σὺ δὲ μητρῴαν ἔχουσα πρὸς τὸν Θεὸν τὴν ἰσχύν, καὶ τοῖς καθ᾽ ὑπεροχὴν ἁμαρτάνουσι καθ᾽ ὑπερβολὴν τὴν συγχώρησιν ἐξανύεις. οὐδὲ γὰρ ἐνδέχεταί σε ποτὲ παρακουσθῆναι, ἐπειδὴ πειθαρχεῖ σοι κατὰ πάντα καὶ διὰ πάντα, καὶ ἐν πᾶσιν ὁ Θεός, ὡς ἀληθινῇ αὐτοῦ καὶ ἀχράντῳ μητρί. ὅθεν ὁ θλιβόμενος, εὐλόγως πρὸς σὲ καταφεύγει· ὁ ἀσθενῶν προσκολλᾶται· ὁ πολεμούμενος σὲ τοῖς ἐχθροῖς ἀνθοπλίζει. θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστολὴν δι᾽

Ἀγ-

Ἀγγέλων πονηρῶν, σὺ μεταβάλλεις. ἀπειλὴν δικαίαν καὶ ψῆφον ἀξιοπαθοῦς καταδίκης σὺ μεταστρέφεις, ἀγαπῶσα μεγάλως τὸν ἐπικεκλημένον τῷ ὀνόματι τοῦ Υἱοῦ σου λαόν. ὅθεν καὶ ὁ Χριστιανὸς λαός σου τὰ καθ' ἑαυτὸν ἐπικρίνων, πρὸς μὲν τὸν Θεὸν ὑποστέλλεται, σοὶ δὲ παρρησιαστικῶς τὰς δεήσεις προσφέρει. σὲ γὰρ δυσωπεῖν ἀνενδοιάστως διὰ τὴν πεῖραν καὶ τὰ πλήθη τῶν εἰς ἡμᾶς ἀγαθῶν σου, καὶ παραβιάσασθαί σε πολλάκις ἐν ἱκεσίαις πεπίστευκε. ὅθ' ἂν τίς σε μὴ μακαρίσει τὴν τῶν Ἀγγέλων ὑπὲρ ἔννοιαν θεωρίαν, τὴν τῶν ἀνθρώπων ὑπέρξενον ἐπιτυχίαν, τὴν ὑπόληψιν τῶν Χριστιανῶν, τὸ ὀχλούμενον τῶν ἁμαρτωλῶν προσφύγιον, τὴν καθ' ὥραν ἐν τῷ στόματι τῶν Χριστιανῶν φερομένην; μόνον γὰρ εἰ θρηνήσῃ Χριστιανός, εἰ καὶ πρὸς λίθον τὸν ἑαυτοῦ προσκόψῃ πόδα, τὸ σὸν ἐπικαλεῖται πρὸς βοήθειαν ὄνομα. σὲ τοιγαροῦν τίς δοξάζων, ἀπαύστως οὐ μὴ δοξάσει; δοξάζειν σε μᾶλλον ἐπιθυμεῖ, ἐὰν καὶ ἀκόρως ἐνάρξηται. ἀδύνατον γὰρ ἐπαξίως ὑμνῆσαί σε. τὸ δὲ διὰ παντὸς μεγαλύνειν σε ποθεῖ, διὰ τοῦ διηνεκῶς δοξολογεῖν σε, παραψυχὴν τῆς χρείας ἀπολαμβάνων. ἐπεὶ γὰρ πολλὰ χρεωστῶν, οὐδὲν ἀνταποδίδωσί σοι, πληθύνει τὴν εὐχαριστίαν ὡς ἐν ἀρχῇ, καὶ ταύτην ἀεὶ ὡς ἀεὶ τὸ ἀγαθὸν ποιούσῃ προσάγει. σὲ τίς μὴ θαυμάσει τὴν ἀμετάθετον σκέπην, τὴν ἀμετάστατον καταφυγήν, τὴν ἀκοίμητον πρεσβείαν, τὴν ἀδιάλειπτον σωτηρίαν, τὸ ἀπόρθητον τεῖχος, τὸν θησαυρὸν τῶν ἀπολαύσεων, τὸν ἀνέγκλητον Παράδεισον, τὸ ἀσφαλὲς ὀχύρωμα, τὸ κραταιὸν περιχαράκωμα, τὸν ἰσχυρὸν τῆς ἀντιλήψεως πύργον, τὸν λιμένα τῶν χειμαζομένων, τὴν γαλήνην τῶν τεταραγμένων, τὴν τῶν ἁμαρτωλῶν ἐγγυητήν, τὴν τῶν ἀπεγνωσμένων προσαγωγήν, τὴν τῶν ἐξορισθέντων ἀνάληψιν, τὴν τῶν ἐκδιωχθέντων ὑποστροφήν, τὴν τῶν ἀλλοτριωθέντων οἰκείωσιν,

τὴν

τὴν τῶν κατακεκριμένων παράθεσιν, τὴν τῶν κατηραμένων εὐλογίαν, τὴν δρόσον τῆς ψυχικῆς αὐχμηρίας, τὴν σταγόνα τῆς ἐκτακείσης βοτάνης (τὰ γὰρ ὀστᾶ ἡμῶν, ὡς γέγραπται, καθάπερ βοτάνη ἀνατελεῖ) τὴν τοῦ ἀμνοῦ καὶ Ποιμένος μητέρα, καὶ πάντων τῶν ἀγαθῶν γνωριζομένην πρόξενον; ὅσα τὰ σά, παράδοξα, ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό, ἐπιθυμητά τε πάντα, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. καὶ γὰρ οἱ δοῦλοί σου ποθοῦμεν αὐτά. ἐν τῷ ποθεῖν αὐτά, ἀντάμειψις ἐκ σοῦ πολλή. τὰ ἐλέη σου τίς συνήσει; ἀλλ' ἀρκεῖ σοι πρὸς ἔπαινον ἀξιάγαστε, τὸ μὴ εὐπορεῖν ἡμᾶς ἐγκωμιάσαι τὰ σά. ἔχεις ἐκ Θεοῦ τὸ μέγα πρὸς θρίαμβον ὕψος· διότι λαβὼν αὐτὸς χριστιανικὸν ἀπὸ σαρκὸς τῆς σῆς συνεστήσω, καὶ τὸ ὁμογενές σου σύμμορφον τῆς θείας αὐτοῦ καὶ ὁμοιωτικῆς εἰκόνος ἀπειργάσω· εὐλογημένον τοίνυν διὰ τοῦτο τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. πρὸ τοῦ ἡλίου τὸ φῶς σου. ὑπερτέρα πάσης τῆς κτίσεως ἡ τιμή σου· πρὸ τῶν Ἀγγέλων ἡ ὑπεροχή σου· ὑψηλοτέρα σὺ τοῦ Οὐρανοῦ, ἀλλὰ καὶ πλατυτέρα τοῦ Οὐρανοῦ τῶν Οὐρανῶν, καὶ τοῦ γραφικῶς παρά τινας Ἁγίου ἀντιφερομένου ἑβδόμου ὀγδοωτέρα, καὶ εἰ ἔστι τὶς ἕτερος, καὶ ὑπερέκεινα τούτου λέγειν, Οὐρανός. εὐλογημένη σὺ ἐν γυναιξὶ γυναικῶν. ἀλλὰ καὶ εὐλογήθησαν ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. οὐδὲ γὰρ ἔστι τόπος, ἔνθα σὺ μὴ δοξάζῃ, οὐδὲ φυλή, ἐξ ἧς οὐκ ἐβλάστησαν διὰ σοῦ καρποὶ τῷ Θεῷ· ὥστε καὶ τὰ μὴ ἐπεγνωκότα σε κατὰ τὸν Κόσμον τοῦτον ἔθνη, καιρῷ δεκτῷ καὶ αὐτὰ μακαριοῦσί σε, Παρθένε. ὅταν γὰρ ὁ ἐκ σοῦ γεννηθεὶς ἥξει κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ὄψονται καὶ κόψονται οἱ μὴ Θεοτόκον σε πιστῶς ὁμολογῆσαι θελήσαντες. καὶ τότε γνώσονται ποίου θησαυροῦ ἑαυτοὺς κακοβούλως ἐζημίωσαν. ἀλλ' ἡμῖν τοῖς Χριστιανοῖς, καὶ Χριστιανικῇ Θεοτόκον σεβομένοις σε Πίστει, παραίτιον τῆς ἀμεταθέτου σου προστασίας τὸ ἔλεος. καὶ γὰρ τὴν κοίμησίν

σου Θεοτόκε, ζωὴν ἡγούμεθα δικαίως, καὶ συνοικοῦσάν σε πνευματικῶς ἔχειν πεπιστεύκαμεν. καὶ ὅταν θλῖψις ἐγγύς, ζητοῦντές σε λυτρούμεθα. καὶ ὅταν πάλιν χαρᾶς καιρός, σὺ ταύτης πρόξενος. καὶ ὅταν ἐν ὅλοις ὑπὸ σοῦ μεμνώμεθα, μεθ᾽ ἡμῶν σε διάγειν πιστοφορούμεθα. ὃν τρόπον γὰρ ἡ διψῶν πρὸς τὴν πηγὴν κατασπεύδει, οὕτω καὶ πᾶσα ψυχὴ πιστοτάτη πρὸς σὲ κατατρέχει, ἐμπλησθῆναι τῆς σῆς ἐπειγομένη βοηθείας. καὶ πάλιν ὥσπερ τὸ τοῦ ἀέρος ἆσθμα ζωτικὴν τοῖς ἀνθρώποις ἐμπνέει τὴν ὄσφρησιν, οὕτω καὶ σὲ παντὸς ὀρθοδόξου Χριστιανοῦ ἐπὶ στόματος προφέρει πνοή. οὐδὲ γὰρ τοσοῦτον τῆς τοῦ ἀέρος ἀνιμώμεθα ψυχαγωγίας, ὅσον τῆς τοῦ ὀνόματός σου ἀρυόμεθα σκέπης, ὡς ἐν Χριστῷ καὶ ἐν σοὶ τὸ γεγραμμένον πληροῦσθαι. ἀναπνοή φησι μυκτήρων ἡμῶν σὺ εἶ. ἐν τῇ σκέπῃ σου καὶ πνοῇ ζήσομεν. ποῖον γὰρ γένος ἀνθρώπων, πάρεξ εἰπεῖν Χριστιανῶν, τοιαύτης ἐπέτυχε δόξης, τοιαύτης ηὐπόρησεν ὑπολήψεως; Ἄγγελοι ταῖς οὐρανίαις ἐγκαυχῶνται καταμοναῖς, ἡμεῖς τοῖς τῶν ἁγιασ-των σου Ναῶν εὐφραινόμεθα σχολασμοῖς. εἰ γὰρ ὁ Σολομώντιος Ναὸς πάλαι τὸν Οὐρανὸν ἐπὶ τῆς γῆς ἐσκιαγράφει, πόσῳ μᾶλλον ἐμψύχου σου Ναοῦ γεγονυΐας τοῦ Χριστοῦ, μὴ καὶ τὰς Ἐκκλησίας ὡς ἐπιγείους Οὐρανοὺς δικαίως ἐπαναπομπάζειν; ἀστέρες λαμπηδογλωσσοῦσιν ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ, αἱ σωματικαί σου τῶν εἰκόνων, Θεομῆτορ, χρωματουργίαι, τὴν ἐπίδοσιν τῶν σῶν ἡμῖν ἀναστράπτουσι δωρεῶν. Ἥλιος καὶ Σελήνη τὸν οἷα τοῦ κυκλώματος διαδεχοῦσι πόλον. πᾶς οἶκος καὶ πᾶσα πόλις καὶ χώρα τὸ σοὶ ἐκ τοῦ σοῦ γεννηθέντος φωτὸς ἀγλαΐζεται φῶς. διὰ τοῦτο μακάριος κἂν ἁμαρτωλὸς ὁ ἄνθρωπος, ὅτιπερ συγγενῆ σε κατ᾽ οὐσίαν κτησάμενος εὑρέθη, καὶ θείας φύσεως διὰ σοῦ κοινωνός. μακάριος ἀληθῶς, καὶ καλῶς αὐτῷ γέγονε, μᾶλλον δὲ καὶ ἔσται καλῶς. οὐ διαλείψει γὰρ τοῖς τὴν

σὴν

σὴν ἀντίληψιν ἕως τέλους ἔχειν ἀξιουμένοις. ἐρρέτω θάνατος ἐπὶ σοὶ Θεοτόκε, ὅτι ζωὴν τοῖς ἀνθρώποις προσήγαγες. ἐρρέτω τάφος ἐπὶ σοὶ, ἐπειδήπερ ὕψους ἀκαταφράστου θεῖος ἐγένου θεμέλιος. ἐρρέτω χοῦς ἐπὶ σοὶ, ἡ ἀνάπλασις γὰρ εἶ, ὅτι τοῖς ἐν ὕλῃ πηλοῦ διεφθαρεῖσι κεχρημάτικας Δέσποινα. οὐκοῦν πίστει σε μεθ᾽ ἡμῶν συναναστροφον ἔχειν ὁμολογοῦμεν. εἰ μὴ γὰρ ἐν τούτῳ παρηγορούμεθα, ἐξέλιπεν ἂν τῇ ἐπιθυμίᾳ τῇ πρὸς σὲ τὸ ἡμέτερον πνεῦμα. καὶ πίστει τοὺς Οὐρανοὺς, ὡς γέγραπται, κατηρτίσθαι νοοῦμεν· οὕτω καὶ σὲ μετελθοῦσαν, συνδιάγωγον καὶ μετὰ τὴν ἐκδημίαν τοῦ σώματος πιστεύομεν ἀναθεωρεῖν· οὐ γὰρ ὀδύνη τοσαύτη τῇ ψυχῇ τῆς σαρκὸς ὅταν ἀποσπασθῇ, ὅσον ὀδυνηρὸν σοῦ στερηθῆναι, Πανάχραντε· ὅθεν καὶ τὸ γεγραμμένον, κἂν τὸ σῶμά σου καθεύδῃ, ἡ καρδία σου ἀγρυπνεῖ· καὶ κἂν τὸ ἀπαραίτητον τοῦ θανάτου παρεδέξω φύσει, οὐ νυστάζει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων ἡμᾶς ὀφθαλμός σου· οὐκ ἀμάρτυρος γὰρ ἡ μετάστασίς σου, οὐδὲ ψευδὴς ἡ κοίμησις. ὁ Οὐρανὸς τῶν ἐπὶ σοὶ τότε συνδραμόντων διηγεῖται δόξαν. ἡ γῆ τὴν περὶ αὐτῶν παρίστησιν ἀλήθειαν. αἱ νεφέλαι τὴν ἐξ αὐτῶν σοι διακονηθεῖσαν βοῶσι τιμὴν, καὶ Ἄγγελοι τὴν εἰς σὲ τότε γενομένην ἀπαγγέλλουσι δορυφορίαν. τὸ πῶς φημὶ κατὰ τὴν Ἱερουσαλὴμ οἱ Ἀπόστολοι παρεγένοντο πρὸς σὲ, καθάπερ καὶ Ἀββακοὺμ ὁ Προφήτης ἐκ μερῶν τῆς ὀρεινῆς ἐν ὥρᾳ μιᾷ διὰ νεφέλης ἁρπαγεὶς, καὶ Ἀγγελικῆς δεξιᾶς ὑποληφθεὶς ἐν τῇ Περσικῇ Βαβυλῶνι εἰς τὸν λάκκον τῷ Δανιὴλ παρέστη. ἀλλ᾽ ὥσπερ ῥανὶς εἰς θάλασσαν ἐπιχεομένη οὐδὲν προστίθησιν, οὐδὲ βαλάντιον πτωχοῦ, πλουσίου θησαυρὸν ἀποκενοῖ· οὕτως οὐδὲ τὰ ὕψη σου τῶν ἐγκωμίων ἱκανός τις ἐν λόγων καταμεγεθῆσαι φωναῖς. ἔχεις σὺ παρ᾽ ἑαυτῆς τὸν ἴδιον ὕμνον, ὅτι περ Θεοτόκος ἀνεδείχθης. οὐδὲ γὰρ ὅτι ταῖς ὠσὶν ἡμῶν παρὰ γραφικῆς ἐξηγήσεως τοῦτο καὶ μόνον ἠκούσθη, οὐδὲ πά-

πά-

πάλιν ὅτιπερ οἱ Πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν τοῦτο παναληθευούσῃ διηγήσει, τὴν προσηγορίαν ἐπληρώσω τῆς Θεοτόκου, ἀλλ' ὅτι τὸ ἔργον, ὃ εἰργάσω ἐν ἡμῖν, κυρίως καὶ ἀψευδῶς Θεοτόκον σε δι' αὐτῶν βεβαιοῖ τῶν πραγμάτων. καὶ ἤτοι χάριν τὸ θεοδόχον σου σῶμα παρὰ νεκροποιοῦ καταφθορᾶς ἔπρεπεν ὄντως μὴ συγκλεισθῆναι, ἀλλὰ καὶ τὸν τάφον ὡς ἀνθρώπινον ὑποδέξασθαι τὸ ἴδιον φύραμα, καὶ σοῦ ζωοτελῶς πρὸς τὰ οὐράνια τῆς οἰκείας μεταστάσης ζωῆς, κενὸν μὲν αὐτὸν δειχθῆναι τῆς σαρκός σου, ἀχώριστον δὲ τῆς τῶν ἀνθρώπων συναναστροφῆς εὑρεθῆναι τὸ Πνεῦμά σου, ἀοράτῳ ἐνεργείᾳ τοῦ ὑπὸ σοῦ παρθενικῶς γεννηθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

10,766

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΝΑΣΤΑΣΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ,

### *Λόγος εἰς τὸν Εὐαγγελισμὸν τῆς Πανυμνήτου Δεσποίνης ἡμῶν Θεοτόκου.*

ΤΙ' πάλιν ἐπὶ τῆς γῆς ὁ μέγας βούλεται Γαβριὴλ ἡμῖν; ἆρα πρὸς ἡμᾶς αὖθις ἀφίκετο; ποίοις ἀποκρύφοις ὑπηρετεῖ μυστηρίοις Θεοῦ; οὐκ ἐπὶ μικροῖς. φοβεροῖς ὄντως ὁ Ἄγγελος διακονεῖται τοῖς πράγμασι. μεγάλα ἐστὶν ἅπερ πιστεύεται. ἄλλῳ οὐδενὶ εὔληπτα τὰ δι' αὐτοῦ δηλούμενα. μόνος θαῤῥεῖται τοὺς ἀῤῥήτους τῆς τοῦ Θεοῦ σοφίας θησαυρούς, καὶ τὸ βάθος τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων φωτίζεται. ἀφίκετό ποτε πρὸς ἡμᾶς, ἵνα τὸν ἄνδρα τῶν ἐπιθυμιῶν συνετίσῃ Δανιήλ, καὶ Βασιλέων διδάξῃ διαδοχάς, καὶ Κόσμου τέλος, καὶ δηλώσῃ ἀνάστασιν, καὶ κρίσιν προμηνύσῃ κατὰ τὴν πρᾶξιν ἑκάστῳ ἀποδιδομένην, καὶ τῶν μελλόντων φανερώσῃ τὴν ἀποκάλυψιν. ἦλθε πάλιν, τὴν παράδοξον τοῦ θείου Βαπτιστοῦ γέννησιν τῷ Πατρὶ εὐαγγελιζόμενος, καὶ τὴν δι' αὐτοῦ πρὸς Θεὸν τῶν ἀνθρώπων συνάφειαν ἀποφαίνων. καὶ νῦν εἰ πινυθεὶς τι μέγα παραγένετο, οἱ τοῖς γεγραμμένοις πιστεύειν ἄξιοι κατανοήσατε, ὅτι στεῖραι τεκνογονοῦσι, γηραλέοι παιδοποιοῦσιν, ἔμβρυα σκιρτῶσιν, Ἱερεὺς δι' ἀπιστίαν σιωπῇ καταδικάζεται. ἄλλος ἄλλο τι τῶν Ἁγίων Ἀγγέλων πιστεύεται. μόνος δὲ οὗτος τὸ πάντων θαῤῥεῖται κεφάλαιον, Θεὸν ἀσπόρως ἐν γαστρὶ κυοφορούμενον

μῖξαι, Πνεῦμα Ἅγιον τῷ τόκῳ συνεργαζόμενον, τὸν ἐπὶ πάντων Πατέρα καὶ Θεὸν τῇ Παρθένῳ λέγειν κελεύοντα· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· ὢ φιλοτίμου καὶ θεϊκῆς φωνῆς· ὢ φιλανθρωπίας ὑπερβολῆς καὶ ἀγαθότητος· ὢ λειτουργίας ὄντως Ἀγγελικῆς· ὢ μακαρίας Παρθένου τοιούτων καταξιωθείσης ῥημάτων, μᾶλλον δὲ τοιούτοις διακονήσασθαι πράγμασιν. ἀσυνδυάστως ἐκυοφόρησας· ἀνυμφεύτως ἀπέτεκες. μόνη μήτηρ ὁμοῦ καὶ Παρθένος ἐγένου. οὐ γὰρ διέκοψε τὴν παρθενίαν ὁ τόκος, οὐδὲ διέλυσε τὴν ἀφθορίαν ἡ σύλληψις. ἄσυλον τὸ τῆς παρθενίας κειμήλιον καὶ μετὰ τόκον ἐφύλαξας. ἐγαλακτοτρόφησας ὡς νήπιον, τὸν διδόντα τροφὴν πάσῃ σαρκί. ὑπὸ τὴν σὴν θηλὴν ἤγαγες ὡς βρέφος τὸν πηγάζοντα γάλα ταῖς τικτούσαις πρὸς διατροφὴν τῶν τικτομένων βρεφῶν. καὶ γὰρ μήτηρ ἐγένου οὐκ ἀνθρώπου ψιλοῦ, ἢ Προφήτου τινὸς, ἢ Θεὸν ἔνοικον ἔχοντος, ἀλλὰ μήτηρ ἀληθῶς τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου; ποῖον δὲ ἀριθμῆσαι δυνήσεται; ποῖος δὲ λόγος εὑρεθήσεται ἄξιος τῶν νοουμένων ἑρμηνεύς; μέχρι σοῦ ἤκουον γυναῖκες, ἐν λύπαις τέξεσθε τέκνα, καὶ κατὰ πασῶν ὥσπερ τις κλήρου διαδοχὴ τὸ θεϊκὸν ἔτρεχε πρόσταγμα, ἄλυτον καὶ ἀμετάθετον διαμένον. ἀπὸ σοῦ λοιπὸν τὸ θῆλυ γένος ἀκούσει· χαίρετε γυναῖκες, ἀρχὴν τοῦ χαίρειν λαβοῦσαι τὴν μόνην ἐν Παρθένοις κεχαριτωμένην, τὴν καλὴν, τὴν ἄσπιλον, τὴν Ἁγίαν, τὴν Θεομήτορα Μαρίαν. ὁ μὲν οὖν μέγας Ἄγγελος τοιαῦτα τῇ Παρθένῳ εὐαγγελίζεται, καὶ ὁμοῦ τοῖς λόγοις ὁ τοῦ Θεοῦ Μονογενὴς τὴν παρθενικὴν ὑπέδυ νηδύν. καὶ ἐχώρησε γαστὴρ, ὃν Οὐρανὸς οὐκ ἐχώρησεν ὅλος. ἔμβρυον δι' ἡμᾶς γέγονεν ὁ ὑπὲρ ἡμᾶς, κατὰ μέρος αὔξων, καὶ σωματικῶς τελειούμενος ὁ παντέλειος τοῦ Θεοῦ Λόγος, καὶ πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. χρόνων ἀρχὴ

λαμ-

λαμβάνει ὁ χρόνων Ποιητὴς καὶ ὑπάρχων πρὸ τῶν αἰώνων· ἄνθρωπος ἐγένετο ὁ τῶν ἀνθρώπων δημιουργός, μητέρα κτησάμενος ἐξ ἡμῶν ὁ μόνος τοῦ Θεοῦ κατὰ φύσιν Υἱός, σάρκα ἐξ αὐτῆς λαβὼν τὴν ἡμῖν ὁμοούσιον. ἀλλ᾽ ἐπειδήπερ ὁ Λόγος οὐ συναναβαίνει τοῖς θαύμασιν, οὐδὲ θνητὴ γλῶσσα κατ᾽ ἀξίαν τὰς μεγαλουργίας τοῦ Θεοῦ ἐξαγγέλλει, δεῦρο τῶν Προφητῶν εὐτονώτατε καὶ μεγαλοφωνότατε Ἡσαΐα, δεῦρο δίδαξον ἡμᾶς τὰ μεγαλεῖα τοῦ Θεοῦ· ὕμνησον διὰ τοῦ Πνεύματος τὰ γεγενημένα· προθέσπισον, ἵνα ἀκουσθῇ τὰ μηνυόμενα· δοξολόγησον τὸν φωτίζοντα οὓς βούλεται· πιστοποίησαι τῇ προαγορεύσει τὰ ἄπιστα. ἰδοὺ φησιν, ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. λέγε πάλιν Προφῆτα, τῆς ἐπὶ τούτοις δοξολογίας τὸν ὕμνον. Κύριος ὁ Θεός μου, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν. γένοιτο Κύριε. τίς δὲ ἡ ἀρχαία βουλὴ τοῦ Θεοῦ καὶ Πατρός; τὸ σωθῆναι πάντας ἡμᾶς· ὁ γὰρ τὸ εἶναι δούς, πῶς οὐκ ἂν μᾶλλον τὸ εὖ εἶναι δέδωκε; τὸ ἴδιον ἀνακαλούμενος πλάσμα ἐπὶ τὸ ἀρχαῖον ἐνδιαίτημα, καὶ ἐπὶ τὴν τῆς ἐντολῆς φυλακήν, δι᾽ ἣν ἀτελεύτητος ἐν ἡμῖν ἡ τῆς ζωῆς ἐπαγγελία, ἣν ἀπωλέσαμεν εἰκότως, τὴν ἐντολὴν μὴ φυλάξαντες. ἀλλ᾽ ὦ θεία καὶ μακαρία Παρθένε, ἡ πρὸς Οὐρανὸν ἐκτεταμένη κλίμαξ, ἡ πύλη τοῦ Παραδείσου, ἡ πρὸς ἀφθαρσίαν εἴσοδος, ἡ τῶν ἀνθρώπων πρὸς Θεὸν ἕνωσίς τε καὶ συνάφεια, σὺ ἡμῖν ἐπισφράγισον τὸν λόγον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι᾽ οὗ, καὶ μεθ᾽ οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Παναγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΑΝΔΡΕΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΡΗΤΗΣ

Τοῦ Ἱεροσολυμίτου, Λόγος εἰς τὸ Γενέσιον τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν καὶ Ἀειπαρθένου Μαρίας.

Ἀρχὴ μὲν ἡμῖν ἑορτῶν ἡ παροῦσα πανήγυρις, ὅρια δὲ μετὰ τὸν νόμον καὶ τὰς σκιάς, καὶ μέντοι καὶ τῆς πρὸς τὴν χάριν καὶ ἀλήθειαν εἴσοδος. ἔστι δὲ αὕτη καὶ μέση καὶ τελευταία, ἀρχὴν μὲν ἔχουσα τὴν τοῦ νόμου περαίωσιν, μεσότητα δὲ τὴν πρὸς τὰ ἄκρα συνάφειαν, τέλος δὲ τὴν τῆς ἀληθείας φανέρωσιν. τέλος γὰρ νόμου Χριστός, οὐ μᾶλλον ἡμᾶς ἀπάγων ἀπὸ τοῦ γράμματος, ὅσον ἐπανάγων ἐπὶ τὸ πνεῦμα. τοῦτο γὰρ ἡ τελείωσις, καθ᾽ ἣν αὐτὸς ὁ τοῦ νόμου δοτὴρ ἅπαντα συμπεράνας, ἐπὶ τὸ πνεῦμα τὸ γράμμα μετήνεγκεν, ἀνακεφαλαιώσας εἰς ἑαυτὸν τὰ σύμπαντα, καὶ διαιτήσας νόμῳ καὶ χάριτι. καὶ τὸν μὲν ὑποζεύξας, τὴν δὲ συνάψας ἐναρμονίως, οὐ φύρας τὰ θατέρου πρὸς θατέρου ἴδια, μετοχετεύσας δὲ καὶ λίαν θεοπρεπῶς ἐπὶ τὸ κοῦφόν τε καὶ ἐλευθέριον ὅσον δυσαχθές τε καὶ δοῦλον καὶ ὑποχείριον, ἵνα μηκέτι ὦμεν ὑπὸ τὰ στοιχεῖα τοῦ Κόσμου δεδουλωμένοι, καθώς φησιν ὁ Ἀπόστολος, μηδὲ ζυγῷ δουλείας τοῦ νομικοῦ γράμματος ἐνεχώμεθα. τοῦτο γὰρ τῶν περὶ ἡμᾶς εὐεργετημάτων Χριστοῦ τὸ κεφάλαιον. τοῦτο ἡ τοῦ μυστηρίου φανέρωσις· τοῦτο ἡ κενωθεῖσα φύσις, Θεὸς καὶ ἄνθρωπος, καὶ ἡ τοῦ προσλήμματος θέωσις. ἀλλὰ τῆς οὕτω λαμπρᾶς καὶ περιφανεστάτης Θεοῦ πρὸς ἀνθρώπους ἐπιδημίας ἔδει τινὰ

τῆς

πως εἶναι καὶ χαρᾶς ἐπεισόδιον, δι' οὗ τὸ μέγα τῆς σωτηρίας εἰς
ἡμᾶς πρόεισι δῶρον. τὸ δέ ἐστιν ἡ παροῦσα πανήγυρις, προοί-
μιον ἔχουσα τῆς Θεομήτορος τὴν Γέννησιν, συμπέρασμα δὲ τῆς
τοῦ Λόγου πρὸς σάρκα συμπήξεως τὴν ἀπόπηξιν, καθ' ἣν τὸ
καινότατον ἀπ' αἰῶνος ἐν θαύμασιν ἄκουσμα διὰ παντὸς ἐκλα-
λούμενον δύσληπτον μένει καὶ δυσθεώρητον, ὅσῳ κρύπτεται φα-
νερούμενον, καὶ ὅσῳ φανεροῦται κρυπτόμενον. ἐντεῦθεν ἄρα τῆς
παρθενίας τὸ φῶς ὑπὲρ κεφαλῆς φέρουσα, καὶ οἷον ἐξ ἀκηρά-
των ἀνθέων τῶν πνευματικῶν τῆς γραφῆς λειμώνων ἐρανιζο-
μένη τὸν στέφανον, ἡ θεοχαρίτωτος αὕτη καὶ πρώτη τῶν ἑορτῶν ἡμέ-
ρα, κοινὴν τῇ κτίσει τὴν εὐφροσύνην προτίθεται· θαρσεῖτε,
λέγουσα, γενέθλιος ἡ πανήγυρις, καὶ τῆς φύσεως ἀνάπλασις·
Παρθένος γὰρ ἄρτι γεννᾶται, καὶ τιθηνεῖται, καὶ πλάττεται, καὶ
Θεῷ τῷ παμβασιλεῖ τῶν αἰώνων ἀπειρογάμως ἑτοιμάζεται
Μήτηρ. καὶ τοῦτο ἡμῖν ἐκ Δαβὶδ σὺν Δαβὶδ τὸ πνευματικὸν
συγκεκρότηκε θέατρον. ἡ μὲν ὡς Θεομήτορος τὴν ἑαυτῆς προ-
θεῖσα θεόσδοτον γέννησιν, ὁ δὲ τῆς φύσεως τὴν εὐκληρίαν πα-
ρα[?]δεικνύς, καὶ τὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους καινοπρεπεστάτην συγ-
γένειαν. βαβαὶ τοῦ θαύματος. ἡ μὲν μεσιτεύει Θεότητος ὕψει,
καὶ σαρκὸς ταπεινότητι, καὶ γίνεται Μήτηρ τοῦ πλάσαντος ὑπὲρ
ὅλου τοῦ πλάσματος· ὁ δὲ προφητεύει τὸ μέλλον ὡς ἤδη παρόν,
καὶ ὅρκῳ λαμβάνει παρὰ Θεοῦ τὴν εὔκλειαν τῆς φύσεως ἐξ ὀσφύος
γενομένην καὶ συντήρησιν. πανηγυριστέον οὖν εἰκότως τὸ τῆς ἡμέ-
ρας μυστήριον, καὶ δωροφορητέον τῇ τοῦ Λόγου Μητρὶ τοὺς λόγους
αὐτούς, ὅτι μὴ φίλον αὐτῇ τῶν ἄλλων οὐδέν, πλὴν λόγου καὶ τῆς
ἐκ λόγων τιμῆς. ἐπεὶ καὶ διπλοῦν ἡμῖν ἐντεῦθεν προσέσται
ποιουμένοις τὸ κέρδος, τὸ μέντοι πρὸς τὴν ἀλήθειαν ἡμᾶς ἐπα-
νάγον, τὸ δέ τοι τῆς νομικῆς ἐν γράμματι δουλείας καὶ πολιτείας
ἀπάγον. πῶς, καὶ τίνα τρόπον; ὑποχωρούσης δηλαδὴ τῆς σκιᾶς
τῇ τοῦ φωτὸς παρουσίᾳ, καὶ τὴν ἐλευθερίαν τοῦ γράμματος ἀντεισ-
φερούσης τῆς χάριτος. ὧν ἡ παροῦσα πανήγυρις μεθόριος ἵστα-

ται, τὴν ἀλήθειαν τῶν τυπικῶν συμβόλων ἀντιπαρεξάγουσα, καὶ τὰ νέα τῶν παλαιῶν ἀντεισφέρουσα. τοῦτο καὶ ὁ Παῦλος ἡ θεία τοῦ Πνεύματος σάλπιγξ ἀνακέκραγε λέγων· εἴτις ἐν Χριστῷ καινὴ κτίσις, ἀνακαινίζεσθε. τὰ ἀρχαῖα παρῆλθεν. ἰδοὺ γέγονε τὰ πάντα καινά. ἐπειδὴ γὰρ μηδὲν ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγῇ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ τῆς χάριτος, ἐξεφάνθη τρανῶς ἡ ἀλήθεια, αὐτὸς ἑαυτὸν καθεὶς ὁ τοῦ κόσμου Σωτὴρ ἀφράστως εἰς κένωσιν, ὁ οἰκονομικῶς ἄνθρωπος προελήλυθεν, ἵνα πληρώσῃ τὸ λεῖπον, καὶ ἀντιδῷ τῶν χειρόνων τὰ κρείττω καὶ τελειότερα· ὃ δὴ καὶ ὁ ὑψηλὸς βούλεται ὁ Ἰωάννης, ὁ Θεολόγος τοῦ Λόγου βροντῇ διασημαίνειν σαφέστατα, ἐκ τοῦ πληρώματος αὐτοῦ, λέγων, ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· αὐτοῦ γὰρ κενωθέντος, εἶτα καὶ μορφωθέντος ὑπερφυῶς ἐξ ἡμῶν τὸ ἡμέτερον, ἡμεῖς τὸ πλῆρες ἐλάβομεν, καὶ τὴν ἀντιδοθεῖσαν τοῦ ληφθέντος φυράματος κατεπλουτίσθημεν θέωσιν. οὐκοῦν ἀγαλλιάσθω τὰ σύμπαντα σήμερον, καὶ ἡ φύσις σκιρτάτω. εὐφραινέσθω ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην. σταλαξάτω τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ἀγαλλίασιν, ὅτι ἠλέησε Κύριος τὸν λαὸν αὐτοῦ, ἐγείρας κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ, τὴν ὑπεράμωμον ταύτην καὶ ἄνανδρον, ἐξ ἧς ὁ Χριστὸς ἡ σωτηρία τῶν ἐθνῶν καὶ ἡ προσδοκία. χορευέτω δὴ τοίνυν πᾶσα καὶ ἀγνώμων ψυχὴ, καὶ συγκαλείτω τὴν κτίσιν ἡ φύσις πρὸς καινισμὸν ἑαυτῆς καὶ ἀνάπλασιν. στεῖραι συντόνως συντρεχέτωσαν, ἡ γὰρ ἄπαις καὶ στεῖρα τὴν θεόπαιδα Παρθένον ἐπαιδοποίησε. Παρθένοι χαιρέτωσαν, τὴν γὰρ ἄσπορον γῆν, ἧς ὁ καρπὸς ἀγεώργητος, ἡ ἄκαρπος ἐξεβλάστησεν ἄρουρα. Μητέρες σκιρτησάτωσαν, ἡ γὰρ ἄγονος μήτηρ τὴν ἄφθορον Μητέρα καὶ Παρθένον ἀπέτεκε. Γυναῖκες κροτείτωσαν, γυνὴ γὰρ ἡ πάλαι τῆς ἁμαρτίας τὴν ἀφορμὴν σχεδιάσασα, τὴν ἀπαρχὴν ἄρτι τῆς σωτηρίας εἰσεκόμισε. καὶ ἡ πάλαι κατάκριτος ἐδείχθη

Θεό-

θεόμενος, Μήτηρ ἄνανδρος ἐκλελεγμένη τοῦ πλάσαντος, καὶ τῆς γένους ἀνόρθωσις. πᾶσα τοίνυν ἡ κτίσις ὑμνείτω, καὶ χορευέτω, καὶ συνεισφερέτω τι τῆς ἡμέρας ἐπάξιον. γενέσθω μία κοινὴ σήμερον οὐρανίων καὶ ἐπιγείων πανήγυρις. καὶ συνεορταζέτω πᾶν ὅσον ἐγκόσμιόν τε καὶ ὑπερκόσμιον σύγκριμα. σήμερον γὰρ τῷ πάντων κτίστῃ τὸ κτιστὸν ᾠκοδόμηται τέμενος, καὶ τὸ κτίσμα τῷ κτίστῃ θεῖον ἐναύλισμα καινοπρεπῶς ἑτοιμάζεται. σήμερον ἡ πρὶν ἀπογεωθεῖσα φύσις ἀρχὴν λαμβάνει θεώσεως, καὶ πρὸς δόξαν ὁ χοῦς τὴν ἀνωτάτω μετάρσιος ἀναβαίνειν ἐπείγεται. σήμερον ἐξ ἡμῶν αὐθ' ἡμῶν ἀπαρχὴν ὁ Ἀδὰμ τῷ Θεῷ προσφέρων, τὴν Μαρίαν ἀπάρχεται, καὶ τοῦ ὅλου φυράματος ἡ ζύμη προφυραθεῖσα, δι' αὐτῆς ἀρτοποιεῖται πρὸς τὴν τοῦ γένους ἀνάπλασιν. σήμερον ὁ μέγας κόλπος τῆς παρθενίας ἀνακλύπτεται, καὶ τὸν ἄσυλον μαργαρίτην τῆς ἀληθοῦς ἀφθορίας ἡ Ἐκκλησία νυμφικῶς περιτίθεται. σήμερον ἡ καθαρὰ τῶν ἀνθρώπων εὐγένεια τῆς πρώτης θεοπλαστίας ἀπολαμβάνει τὸ χάρισμα, καὶ πρὸς ἑαυτὴν ἀντεπάνεισι. καὶ ἣν ἀπημαύρωσε τοῦ κάλλους εὐγένειαν ἡ τῆς κακίας δυσγένεια, ταύτην ἡ φύσις τεχθείσῃ τῇ Μητρὶ τοῦ ὡραίου προσάγουσα, πλάσιν ἀρίστην τε καὶ θεοπρεπεστάτην δέχεται. καὶ γίνεται κυρίως ἡ πλάσις ἀνάκλησις, καὶ ἡ ἀνάκλησις θέωσις, ἡ δὲ πρὸς τὸ ἀρχέτυπον ὁμοίωσις. σήμερον ἡ στεῖρα, Μήτηρ παρ' ἐλπίδα εὑρίσκεται, καὶ τόκου Μήτηρ ἀπάτορος ἐξ ἀγόνων λαγόνων βλαστήσασα, τὰς γονὰς ἁγιάζει τῆς φύσεως. σήμερον ἡ εὐπρεπὴς τῆς θείας ἀλουργίδος κατεχρώσθη βαφή, καὶ τὴν βασιλικὴν ἀξίαν ἡ πτωχικὴ τῶν ἀνθρώπων ἀμφιέννυται φύσις. σήμερον ἡ Δαβιτικὴ προφητικῶς ἐξεβλάστησεν ὄρπηξ, ῥάβδος Ἀαρὼν ἀειθαλὴς χρηματίσασα, καὶ ῥάβδον δυνάμεως ἡμῖν τὸν Χριστὸν ἐξανθήσασα. σήμερον ἐξ Ἰούδα καὶ Δαβὶδ Παρθένος Κόρη προέρχεται, βασιλείας καὶ ἱερατείας ὑπογράφουσα πρόσωπον, τοῦ κατὰ τὴν τάξιν Μελχισεδὲκ χρηματίσαντος, ἀλλ' οὐ κατὰ τὴν τάξιν Ἀα-

ρὸν ἱερατεύσαντος· σήμερον τὸ μυστικὸν τῆς θείας ἱερατείας ὕφασμα ἡ χάρις λευκάνασα Λευϊτικοῖς τυπικοῖς προεξύφηνε νήμματι, καὶ τὴν βασίλειον ἁλουργίδα βαφαῖς Δαβιτικοῦ θείως ἐπορφύρωσεν αἵματι. καὶ συνελόντι φάναι. σήμερον ἡ τῆς φύσεως ἡμῶν ἀναμόρφωσις ἄρχεται, καὶ ὁ γηράσας Κόσμος θεοειδεστάτην λαμβάνων στοιχείωσιν, δευτέρας θεοπλαστίας προοίμια δέχεται. ἐπειδὴ γὰρ ἡ πρώτη τῶν ἀνθρώπων διάπλασις ἐκ καθαρᾶς γῆς καὶ ἀσπίλου δεδημιούργητο, ἠφάνισε δὲ τὸ προσφυὲς ἡ φύσις ἀξίωμα, συληθεῖσα τὴν χάριν τῷ τῆς παρακοῆς ὀλισθήματι, δι' ἧς ἐξερρίφημεν τοῦ ζωηροῦ χωρίου, καὶ τῆς ἐν Παραδείσῳ τρυφῆς, ἡ φύσις τὴν ἐπίκηρον ζωὴν ἀντηλλάξατο κλῆρον ὥσπερ τινὰ πατρῷον εἰς ἡμᾶς καταντήσασαν, ἐξ ἧς ὁ θάνατος, καὶ ἡ ἐντεῦθεν τοῦ γένους καταφθορά. εἶτα εἰς τὴν κάτω χώραν τῆς ἄνω πάντων ἀνθελκομένων, πᾶσα μὲν ἀφῄρητο σωτηρίας ἐλπίς, ἐδεῖτο δὲ βοηθείας ἡ φύσις τῆς ἀνωτάτω, νόμος τε ἦν οὐδεὶς πρὸς ἴασιν τοῦ ἀρρωστήματος, οὐχ ὁ ἐν γράμματι κείμενος, οὐχ ὁ τῶν Προφητῶν παραινετικὸς καὶ διαλλακτήριος λόγος; οὐχ ὅσα τὴν ἀνθρωπίνην οἶδεν ἐπανορθοῦν φύσιν, καὶ οἷς ἂν τάχα ῥᾳδίως ἀνεκομίσθη πρὸς τὴν προτέραν εὐγένειαν, ηὐδόκησεν ἄρτι ὁ τῶν ὅλων ἀριστοτέχνης Θεός, οἷόν τινα πανάρμονιον καὶ νεοπαγῆ Κόσμον ἄλλον ἀρτιτελῶς ἐπιδείξασθαι, καὶ τὴν ἐγκατασκήψασαν πάλαι τῆς ἁμαρτίας ἐπιφοράν, δι' ἧς ὁ θάνατος, ἀναχαιτίσαι πως, εἶθ' οὕτω ξένην τινὰ καὶ ἀδιάλειπτον καὶ ὄντως ἀπαθεστάτην ὑμῖν ἀναδεῖξαι ζωὴν τοῖς ἀναγεννωμένοις δήποθεν τῷ τῆς θεογενεσίας βαπτίσματι. πῶς οὖν ἔδει ταύτην εἰς ἡμᾶς προελθεῖν τὴν εὐεργεσίαν, μεγάλην τε οὖσαν καὶ παραδοξοτάτην καὶ νόμοις θείοις ἐμπρέπουσαν; ἢ οὐχὶ Θεοῦ διὰ σαρκὸς ἡμῖν ἐπιφανέντος καὶ νόμοις φύσεως εἴκοντος, καὶ τοῖς καθ' ἡμᾶς, ὡς οἶδε, λόγοις ἐμπολιτεύεσθαι καινοπρεπῶς ἐπινεύοντος; τοῦτο δὲ τίνα τρόπον εἰς πέρας ἄγοιτο, ἢ Παρθένου καθαρᾶς, καὶ ἀνεπάφου διακο-

κυμονούσης τοῦ μυστηρίου πρότερον, εἶτα κυοφορούσης τὸν ὑπερούσιον, νόμῳ τοὺς νόμους ὑπερνικῶντι τῆς φύσεως; αὕτη δὲ τίς ἂν νοοῖτο, πλὴν μόνης ἐκείνης τῆς πρὸ πασῶν γενεῶν ἐκλελεγμένης τῷ παγγενέτῃ τῆς κτίσεως; αὕτη ἐστὶν ἡ Θεοτόκος Μαρία τὸ θεόκλητον ὄνομα, ἧς ἐκ νηδύος μετὰ σαρκὸς ὁ ὑπέρθεος προελήλυθεν, ἣν αὐτὸς ἑαυτῷ ναοποιήσας ὑπερφυσίως ἐπήξατο, ὅτι μὴ διέφθειρε τὴν νηδὺν ἡ τεκοῦσα, μηδὲ σπορᾶς τὸ τεχθὲν ἐδέδεκτο. Θεὸς γὰρ ἦν, εἰ καὶ σαρκικῶς γεννηθῆναι προείλετο· λοχείας ἄνευ καὶ ὠδίνων χωρίς, ὡς ἂν καὶ τὰ Μητέρων ἡ Μήτηρ ἐκφύγοιτο, παραδόξως ἐκτρέφουσα γάλακτι, ὃν ἀνάνδρως ἐπαιδοποιήσατο. καὶ ἡ Παρθένος ἄσπορον ἀποκυήσασα γέννημα, μένει Παρθένος ἀγνεύουσα, σῶα καὶ μετὰ τόκον τῆς παρθενίας τὰ σήμαντρα φέρουσα. ᾧ δὴ τρόπῳ καὶ Θεοτόκος εἰκότως κηρύττεται, καὶ παρθενία σεμνύνεται, καὶ γέννησις προσκυνεῖται, καὶ Θεὸς ἀνθρώποις συνημμένος, εἶτα σαρκὶ φανερούμενος, τῆς οἰκείας δόξης χαρίζεται τὸ ἀξίωμα. τῆς γέτοι πρώτης ἐκείνης ἀρᾶς εὐθὺς ἡ γυναικεία φύσις τὴν διόρθωσιν δέχεται, ὥσπερ ἐνήρξατο τῆς ἁμαρτίας, ἀπαρξαμένη τῆς σωτηρίας. ἦλθε τοίνυν ἡμῖν ὁ Λόγος ἐπ' αὐτὸ τὸ κεφάλαιον. κἀντεῦθεν ἐγὼ σήμερον πανηγυριστὴς καὶ λαμπρὸς ἑστιάτωρ τῆς ἱερᾶς ταύτης πανδαισίας ἡμῖν προελήλυθα, τὴν εὐφρασίαν κοινὴν προτιθέμενος. βουληθεὶς γὰρ ὡς ἔφην, τοῦ γένους ὁ Λυτρωτὴς νέαν ἀντεπιδείξασθαι τῆς προτέρας γέννησιν καὶ ἀνάπλασιν, ὥσπερ ἐκεῖ πρότερον ἐκ παρθενικῆς καὶ ἀνεπάφου γῆς πηλὸν ἀνελόμενος, τὸν πρῶτον Ἀδὰμ ἐπλαστούργησεν, οὕτω καὶ νῦν ἐνταῦθα τὴν οἰκείαν σάρκωσιν αὐτουργῶν, ἀντ' ἄλλης, ὡς ἂν εἴποιμεν, γῆς τὴν καθαρὰν ταύτην καὶ ὑπεράμωμον ταύτην Παρθένον τῆς ὅλης φύσεως ἐκλεξάμενος, τὸ καθ' ἡμᾶς ἐξ ἡμῶν ἐν αὐτῇ καινοποιήσας, νέος Ἀδάμ, ὁ πλαστουργὸς τοῦ Ἀδὰμ ἐχρημάτισεν, ἵνα τὸν παλαιὸν ὁ πρόσφατος ὑπέρχρονος ἀνασώσηται. ἀλλὰ τίς οὖσα, καὶ τίνων ἔφυ γονέων, λέ-

γω

γωμεν ἐπιτροχάδην, τὴν Ἠσαΐαν ἐπιδραμόντες εἰς δύναμιν. Αὕτη τοίνυν τὸ πάντων αὐχημάτων ἐξαίρετον αὔχημα, θυγάτηρ μὲν ἔφυ τοῦ Δαβίδ, σπέρμα δὲ τοῦ Ἰωακείμ, ἀπόγονος μὲν Εὔας, γέννημα δὲ τῆς Ἄννης. Ἰωακεὶμ γὰρ ἀνὴρ πρᾶος, ἐπιεικὴς, καὶ νόμοις ἐντεθραμμένος Θεοῦ, σωφρόνως μὲν βιοὺς, Θεῷ δὲ προσκαρτερῶν. οὕτω δὲ διατελῶν ἄπαις κατεγήρα τὸν βίον, ἀκμαζούσης τῆς φύσεως, ἀλλ' οὐκ ἐχούσης τὴν γονῆς ἀντίδωρον. Ἄννα, καὶ αὐτὴ φιλόθεος, σώφρων μὲν, ἀλλὰ στεῖρα, φίλανδρος, ἀλλ' ἄτεκνος, καὶ μηδὲν ἔτι, πλὴν τὸν νόμον Κυρίου ἐμμελέτημα φέρουσα. αὕτη τῆς στειρώσεως περιλυπουμένη ταῖς κοίταις ὁσημέραι, καὶ οἷα πάσχειν τὰς ἀτεκνούσας εἰκὸς, ἐδυσφόρει, ὠδύρετο, ἤσχαλλε, τὴν ἀπαιδίαν οὐ φέρουσα. οὕτω δὲ λύπης κατεχόμενοι Ἰωακεὶμ καὶ ἡ σύνοικος, ὅτι μὴ παῖς ὑπῆν ἐκείνοις τῆς γονῆς ἐπίκληρος, τέως μὲν τῆς ἐλπίδος αὐτοῖς οὐκ ἐσβέσθη τελείως ἡ θρυαλλίς. εὐχὴ δὲ ἦν ἀμφοτέρων παρασχεθῆναι τέκνον αὐτοῖς εἰς ἀνάστασιν σπέρματος. καὶ δὴ τὴν ἐξάκεστον Ἄνναν παραζηλοῦντες ἑκάτεροι, τῷ ἱερῷ προσανεῖχον. λιταῖς τὸν Θεὸν ἐξεμείλισσον δοῦναι λύσιν τῇ ἀτεκνίᾳ, καὶ καρπὸν τῇ στειρώσει. οἱ οὐ πρότερον ἀνῆκαν, πρὶν τῆς ποθουμένης τύχωσι, καὶ δὴ καὶ τετυχήκασιν. οὐ γὰρ μεθῆκε τῆς ἐλπίδος τὸ δῶρον ὁ τῶν δώρων δοτήρ. οὔπω γὰρ ποτνιωμένοις καὶ λιπαροῦσι τὸ θεῖον, ἐπέστη θᾶττον αὐτοῖς ἡ οὐ βραδύνουσα δύναμις, καὶ τὴν μὲν εἰς καρπογονίαν, τὴν δὲ εἰς παιδοποιΐαν ἐνδυνάμωσε, καὶ τοὺς ἐξηραμμένους τέως τῶν γεννητικῶν ὀργάνων πόρους ἰκμάσι σπερμογονίας ἐπινοτίσας ἐξ ἀγόνων γονίμους εἰργάσατο. καὶ δὴ λοιπὸν ἐξ ἀκάρπων τε καὶ ξηρῶν ὡς ἀνύδρων ξύλων καρπὸς εὐκλεὴς ἡ παναμώμος αὐτῆς Παρθένος ἡμῖν ἐξεβλάστησε. καὶ λέλυτο δὴ τὰ δεσμὰ τῆς στειρώσεως, καὶ γόνιμος ἡ εὐχὴ παρ' ἐλπίδας ἐδείκνυτο, καὶ παιδοτόκος ἡ ἄγονος, καὶ καλλίπαις ἡ ἄτεκνος. ἐπεὶ δὲ προῆλθεν ἐκ τῆς ἀγόνου μήτρας ἡ ἐκ μήτρας τὸν στάχυν τῆς ἀφθαρσίας ἐκφύσασα, τῷ

Ναῷ

Ναῷ ταύτην τῆς ἡλικίας τὸ πρῶτον ἄγουσαν ἔτος, οἱ τοκέες προσαγαγόντες ἀνέθεσαν. ἧς δὲ τὴν ἐφημερίαν τότε τῆς ἱερατείας ἐπιτελῶν Ἱερεὺς τὰς παρθενικὰς ὡς εἶδε χορείας ἐπίπροσθεν προπορευομένας τε, καὶ συνεφεπομένας, ἥσθη τε λίαν ἐγεγήθει ὡς τῶν ἐν ἐλπίσιν ἤδη τὰς θείας ἐναργῶς ἐκβάσεις τεθεαμένος, καὶ οἷόν τι σεπτὸν καλλιέρημα τὸ θεῖον ἀνάθημα τῷ Θεῷ καθιέρωσεν, εἰς αὐτὰ τὰ τῶν Ἁγίων ἄδυτα τοῦτο τὸ μέγα τῆς σωτηρίας θησαύρισμα κατατεθειμένος. ἐν οἷς τὴν παῖδα λόγος οἱονεὶ θαλάμοις νυμφικοῖς ἐμβατεύουσαν σιτεῖσθαι τροφὴν, μέχρις ὁ μνηστείας ἐπέστη καιρός· ὃς πρὸ παντὸς αἰῶνος διώρισται αὐτῷ τε καὶ τῷ ἐξ αὐτῆς φῦντι δι' εὐσπλαγχνίαν ἄρρητον, καὶ τῷ πρὸ πάσης κτίσεως, καὶ χρόνου, καὶ διαστήματος θεϊκῶς αὐτὸν φύσαντι, καὶ τῷ συμφυεῖ καὶ συνθρόνῳ καὶ προσκυνητῷ αὐτοῦ Πνεύματι· ὧν ὡς μία θεότης, οὕτω καὶ φύσις καὶ βασιλεία, μὴ μεριζομένη, μηδὲ ἀπαλλοτριουμένη, μηδέ τινί πω πρὸς ἑαυτὴν διαλλάττουσα, πλὴν τῇ τῶν θεαρχικῶν ὑποστάσεων ἰδιότητι. διὰ τοῦτο χορεύων πανηγυρίζω καὶ σπένδομαι, καὶ τῇ Μητρὶ τοῦ Λόγου προσάγω δῶρον ἑόρτιον, ὅτι μοι τῆς εἰς Τριάδος Πίστεως τὸ κεφάλαιον ὁ ταύτης τόκος ἐγνώρισε. τοῦ γὰρ ἀνάρχου Λόγου καὶ Υἱοῦ τὴν οἰκείαν σάρκωσιν αὐτουργοῦντος, καὶ ὁ γεννήσας Πατὴρ συνευδοκῶν φαίνεται, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον προπηδοῦν τε καὶ τὴν νηδὺν ἁγιάζον τῆς συλλαβούσης τὸν ἀκατάληπτον. ἀλλ' ὥρα καὶ τὸν Δαβὶδ ἐρωτῆσαι, τί πρὸς αὐτὸν ἐκεῖνον ὁ τῶν ὅλων διομνὺς ἔφησε Θεός. ἄγε δὴ οὖν ὑμνογράφε, ἴθι Προφῆτα, τίναξε τὴν κινύραν, κίνει τὰ κρούσματα, λέγε τρανῶς, τί σοι ὤμοσε Κύριος; τί μοι ὤμοσεν; ἐκ καρποῦ τῆς ὀσφύος μου θήσειν ἐπὶ τὸν θρόνον μου· τοῦτό μοι ὤμοσε, καὶ οὐκ ἠθέτησεν· ὤμοσε, καὶ τοῖς ἔργοις τοὺς λόγους ἐσφράγισεν. ἅπαξ γὰρ ὤμοσα φησὶν ἐν τῷ Ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ

ὡς

ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός· ταῦτά μοι ὀμωμοκὼς ἐξεπλήρωσεν ἔργῳ· πάντα θεσπίσας ἐκύρωσεν· ἀδύνατον γὰρ ψεύσασθαι Θεόν. Διὸ νῦν ὁρᾶται κατὰ σάρκα Χριστὸς, ἐμὸς Υἱὸς κηρυττόμενος, καὶ Κύριος ἐμὸς, καὶ Θεοῦ Υἱὸς προσκυνούμενος ᾄδεται, καὶ πάντα τὰ ἔθνη αὐτῷ προσκυνεῖ. ὁρῶσι γὰρ αὐτὸν παρθενικοῖς ἐνθρονιζόμενον κόλποις, ὡς αὐτὸν ἐπὶ τοῖς ἐμοῖς ἐφεζόμενον θρόνοις. ἰδοὺ καὶ ἡ Παρθένος αὕτη τῶν ἐμῶν μηρῶν ἀρτιφυής· ἧς ἐκ νηδύος ὁ πρὸ αἰώνων πρὸς τῷ τέλει τῶν αἰώνων σαρκωθεὶς προελήλυθε, καὶ τὸ τῶν ἀνθρώπων ἀνεκαίνισε σύγκριμα. καὶ ταῦτα μὲν οὗτος. ἡμεῖς δὲ ὁ τοῦ Θεοῦ λαὸς, δῆμος ἅγιος, σύστημα ἱερὸν, χορεύσωμεν πάντες· τιμήσωμεν τοῦ μυστηρίου τὴν δύναμιν. ἕκαστος κατὰ τὴν δοθεῖσαν αὐτῷ χάριτος συνεισφερέτω τῇ πανηγύρει δῶρον ἐπάξιον. οἱ Πατέρες τὴν εὐλογίαν τοῦ γένους, αἱ Μητέρες τὴν εὐτεκνίαν, αἱ στεῖραι τῆς ἁμαρτίας τὸ ἄγονον, αἱ Παρθένοι τὴν διπλῆν ἀφθαρσίαν, ψυχῆς λέγω καὶ σώματος, αἱ ὑπὸ ζυγὸν τὴν ἐπαινετὴν συμμετρίαν. εἴτις Πατὴρ ἐν ἡμῖν, μιμείσθω τὸν τῆς Παρθένου Πατέρα, κἂν ἄπαις ᾖ, εὐχέσθω γόνιμον τὴν εὐχὴν, ἐκ φιλοθέου βίου ταύτην καρπούμενος. εἴτις Μήτηρ θηλάζουσα, συγχαιρέτω τῇ Ἄννῃ θηλαζούσῃ παιδίον κατ' εὐχὰς μετὰ στείρωσιν. εἴτις στεῖρα καὶ ἄγονος καρπὸν οὐκ ἔχουσα εὐλογίας, προσίτω πιστῶς τῷ θεοσδότῳ τῆς Ἄννης βλαστῷ, καὶ ἀπο[illegible]θω τὴν στείρωσιν. εἴτις Παρθένος ἁγνεύουσα, γενέσθω Μήτηρ τοῦ Λόγου, λόγῳ κοσμοῦσα τῆς ψυχῆς τὴν κατάστασιν. εἴτις ὑπὸ ζυγὸν, προσαγέτω τῷ Θεῷ κάρπωμα λογικὸν, ἐξ ὧν δι' εὐχῆς ἐποιήσατο. ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης, νεανίσκοι καὶ Παρθένοι, πρεσβύται μετὰ νεωτέρων, Ἱερεῖς καὶ Λευῖται, Βασιλεῖς καὶ Στρατηγοὶ, Βασιλίδες καὶ Ἄρχουσαι, πάντες ὁμοῦ καὶ πᾶσαι, λαμπροφορήσωμεν τῇ Νεάνιδι καὶ Μητρὶ τοῦ Θεοῦ καὶ προφήτιδι, ἐξ ἧς ὁ Προφήτης, ὃν

ἔγεα·

ἔγραψε Μωσῆς, ἐπεδήμησε Χριστὸς ὁ Θεὸς ἡ ἀλήθεια. φθάσωμεν τοῦ Ναοῦ τὰ προπύλαια, συνδράμωμεν ταῖς προτρεχούσαις Παρθένοις, εἰς αὐτὰ τῶν Ἁγίων συνεισέλθωμεν ἅγια· ἐκεῖ γὰρ τὰ ἀπάργματα, μετὰ γέννησιν, μετὰ μαζὸν, μετὰ νηπίασιν εἰς ἄνθη ὥραν ἡβώσῃ. παστάδας δ' ἤδη ἡτοίμασεν αὐτῇ ὁ Θεὸς τὸ θρεπτήριον, φυλάξας ἑαυτῷ τὸ σεβάσμιον. διὰ τοῦτο Παρθένοι χορεύουσιν αἱ πλησίον αὐτῆς, προοδοποιοῦσαι τὰ μέλλοντα· ἔνθα αἱ τῆς Σιὼν θυγατέρες, ὡς Βασιλίδος προτρέχουσαι εἰς ὀσμὴν τῶν μύρων αὐτῆς προεξάρχουσι. ἀνοίγων, καὶ ὁ Ναὸς οὗτος τὰς ἱερὰς ἀναρρίπιστε πύλας, ἵνα τὴν βασίλειον τοῦ παντὸς ὑποδέξηται δόξαν· τότε δὴ τότε καὶ τὰ τῶν Ἁγίων ἀνοίγνυτο ἅγια, τὴν παναγίαν τοῦ Ἁγίου Μητέρα εἴσω τῶν ἀδύτων ἐγκολπωσάμενα. τροφὴ δὲ ταύτῃ προσφέρεται πρόσφορος, καὶ τρέφει τέως ἀχειροδότως τὴν τρέφουσαν, ὁ μετ' ὀλίγον τῷ ταύτης τρεφόμενος γάλακτι. καὶ γίνεται τιθηνὸς τῆς Παρθένου τὸ Πνεῦμα τὸ ἅγιον, μέχρις ἀναδείξεως αὐτῆς ἐν τῷ Ἰσραήλ· ὅτε δὴ καὶ τῆς μνηστείας ὁ καιρὸς ἐπεφοίτησε, καὶ τὸν ἐκ Δαβὶδ Ἰωσὴφ ἐμνηστεύσατο, καὶ τοῦ Γαβριὴλ τὴν φωνὴν ἀντὶ σπορᾶς εἰσεδέξατο. καὶ γέγονε κυοφόρος ἡ πειραθεῖσα κοίτης· καὶ γεγέννηκεν Υἱὸν, ὃν οὐκ ἔσπειρε Πατήρ· καὶ μεμένηκεν ἁγνὴ μὴ συληθεῖσα τὴν νηδὺν, σῴα καὶ μετὰ τόκον φυλάξαντος αὐτῇ τοῦ τεχθέντος τῆς παρθενίας τὰ σήμαντρα. οὗτός ἐστι Χριστὸς Ἰησοῦς ὁ Ναζωραῖος, ὁ εἰς τὸν Κόσμον ἐρχόμενος. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος· αὐτῷ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΩΑΝΝΟΥ
## ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ,

*Ἐγκώμιον εἰς τὴν Ὑπεραγίαν Θεοτόκον καὶ Ἀειπάρθενον Μαρίαν, εἰς τὴν ἱερὰν αὐτῆς Μετάστασιν.*

ΜΝήμη Δικαίων μετ' ἐγκωμίων γίνεται φησιν ὁ σοφώτατος Σολομών. τίμιος γὰρ ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ, ὁ θεοπάτωρ προέφη Δαβίδ. εἰ τοίνυν ἁπάντων δικαίων ἡ μνήμη μετ' ἐγκωμίων γίνεται, τῇ πηγῇ τῆς δικαιοσύνης, καὶ τῷ τῆς ὁσιότητος θησαυρῷ, τίς οὐ προσοίσει τὸν ἔπαινον; οὐχ ἵνα δοξάσῃ, ἀλλ' ἵνα δοξασθῇ δόξαν διαιωνίζουσαν. ἀνενδεὲς γὰρ τῆς παρ' ἡμῶν δόξης Κυρίου τὸ σκήνωμα, ἡ Πόλις τοῦ Θεοῦ, περὶ ἧς δεδοξασμένα ἐλαλήθη, καθώς φησι πρὸς αὐτὴν ὁ θεῖος Δαβίδ. δεδοξασμένα ἐλαλήθη περὶ σοῦ λέγων, ἡ Πόλις τοῦ Θεοῦ. ποίαν γὰρ ἐκληψόμεθα πόλιν τοῦ ἀοράτου καὶ ἀπεριγράπτου Θεοῦ τοῦ πάντα τῇ ἰδίᾳ δρακὶ περιέχοντος, ἀλλ' ἢ τὴν μόνην ὄντως ὑπερφυῶς, καὶ ὑπερουσίως τὸν ὑπερούσιον τοῦ Θεοῦ Λόγον καὶ Θεὸν ἀπεριγράπτως χωρήσασαν, περὶ ἧς δεδοξασμένα ὑπ' αὐτοῦ τοῦ Κυρίου λελάληται; τί γὰρ ἐνδοξότερον τοῦ δέξασθαι τὴν τοῦ Θεοῦ βουλὴν ἀρχαίαν ἀληθινήν; ταύτην οὐκ ἀνθρωπίνη γλῶττα, οὐκ Ἀγγέλων νοῦς ὑπερκόσμιος κατ' ἀξίαν εὐφημῆσαι δύναται, δι' ἧς ἡμῖν δίδοται τὴν δόξαν Κυρίου τηλαυγῶς ἐνοπτρίζεσθαι. τί τοίνυν; σιγήσομεν, ὅτι μὴ πρὸς ἀξίαν εὐφημῆσαι δυνάμεθα, τῷ φόβῳ συστελλόμενοι; ἥκιστα. ὑπερ-

βαθ-

βάθμιον δὲ τὸν πόδα τείνωμεν, τὸ δὴ λεγόμενον, καὶ τοὺς οἰκείους ἀγνοήσωμεν ὅρους, καὶ τῶν ἀθίκτων ἀναιδῶς ἁψώμεθα, τοῦ φόβου τὸν χαλινὸν ἀποπτύσαντες; οὐδαμῶς. πόθῳ δὲ μᾶλλον τὸν φόβον κεράσαντες, καὶ σύνθετον ἐξ ἀμφοῖν ἕνα πλέξαντες στέφανον, μεθ' ἱερᾶς εὐλαβείας τρεμούσῃ χειρὶ καὶ ποθούσῃ ψυχῇ, τῆς ἡμετέρας διανοίας τὸ ἀτελὲς ἀκροθίνιον τῇ βασιλίδι Μητρὶ, τῇ εὐεργέτιδι πάσης τῆς φύσεως, εὐγνωμόνως ἀποτίσωμεν ὡς ὀφειλήν. ἐπεὶ καὶ λόγος ἐστὶν, ἀγρώτας τινὰς τοῖς ἀροτῆρσι βουσὶ τὰς αὔλακας τῆς γῆς τέμνοντας, Βασιλέα παριόντα θεάσασθαι, σεμνῶς μὲν τῇ ἁλουργίδι κοσμούμενον, φαιδρυνόμενον δὲ τῇ αἴγλῃ τοῦ διαδήματος, καὶ τῷ ἀπείρῳ πλήθει τῶν δορυφόρων κύκλῳ περιστοιχιζόμενον. εἶτα, ἐπεὶ παρῆν οὐδὲν, ᾧ τὸν τύραννον δωροφορήσαιεν, ἀμελητὶ ταῖς χερσὶν ὕδωρ ἀπαρυσάμενον ἕνα, (παρέρρει γὰρ ἐγγύθεν ἀφθόνως τὰ νάματα) δῶρον κεκομικέναι τῷ Αὐτοκράτορι. πρὸς ὃν φάναι τὸν Βασιλέα, τί τοῦτο ὦ παῖ; τὸν δὲ θαρσαλέως ἀποκεκρίνασθαι· ὅ μοι παρῆν, τοῦτο κεκόμικα, κρίνας ἄριστα τῇ ἐνδείᾳ τὴν προθυμίαν μὴ συγκαλύπτεσθαι. σὺ μὲν γὰρ τῶν ἡμετέρων οὐκ ἐπιδεὴς, οὐδὲν ἐθέλων τῶν παρ' ἡμῖν, ἢ τὴν εὔνοιαν, ἡμῖν δὲ χρέος ἅμα καὶ ἔπαινος ἐστὶ τὸ τελούμενον. δόξα γὰρ ἐπακολουθεῖν οἶδεν ὡς τὰ πολλὰ τοῖς εὐγνώμοσιν. εἶτα τὸν Βασιλέα θαυμάσαντα, ἐπαινέσαι μὲν τὸ σοφὸν, ἀποδέξασθαι δὲ μετ' εὐνοίας τὴν προθυμίαν, πλείσταις δ' ὅσαις ταῖς δωρεαῖς φιλοτίμως αὐτὸν ἀνταμείψασθαι. εἰ τοίνυν ἐκεῖνος ὁ ὑπέροφρυς τύραννος τῆς πολυτελείας προκεκρίκει τὴν εὔνοιαν, αὕτη ἡ ὄντως ἀγαθὴ Δέσποινα, ἡ τοῦ μόνου ἀγαθοῦ Μήτηρ, οὗ ἡ συγκατάβασις ἄπειρος, τοῦ τὰ δύω λεπτὰ τῶν πολυτελῶν καρπωμάτων προκρίναντος, οὐ μᾶλλον ἡμᾶς ἀποδέξεται, τὴν πρόθεσιν, οὐ τὴν δύναμιν κρίνουσα; καὶ μὴν ἀποδέξεται, ὡς ὀφειλὴν μὲν προσάγοντας, ἀντιμετρήσει δὲ τὰ ἀσύγκριτα. ἐπεὶ οὖν τὸ λέγειν ἐκ παντὸς ἀναγκαῖον,

ὥστε

ὥστε τὸ χρέος ἀφοσιώσασθαι, φέρε πρὸς αὐτὴν τὸν λόγον τρέψωμεν, οὕτω λέγοντες· τί σοι προσείπωμεν, Δέσποινα; τίσι δὲ προσφθεγξώμεθα ῥήμασι; ποίοις δὲ τοῖς ἐγκωμίοις τὴν σὴν ἱερὰν καὶ δεδοξασμένην κεφαλὴν στέψωμεν; τὴν ἀγαθοδότιν, τὴν πλουτοδότειραν, τοῦ ἀνθρωπίνου γένους τὸ ἐγκαλλώπισμα, τὸ καύχημα πάσης τῆς κτίσεως, δι' ἣν ὡς ἀληθῶς μεμακάρισται. ὃν γὰρ οὐκ ἐχώρει τὸ πρότερον, διὰ σοῦ κεχώρηκεν, ᾧ ἀτενίσαι οὐκ ἔσθενεν, ἀνακεκαλυμμένῳ προσώπῳ διὰ σοῦ κατοπτρίζεται. ἄνοιξον ἡμῖν ὦ Λόγε Θεοῦ τὸ βραδύγλωσσον στόμα. δὸς ἐν ἀνοίξει χειλέων ἡμῶν χαριέστατον λόγον. ἐμπνευσον ἡμῖν τὴν χάριν τοῦ Πνεύματος, δι' ἧς ἁλιεῖς ῥητορεύουσι, καὶ ἀγράμματοι λαλοῦσι σοφίαν τὴν ὑπὲρ ἄνθρωπον, ἵνα καὶ ἡμεῖς οἱ ἰσχνόφωνοι εὐπορήσωμεν τῆς σῆς φιλτάτης Μητρὸς κἂν ἀμυδρῶς γέ πως τὰ μεγαλεῖα φθέγξασθαι. Αὕτη γὰρ ἐκ γενεῶν ἀρχαίων ἐκλελεγμένη τῇ προωρισμένῃ βουλῇ καὶ εὐδοκίᾳ τοῦ σὲ ἀχρόνως, ἀρρεύστως τε, καὶ ἀπαθῶς γεννήσαντος Θεοῦ καὶ Πατρὸς, ἱλασμὸν καὶ σωτηρίαν, δικαιοσύνην τε καὶ ἀπολύτρωσιν, σὲ τὴν ἐκ ζωῆς ζωὴν, τὸ ἐκ τοῦ φωτὸς φῶς, τὸν ἐκ Θεοῦ ἀληθινοῦ Θεὸν ἀληθινὸν, ἐξ αὐτῆς σεσαρκωμένον, ἐπ' ἐσχάτων τῶν χρόνων ἐκύησεν. ἧς ὁ τόκος παράδοξος. ἡ γέννησις ὑπὲρ φύσιν καὶ ἔννοιαν, καὶ τοῦ Κόσμου σωτήριος. ἡ κοίμησις ἔνδοξος ὄντως, καὶ ἱερὰ, καὶ πανεύφημος. ταύτην ὁ μὲν Πατὴρ προώρισε, Προφῆται δὲ δι' Ἁγίου Πνεύματος προηγόρευσαν. ἡ δὲ τοῦ Ἁγίου Πνεύματος ἁγιαστικὴ δύναμις ἐπεφοίτησε, καθῆρέ τε, καὶ ἡγίασε, καὶ οἱονεὶ προήρδευσε· καὶ τότε σὺ ὁ τοῦ Πατρὸς ὅρος καὶ Λόγος ἀπεριγράπτως κατῴκησας, ἀνακαλεσάμενος τὴν ἐσχατιὰν τῆς ἡμετέρας φύσεως πρὸς τὸ ἄπειρον ὕψος τῆς ἀκαταλήπτου Θεότητος· ἧς τὴν ἀπαρχὴν ἐκ τῶν πανάγνων καὶ παναχράντων, καὶ παναμωμήτων τῆς Ἁγίας Παρθένου αἱμάτων ἀναλαβὼν, σάρκα ἐμψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ σεαυτῷ περιέπηξας, ὃν σεαυτῷ αὐτὴν ὑποστήσας,

καὶ γέγονας τέλειος ἄνθρωπος, οὐκ ἀποβαλὼν τὸ εἶναι τέλειος Θεὸς καὶ τῷ σῷ Πατρὶ ὁμοούσιος, ἀλλὰ προσλαβὼν δι' εὐσπλαγχνίαν ἄφατον τὴν ἡμετέραν ἀσθένειαν. καὶ προῆλθες ἐξ αὐτῆς εἷς Χριστὸς, εἷς Υἱὸς Θεοῦ καὶ ἀνθρώπου, ὁ αὐτὸς Θεὸς ὁμοῦ τέλειος, καὶ ἄνθρωπος τέλειος, ὅλος Θεὸς, καὶ ὅλος ἄνθρωπος. μία ὑπόστασις σύνθετος ἐκ δύο φύσεων τελείων θεότητός τε καὶ ἀνθρωπότητος, ἐν δύο τελείαις φύσεσι θεότητι καὶ ἀνθρωπότητι, οὐ γυμνὸς Θεὸς, οὐδὲ ψιλὸς ἄνθρωπος, ἀλλ' εἷς Υἱὸς Θεοῦ καὶ Θεὸς σεσαρκωμένος. Θεὸς ὁ αὐτὸς ὁμοῦ τε καὶ ἄνθρωπος· οὐ σύγχυσιν ὑποστὰς, οὐδὲ διαίρεσιν ὑπομείνας, φέρων ἐν σεαυτῷ τῶν ἑτερουσίων δύο φύσεων καθ' ὑπόστασιν ἀσυγχύτως ἅμα καὶ ἀδιαιρέτως ἡνωμένων τὰς φυσικὰς ἰδιότητας, τὸ κτιστὸν καὶ τὸ ἄκτιστον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, τὸ ὁρατὸν καὶ τὸ ἀόρατον, τὸ περιγραπτὸν καὶ τὸ ἀπερίγραπτον, θεῖόν τε θέλημα, καὶ ἀνθρώπινον θέλημα, θείαν ἐνέργειαν, οὐ μὴν ἀλλὰ καὶ ἀνθρωπίνην ἐνέργειαν, αὐτεξούσιά τε δύο, θεῖον ὡσαύτως καὶ ἀνθρώπινον, τά τε θεῖα θαύματα καὶ τὰ ἀνθρώπινα πάθη, τὰ φυσικά φημι, καὶ ἀδιάβλητα. ὅλον γὰρ τὸν πρῶτον Ἀδὰμ τὸν πρὸ τῆς παραβάσεως, τὸν ἁμαρτίας ἐλεύθερον, ἀνέλαβες, Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου, σῶμα, ψυχὴν, νοῦν, καὶ τὰ τούτων φυσικὰ ἰδιώματα, ἵνα ὅλῳ μοι τὴν σωτηρίαν χαρίσῃ. ὄντως γὰρ τὸ ἀπρόσληπτον ἀθεράπευτον. καὶ οὕτω μεσίτης Θεοῦ καὶ ἀνθρώπων γενόμενος, τὴν ἔχθραν ἔλυσας, καὶ τῷ σῷ Πατρὶ τοὺς ἀποστάτας προσήγαγες. τὸ πεπλανημένον ἐπέστρεψας. τὸ ἐσκοτισμένον ἐφώτισας. τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μετέβαλες. τῆς πολυθέου πλάνης τὴν κτίσιν ἠλευθέρωσας. τέκνα Θεοῦ τοὺς ἀνθρώπους πεποίηκας. κοινωνοὺς τῆς θείας σου δόξης τοὺς ἠτιμωμένους ἀνέδειξας. τὸν καταδιδικασμένον εἰς τὰ τῆς γῆς καταχθόνια ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας ἀνήγαγες. ἐν τῷ θρόνῳ τῷ βασιλικῷ τὸν εἰς γῆν ἀποστρέφειν καὶ τὸν ᾅδην οἰκεῖν κατακριθέντα

ἐν σεαυτῷ ἐκάθισας. τίς οὖν τῶν ἀπείρων τούτων ἀγαθῶν τῶν ὑπὲρ πάντα νοῦν, καὶ κατάληψιν ἐργαστήριον γέγονεν; οὐχ ἡ σιτηκοῦσα Ἀειπάρθενος; ὁρᾶτε φίλοι Θεῷ Πατέρες, καὶ ἀδελφοί, τῆς παρούσης ἡμέρας τὴν χάριν, ὁρᾶτε τῆς νῦν εὐφημουμένης τὸ ὑψηλὸν καὶ σεβάσμιον; οὐ φρικώδη τὰ τοιαῦτα μυστήρια; οὐ θαύματος γέμοντα; μακάριοι οἱ ὁρῶντες ὡς ἰδεῖν προπωδίσαντο. μακάριοι οἱ νοερὰν κτησάμενοι αἴσθησιν. οἷαι φωτὸς ἀστραπαὶ τὴν παροῦσαν νύκτα καταφαιδρύνουσιν. οἷαι Ἀγγέλων δορυφορίαι τὴν τῆς ζωαρχικῆς μητρὸς καταγλαΐζουσι κοίμησιν. οἷαι Ἀποστόλων θεηγορίαι τὴν κηδείαν τοῦ θεοδόχου σώματος μακαρίζουσι. πῶς ὁ τοῦ Θεοῦ Λόγος ὁ ταύτης Υἱὸς δι' εὐσπλαγχνίαν γενέσθαι καταδεξάμενος, δεσποτικαῖς παλάμαις τῇ Παναγίᾳ ταύτῃ καὶ θεομήτορι οἷα μητρὶ λειτουργῶν, τὴν ἱερὰν ψυχὴν ὑποδέχεται. ὢ ἀγαθοῦ νομοθέτου. μὴ ὑποκείμενος νόμῳ, τὸν νόμον πληροῖ, ὃν αὐτὸς ἐνετείλατο. αὐτὸς γὰρ τοῖς γονεῦσι τὴν ὀφειλὴν τοὺς παῖδας νέμειν ἐθεσμοθέτησε, τίμα, φήσας, τὸν Πατέρα καὶ τὴν μητέρα σου. ὅτι δὲ ἀληθὲς τοῦτο, παντί που δῆλον, τῷ κἂν μικρὸν γοῦν τῶν θείων τῆς ἁγίας Γραφῆς μεμνημένῳ λογίων. εἰ γὰρ ὥς φησιν ἡ θεία Γραφή, ψυχαὶ δικαίων ἐν χειρὶ Θεοῦ, οὐχ αὕτη μᾶλλον ταῖς χερσὶ τοῦ Θεοῦ, καὶ Υἱοῦ αὐτῆς τὴν ψυχὴν παρατίθεται; ἀληθὴς ὁ Λόγος, καὶ πάσης ἀντιλογίας ὑπέρτερος. ἀλλ' εἰ δοκεῖ, τίς αὕτη καὶ πόθεν, καὶ πῶς τῷ παρόντι χωρισθεῖσα βίῳ, δῶρον ἁπάντων τῶν τοῦ Θεοῦ δωρημάτων ὑψηλότερον ἅμα καὶ προσφιλέστερον δέδοται, οἵαν τε τὴν ἐν τῷδε τῷ βίῳ διατριβὴν πεποίηται, καὶ θείων μυστηρίων ἠξίωται, ὡς ἐφικτὸν διασκεψώμεθα. οἱ γὰρ τοὺς κατοιχομένους ἐπιταφίοις γεραίροντες Ἕλληνες, πᾶν ὅ,τιπερ ἑώρων ἀγώγιμον πάσῃ σπουδῇ συνεισέφερον, ὡς ἂν τῷ μὲν εὐφημουμένῳ κατηρτισμένον τὸ ἐγκώμιον γένηται, τοῖς δὲ λειπομένοις ζῆλος ἅμα πρὸς ἀρετήν, καὶ παράκλησιν, μύθοις δὲ ὡς τὰ πολλὰ καὶ ἀπείροις πλάσμασι τὸν λόγον ἐξύ-

φαι-

φαινον, οἴκοθεν μὴ κεκτημένων τῶν ὑμνουμένων τὸν ἔπαινον, πῶς ἡμεῖς τὰ λίαν ἀληθῆ καὶ σεβάσμια καὶ ὄντως ὄντα, καὶ πᾶσιν εὐλογίας ἁπάσης καὶ σωτηρίας πρόξενα, σιγῆς βυθοῖς, τὸ τοῦ λόγου, συγκαλύψαντες, οὐ πολλὴν ὀφλήσωμεν γέλωτα, καὶ τῷ τὸ τάλαντον κατορύξαντι τῆς αὐτῆς δίκης τευξόμεθα; διὸ τοῦ λέγειν ἀρξώμεθα, τῆς συντομίας τοῦ λόγου φροντίζοντες, ὡς ἂν μὴ ταῖς ἀκοαῖς πολέμιος γένηται, ὡς τροφὴ τοῖς σώμασιν ὑπερβάλλουσα. Ἰωακεὶμ, καὶ Ἄννα οἱ ταύτης γεννήτορες. Ἰωακεὶμ ὥσπερ τις προβάτων Ποιμὴν οὐκ ἧττον τοὺς οἰκείους νέμων λογισμοὺς, ἄγων τε κατ᾽ ἐξουσίαν ὅποι βούλοιτο, ἢ τὰ θρέμματα. ὑπὸ Κυρίου γὰρ τοῦ Θεοῦ ὡς πρόβατον ποιμαινόμενος, οὐδενὸς τῶν ἀρίστων ἐστέρητο. ἄριστα δὲ λέγειν μηδεὶς οἰέσθω με τὰ τοῖς πολλοῖς καταθύμια, πρὸς ἃ ἡ τῶν λιχνοτέρων διάνοια κέχηνεν, ἃ μήτε παραμένειν πέφυκε, μήτε βελτίονα δρᾶν τὸν κεκτημένον ἐπίσταται, τὰ τοῦ παρόντος βίου τερπνὰ, ἃ μὴ δύναται βεβαίαν δύναμιν κτήσασθαι, ἀλλὰ παρ᾽ αὐτὰ καταρρεῖ, καὶ αὐθωρὸν καταλύεται, εἰ καὶ τύπον πολλὴν εἶχε τὴν περιουσίαν, ἄπαγε· οὐ πρὸς ἡμῶν ταῦτα θαυμάζειν, οὐδ᾽ αὕτη μερὶς τῶν φοβουμένων τὸν Κύριον· ἀλλ᾽ ἀγαθὰ τὰ ὄντως τοῖς εὖ φρονοῦσιν ἐφετὰ καὶ ἐράσμια, ἃ μένει ἐξαιωνίζοντα, Θεὸν μὲν εὐφραίνοντα, καρπὸν δὲ τοῖς κεκτημένοις ἀνατέλλοντα ὥριμον, τὰς ἀρετάς φημι, καὶ τὸν καρπὸν ἐν καιρῷ αὐτῶν τῷ αἰωνίῳ λόγῳ τῷ μέλλοντι, καὶ ζωὴν αἰώνιον δώσουσι τοῖς γε ἀξίως φιλοπονήσασι, καὶ προεισενηνοχόσι τὸν ἑαυτῶν πόνον, ὅση δύναμις· πόνος μὲν γὰρ προπορεύεται ἀρετῶν, ἕπεται δὲ μακαριότης αἰώνιος. ἐν ταύταις Ἰωακεὶμ συνήθως τοὺς οἰκείους ἐποίμαινε λογισμοὺς, ἐν τόπῳ μὲν χλόης τῶν ἱερῶν λογίων τῇ θεωρίᾳ ἐναυλιζόμενος, ἐπὶ ὕδατος δὲ ἀναπαύσεως τῆς θείας εὐφραινόμενος χάριτος, ἐξ ἀτόπων μὲν ἐπιστρέφων, ἐπὶ δὲ τρίβους δικαιοσύνης ὁδηγῶν. Ἄννα δὲ, ἣ χάρις ἑρμηνεύεται, οὐχ ἧττον ὁμό-

ζόπος ἦν, ἡ ὁμόζυγος, πᾶσι μὲν ἀγαθοῖς κομῶσα, μυστικῷ δέ τινι λόγῳ κατεχομένη τῷ τῆς στειρώσεως ἀρρωστήματι. ἐστειρεύετο γὰρ ὄντως ἡ χάρις ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, καρποφορεῖν οὐκ ἰσχύουσα. διότι πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἦν ὁ συνιῶν, ἢ ὁ ἐκζητῶν τὸν Θεόν. εἶτα ὁ ἀγαθὸς Θεὸς ἐπιδὼν καὶ κατοικτείρας τῆς ἰδίας χειρὸς τὸ πλαστούργημα, καὶ τοῦτο βουληθεὶς ἀνανεῶσαι, λύει τὴν τῆς χάριτος στείρωσιν, τῆς Ἄννης φημὶ τῆς θεόφρονος. καὶ τίκτει Παῖδα, οἵα οὐ πρότερον γέγονεν, οὐδ' αὖ πάλιν γενήσεται. ἡ δὲ τῆς στειρώσεως λύσις ἐδήλου σαφέστατα τὴν κοσμικὴν τῶν ἀγαθῶν λυθήσεσθαι στείρωσιν, καὶ τῆς ἀπορρήτου μακαριότητος καρπογονεῖσθαι τὸ στέλεχος· ἐντεῦθεν ἡ Θεοτόκος ἐξ ἐπαγγελίας προέρχεται. Ἄγγελος γὰρ καταμηνύει τοῖς γεννησομένοις τὴν σύλληψιν. ἔπρεπε γὰρ κἀν τούτῳ μὴ ἐλαττοῦσθαί τινος, ἢ φέρειν τὰ δεύτερα τὴν τοῦ μόνου καὶ ὄντως τελείου Θεοῦ κυησομένην κατὰ σάρκα λοχεύτειαν. εἶτα τῷ ἱερῷ τοῦ Θεοῦ ναῷ ἀνατίθεται, κἀνταῦθα διατρίβει, κρείττονα καὶ καθαρωτέραν τῶν ἄλλων ἐπιδεικνυμένη ἀναστροφήν, ἁπάσης ἐπιμιξίας ἀνδρῶν, καὶ θηλείων ἀτόπων ἀπηλλαγμένην. ἀλλ' ἐπεὶ τῆς ἡλικίας ἡ ἀκμὴ κατελάμβανε, καὶ τῶν ἀνακτόρων ἐντὸς νομίμως ἀπείργετο, Μνηστῆρι, ταυτὸν δ' εἰπεῖν τῆς παρθενίας φύλακι, πρὸς τοῦ χοροῦ τῶν ἱερέων τῷ Ἰωσὴφ ἐγχειρίζεται, ὃς τὸν νόμον ἀπαραχάρακτον μέχρι γήρως ἐν συγκρίσει τῶν ἄλλων ἐφύλαττε. πρὸς τούτῳ ἡ ἱερὰ αὕτη καὶ πανάμωμος μόνη διέτριβε, τοῖς κατ' οἶκον στοιχοῦσα, καὶ τῶν πρὸ τῆς οἰκίας εἰδυῖα μηδέν. ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ὥς φησιν ὁ θεῖος Ἀπόστολος, ἀπεστάλη ὑπὸ Θεοῦ ὁ Ἀρχάγγελος Γαβριὴλ πρὸς ταύτην τὴν ὄντως θεόπαιδα, καί φησι πρὸς αὐτήν· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. καλὸν τὸ τοῦ Ἀγγέλου πρὸς τὴν ὑπεράγγελον πρόσφθεγμα. χαρὰν γὰρ φέρει παγκόσμιον. ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη, τῆς πρὸς

ἄνδρας ὁμιλίας ἀήθης ὑπάρχουσα. ἀσφαλῶς γὰρ τὴν παρθενίαν τηρεῖν προείλετο. διελογίζετο δὲ ἐν ἑαυτῇ, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. καὶ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος· μὴ φοβοῦ Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τοῦ Θεοῦ. ὄντως εὗρε χάριν ἡ ἀξία τῆς χάριτος. εὗρε χάριν ἡ τοὺς πόνους τῆς χάριτος γεωργήσασα, καὶ πολύχουν δρεψαμένη τὸν ἄσταχυν τῆς χάριτος. εὗρε χάριτος ἄβυσσον ἡ σώαν τὴν ὁλκάδα τῆς διπλῆς παρθενίας τηρήσασα· καὶ τὴν ψυχὴν γὰρ Παρθένον ἐφύλαξεν, οὐ τοῦ σώματος ἔλαττον, ὅθεν καὶ ἡ τοῦ σώματος παρθενία τετήρητο. καὶ τέξεις υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Ἰησοῦς δὲ, Σωτὴρ ἑρμηνεύεται. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τί πρὸς ταῦτα τῆς ἀληθοῦς σοφίας ὁ θησαυρός; τὴν μὲν Εὔαν οὐ μιμεῖται τὴν προμήτορα, ἐπανορθοῦται δὲ μᾶλλον τὸ ταύτης ἀφύλακτον, καὶ συνήγορον τὴν φύσιν προβάλλεται, ὧδέ πως τοῖς τοῦ Ἀγγέλου ἀντιρηπροσοῦσα ῥήμασι. πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; ἀδύνατα φθέγγῃ, φησίν. ὁ γὰρ σὸς Λόγος τοὺς ὅρους λύει τῆς φύσεως, οὓς ὁ πλαστουργὸς ἐπήξατο. οὐκ ἀνέχομαι Εὔα σχηματίσαι δευτέρα, καὶ τὸ τοῦ ποιήσαντος παρακρούσασθαι βούλημα. εἰ δὲ μὴ λέγεις ἀήθια, τὸν τρόπον εἰπὼν τῆς συλλήψεως, λῦσον τὴν ἀπορίαν. πρὸς ἣν ὁ τῆς ἀληθείας Ἄγγελος· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. οὐ δουλεύει νόμῳ φύσεως τὸ τελούμενον· ὁ γὰρ δημιουργὸς καὶ δεσπότης τῆς φύσεως κατ' ἐξουσίαν τοὺς ὅρους ἀμείβει τῆς φύσεως. ἡ δὲ τὸ ἀεὶ ποθούμενον ὄνομα καὶ μεθ' ἱερᾶς εὐλαβείας τιμώμενον ἀκούσασα, τῆς παρακοῆς ἐδεδίει τὸ ἐπιτίμιον, καί φησι φόβου καὶ χαρᾶς γέμοντα ῥήματα. ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ. κἀγὼ γὰρ εἰς καιρὸν τῷ Ἀποστόλῳ συμφθέγξομαι. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνε-

ξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ὢ ἀπλήστου ἀγαθότητος Θεοῦ. ὢ ἀγάπης οὐκ ἐχούσης ἔρευναν. ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα, ὁ πληρῶν τὸν Οὐρανὸν, καὶ τὴν γῆν (ὁ Οὐρανὸς γὰρ θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ) εὐρύχωρον ἐνδιαίτημα τὴν γαστέρα τῆς οἰκείας ἐποιήσατο δούλης, καὶ ἐν αὐτῇ τὸ πάντων καινῶν καινότερον ἐπιτελεῖ μυστήριον. Θεὸς γὰρ ὢν, ἄνθρωπος γίνεται, ὑπερφυῶς τε τῷ χρόνῳ τῆς κυήσεως τίκτεται, καὶ διανοίγει μήτραν, τὰ κλεῖθρα τῆς παρθενίας μὴ λυμηνάμενος, καὶ ἀγκάλαις γυναικείαις ὡς βρέφος βαστάζεται, τὸ τῆς δόξης ἀπαύγασμα, ὁ χαρακτὴρ τῆς τοῦ Πατρὸς ὑποστάσεως, ὁ φέρων τὰ σύμπαντα τῷ ῥήματι τοῦ στόματος αὐτοῦ. ὢ θείων ὡς ἀληθῶς θαυμάτων. ὢ μυστηρίων τῶν ὑπὲρ φύσιν καὶ ἔννοιαν. ὢ παρθενικῶν αὐχημάτων τῆς ὑπὲρ ἄνθρωπον. τί τοῦτο τὸ μέγα περὶ σὲ, ὢ Μῆτερ, καὶ Παρθένε ἱερὰ, μυστήριον; εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. μακαρία εἶ ἐν γενεαῖς γενεῶν ἡ μόνη ἀξιομακάριστος. ἰδοὺ γὰρ μακαρίζουσί σε πᾶσαι αἱ γενεαὶ, ὥσπερ ἔφησας. σὲ εἶδον θυγατέρες Ἱερουσαλὴμ, τῆς Ἐκκλησίας λέγω, καὶ μακαριοῦσί σε βασίλισσαι, ἤτοι δικαίων ψυχαὶ, καὶ εἰς αἰῶνα αἰνέσουσί σε· σὺ γὰρ εἶ ὁ βασιλικὸς θρόνος, ᾧ παρειστήκεισαν Ἄγγελοι, τὸν ἑαυτῶν ὁρῶντες δεσπότην καὶ δημιουργὸν ἐποχούμενον. σὺ Ἐδὲμ λογικὴ κεχρημάτικας τῆς πάλαι ὡραιοτέρα τε καὶ θειοτέρα. ἐν ἐκείνῃ μὲν γὰρ Ἀδὰμ ὁ χοϊκὸς ηὐλίζετο, ἐν σοὶ δὲ Κύριος ἐξ Οὐρανοῦ. σὲ κιβωτὸς προεικόνισε, δευτέρου Κόσμου σπέρμα φυλάττουσα. σὺ γὰρ τὴν τοῦ Κόσμου σωτηρίαν Χριστὸν ἀπεκύησας, τὸν τὴν ἁμαρτίαν μὲν καταλύσαντα, τὰ δὲ ταύτης καταδύσαντα κύματα. σὲ βάτος προέγραψε. πλάκες θεόγραφοι προεχάραξαν. νόμου κιβωτὸς προϊστόρησε. στάμνος χρυσῆ, λυχνία, καὶ τράπεζα, καὶ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα ἐμφανῶς προετύπωσαν. ἐκ σοῦ γὰρ ἡ φλὸξ τῆς θεότητος, ὁ τοῦ Πατρὸς ὅρος,

καὶ

ὁ Λόγος, τὸ γλυκύτατον καὶ οὐράνιον μάννα, τὸ ὄνομα τὸ ἀνώνυμον, τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ φῶς τὸ ἀΐδιον καὶ ἀπρόσιτον, ὁ ἄρτος τῆς ζωῆς ὁ οὐράνιος, ὁ ἀγεώργητος καρπὸς σωματικῶς ἀνεβλάστησεν. οὐ σὲ δὲ προεμήνυσεν ἡ κάμινος, πῦρ δροσίζον ἅμα καὶ φλέγον δεικνῦσα, καὶ τοῦ θείου πυρὸς ἀντίτυπον τοῦ ἐν σοὶ κατοικήσαντος; ἡ δὲ σκηνὴ Ἀβραὰμ σὲ προδηλοῖ προφανέστατα. τῷ γὰρ Θεῷ Λόγῳ ἐν τῇ γαστρί σου σκηνώσαντι, ἡ ἀνθρωπεία φύσις τὸν ἐγκρυφίαν ἄρτον τὴν ἑαυτῆς ἀπαρχὴν ἐκ τῶν σῶν ἁγνῶν αἱμάτων προσήγαγεν, ὀπτωμένην πως καὶ ἀρτοποιουμένην ὑπὸ τοῦ θείου πυρὸς, καὶ ἐν τῇ θείᾳ αὐτοῦ ὑποστάσει ὑφισταμένην, καὶ εἰς ἀληθῆ ὕπαρξιν ἐρχομένην σώματος ἐμψυχωμένου ψυχῇ λογικῇ τε καὶ νοερᾷ. μικροῦ με τοῦ Ἰακὼβ ἡ κλίμαξ διέφυγε. τί γάρ; οὐ παντὶ δῆλον, ὅτι σὲ προγράφει, καὶ τύπος γνωρίζεται; ὃν γὰρ τρόπον ἐκεῖνος τεθέαται διὰ τῶν ἄκρων τῆς κλίμακος Οὐρανὸν τῇ γῇ συναπτόμενον, καὶ διὰ ταύτης Ἀγγέλους κατιόντας καὶ ἀνιόντας, καὶ τὸν ὄντως ἰσχυρὸν καὶ ἀήττητον τυπικῶς αὐτῷ προσπαλαίοντα· οὕτω καὶ σὺ μεσιτεύσασα, καὶ κλίμαξ γεγονυῖα τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ καταβάσεως, τοῦ τὸ ἀσθενὲς ἡμῶν ἀναλαβόντος φύραμα, καὶ ἑαυτῷ συμπλέξαντος καὶ ἑνώσαντος, καὶ νοῦν ὁρῶντα Θεὸν δεδρακότος τὸν ἄνθρωπον, τὰ διεστῶτα συνήγαγες. ὅθεν Ἄγγελοι μὲν πρὸς αὐτὸν κατίεσαν ὡς δεσπότῃ καὶ Θεῷ λειτουργήσοντες, ἄνθρωποι δὲ ἀγγελικῇ πολιτείᾳ χρησάμενοι, πρὸς Οὐρανὸν ἀναρπάζονται. ποῦ δὲ θήσωμεν τῶν Προφητῶν τὰ κηρύγματα; οὐκ ἐπὶ σέ, εἴπερ ἀληθῆ ταῦτα δεικνύναι θελήσωμεν; τί γὰρ ὁ Δαβιτικὸς πόκος, ἐφ' ὃν ὁ τοῦ Βασιλέως τῶν ἁπάντων Θεοῦ Υἱὸς ὁ συνάναρχος καὶ συμβασιλεύων τῷ οἰκείῳ Γεννήτορι ὡς ὑετὸς καταβέβηκεν, οὐχὶ σὺ τηλαυγεστέρα; τίς δὲ ἡ Παρθένος, ἣν Ἡσαΐας προβλεπτικῶς προηγόρευσεν, ἐν γαστρὶ ἕξειν καὶ τέξεσθαι υἱὸν τὸν μεθ' ἡμῶν ὄντως ὄντα Θεὸν, τουτέστι μετὰ τὸ γενέσθαι ἄνθρωπον

καὶ Θεὸν διαμείναντα; τί δὲ τὸ ὄρος τοῦ Δανιὴλ, ἐξ οὗπερ ὁ ἀκρογωνιαῖος ἐτμήθη λίθος Χριστὸς, οὐχ ὑποστὰς ἀνδρὸς ἐγχειρίδιον, οὐ σὺ ἡ ἀσπόρως κυήσασα καὶ πάλιν Παρθένος μείνασα; ἐλθέτω Ἰεζεκιὴλ ὁ θεόπτης, καὶ δεικνύτω κεκλεισμένην πύλην, διοδευομένην ὑπὸ Κυρίου, καὶ οὐκ ἀνοιγομένην, καθὰ προφητικῶς προεκήρυξε. δεικνύτω τῶν λεγομένων τὴν ἔκβασιν. σὲ δείξει πάντως· ἐπὶ σὲ γὰρ διελθὼν ὁ ἐπὶ πάντων Θεὸς, καὶ σάρκα λαβὼν, τὴν τῆς παρθενίας οὐκ ἀνέῳξε πύλην. μένει γὰρ ἡ σφραγὶς ὄντως διαιωνίζουσα. σὲ τοίνυν Προφῆται κηρύττουσι. σοὶ διακονοῦσιν Ἄγγελοι. λειτουργοῦσιν Ἀπόστολοι. ὁ Παρθένος καὶ Θεολόγος τῇ Ἀειπαρθένῳ, καὶ Θεοτόκῳ. σὲ γὰρ σήμερον πρὸς τὸν σὸν Υἱὸν ἐκδημήσασαν, περιέπουσιν Ἄγγελοι, ψυχαὶ δικαίων, Πατριαρχῶν τε καὶ Προφητῶν. ἐδορυφόρουν Ἀπόστολοι, θεοφόρων τε Πατέρων πλῆθος ἄπειρον ἐκ τῶν περάτων τῆς γῆς τῷ θείῳ τοῦ Υἱοῦ σου προστάγματι ὡς ἐν νεφέλῃ πρὸς ταύτην τὴν θείαν καὶ ἱερὰν Ἱερουσαλὴμ ἀθροιζόμενοι, καὶ σοὶ τῇ πηγῇ τοῦ ζωαρχικοῦ τοῦ Κυρίου σώματος ὕμνους ἱεροὺς ἐνθεαστικώτατα λέγοντες· ὢ πῶς ἡ πηγὴ τῆς ζωῆς διὰ μέσου θανάτου μετάγεται. ὢ πῶς ἡ ἐν τῷ τόκῳ τοὺς ὅρους ὑπερβᾶσα τῆς φύσεως, νῦν ὑποκύπτει τοῖς τοιούτοις θεσμοῖς, καὶ θανάτῳ τὸ ἀκήρατον καθυποβάλλεται σῶμα. δεῖ γὰρ αὐτὸ τὸ θνητὸν ἀποθέμενον, τὴν ἀφθαρσίαν ἀμφιάσασθαι· ἐπεὶ καὶ ὁ Δεσπότης τῆς φύσεως τὴν τοῦ θανάτου πεῖραν οὐκ ἀπηνήνατο· θνήσκει σαρκὶ γὰρ, καὶ θανάτῳ λύει τὸν θάνατον, καὶ φθορᾷ τὴν ἀφθαρσίαν χαρίζεται, καὶ τὴν νέκρωσιν ποιεῖ πηγὴν ἀναστάσεως. ὢ πῶς ψυχὴν ἱερὰν τῇ θεοδόχῳ διαιρουμένην σώματος, οἰκείαις χερσὶν ὁ παντουργὸς ὑποδέχεται, τιμῶν νομίμως, ἣν τῇ φύσει δούλην ὑπάρχουσαν φιλανθρωπίας ἀνεξιχνιάστοις πελάγεσιν, οἰκονομικῶς ἐποιήσατο Μητέρα, ἀληθείᾳ σαρκωθεὶς, οὐ φαντάσας τὴν ἐνανθρώπησιν· ἑώρων γὰρ ὡς δοκεῖ, τῶν Ἀγγέλων παρεστώ-

τῶν τὰ πάγματα τὴν σὴν ἀποβίωσιν προσδεχόμεθα. ὢ τῆς καλλίστης ἐκδημίας, ἣν ἡ πρὸς τὸν Θεὸν ἐνδημία χαρίζεται. εἰ γὰρ καὶ πᾶσι τοῖς θεοφόροις τοῦ Θεοῦ θεράπουσι πρὸς Θεοῦ τοῦτο κεχάρισται· κεχάρισται γὰρ, καὶ πιστεύομεν. ἀλλά γε τὸ διάφορον ἄπειρον δούλων Θεοῦ καὶ Μητρός. τί τοίνυν τὸ θεῖον σοῦ τοῦτο μυστήριον ὀνομάσωμεν; θάνατον; ἀλλ' εἰ καὶ φυσικῶς ἡ πανίερος καὶ μακαρία σου ψυχὴ τοῦ πανολβίου σου καὶ ἀκηράτου σώματος χωρίζεται, καὶ τὸ σῶμα τῇ νομίμῳ ταφῇ παραδίδοται, ὅμως οὐκ ἐναπομένει τῷ θανάτῳ, οὐδ' ὑπὸ τῆς φθορᾶς διαλύεται. ἧς γὰρ τικτούσης ἀλώβητος ἡ παρθενία μεμένηκε, ταύτης μεθισταμένης ἀδιάλυτον τὸ σῶμα πεφύλακται, καὶ πρὸς κρείττονα καὶ θειοτέραν ζωὴν μετατίθεται, οὐ διακοπτομένην θανάτῳ, ἀλλ' εἰς ἀπεράντους αἰῶνας τῶν αἰώνων διαιωνίζουσαν. ὥσπερ γὰρ οὗτος ὁ ὁλολαμπὴς καὶ ὁλόφωτος Ἥλιος ὑπὸ τοῦ σεληνιαίου πρὸς μικρὸν κρυπτόμενος σώματος, δοκεῖ μέν πως ἐκλιμπάνειν καὶ τῷ ζόφῳ καλύπτεσθαι, καὶ τῆς αἴγλης ἀντιλαμβάνειν τὸ σκότος, ὅμως αὐτὸς τοῦ οἰκείου φωτὸς οὐκ ἐξίσταται, ἔχει δὲ ἐν ἑαυτῷ πηγὴν φωτὸς ἀέναον βρύουσαν, μᾶλλον δὲ αὐτὸς πηγὴ φωτὸς ὑπάρχει ἀνέκλειπτος, ὡς ὁ κτίσας αὐτὸν διετάξατο· οὕτω καὶ σὺ ἡ πηγὴ τοῦ ἀληθινοῦ φωτὸς ὁ ἀέναος, ὁ ἀδαπάνητος τῆς αὐτοζωῆς θησαυρός, ἡ δαψιλὴς τῆς εὐλογίας ἀνάβλυσις, ἡ πάντων τῶν ἀγαθῶν αἰτία ἡμῖν καὶ πρόξενος, εἰ καὶ πρός τι χρονικὸν διάστημα καλύπτῃ σωματικῶς τῷ θανάτῳ, ἀλλὰ βρύεις ἡμῖν φωτὸς ἀπειρεσίας μαρμαρυγάς, καὶ ἀμβροσίαν ζωῆς, καὶ τῆς ὄντως μακαριότητος ἀνέκλειπτα, καὶ καθαρὰ καὶ ἀδαπάνητα νάματα, ποταμοὺς χάριτος, ἰαμάτων πηγάς, εὐλογίαν ἀέναον. σὺ γὰρ ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, καὶ ὁ καρπός σου γλυκασμὸς ἐν λάρυγγι τῶν πιστῶν. ἐντεῦθεν οὐ θάνατον τὴν ἱεράν σου Μετάστασιν λέξωμεν, ἀλλὰ Κοίμησιν, ἢ ἐκδημίαν, εἰπεῖν οἰκειότερον· ἐκδημοῦσα γὰρ τῶν τοῦ σώματος, ἐνδημεῖς πρὸς

τὰ

τὰ κρείττονα. σὲ διεπόρθμευσαν σὺν Ἀγγέλοις Ἀρχάγγελοι. σοῦ τὴν ἄνοδον ἔφριξαν τὰ ἀκάθαρτα καὶ ἐναέρια πνεύματα. σοῦ τῇ διαβάσει εὐλογεῖται μὲν ὁ ἀὴρ, αἰθὴρ δὲ καθύπερθεν ἁγιάζεται. σοῦ τὴν ψυχὴν χαίρων ὁ Οὐρανὸς ὑποδέχεται. σοὶ μεθ' ἱερῶν ὕμνων καὶ φαιδρᾶς τελετῆς προσυπαντῶσι δυνάμεις, μονονουχὶ λέγουσαι· τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς Σελήνη, ἐκλεκτὴ ὡς Ἥλιος; ὡς ὡραιώθης, ὡς ἡδύνθης. σὺ ἄνθος τοῦ πεδίου, ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν. διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε. εἰς ὀσμὴν μύρου σου δραμούμεθα. εἰσήνεγκέ σε ὁ Βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ, ἔνθα σε ἐξουσίαι δορυφοροῦσιν, ἀρχαὶ εὐλογοῦσι, θρόνοι ἀνυμνοῦσι, τὰ Χερουβὶμ ἐκπλήττεται χαίροντα, δοξάζει τὰ Σεραφὶμ τὴν τοῦ οἰκείου δεσπότου φύσει ἀληθεῖ οἰκονομίᾳ χρηματίσασαν Μητέρα. οὐ γὰρ ὡς Ἡλίας ὡς εἰς Οὐρανὸν ἀνελήλυθας, οὐχ ὡς Παῦλος ἕως τρίτου διεβιβάσθης Οὐρανοῦ, ἀλλ' ἕως αὐτοῦ τοῦ βασιλικοῦ θρόνου τοῦ Υἱοῦ σου ἔφθασας, αὐτόπτως ὁρῶσα καὶ χαίρουσα, καὶ σὺν πολλῇ καὶ ἀφάτῳ τῇ παῤῥησίᾳ παρεστῶσα, Ἀγγέλοις θυμηδία ἀπόῤῥητος καὶ πάσαις ταῖς ὑπερκοσμίοις δυνάμεσι. Πατριάρχαις εὐφροσύνη ἄληκτος, δικαίοις χαρὰ ἀνεκλάλητος, Προφήταις ἀένναος ἀγαλλίασις. Κόσμον εὐλογοῦσα, τοῖς κάμνουσιν ἄνεσις, τοῖς πενθοῦσι παράκλησις, τοῖς νοσοῦσιν ἴασις, τοῖς χειμαζομένοις λιμὴν, τοῖς ἁμαρτάνουσιν ἄφεσις, τοῖς λυπουμένοις εὐμενὲς παραμύθιον, πᾶσι τοῖς αἰτοῦσιν ἑτοίμη βοήθεια. ὢ θαύματος ὄντως ὑπερφυοῦς. ὢ πραγμάτων γεμόντων ἐκπλήξεως. ὁ πάλαι βδελυκτὸς, καὶ μισούμενος θάνατος, νῦν εὐφημεῖται καὶ μακαρίζεται. ὁ πάλαι πένθους, καὶ κατηφείας, δακρύων τε καὶ σκυθρωπότητος πρόξενος, νῦν χαρᾶς ἀναδείκνυται καὶ πανηγύρεως αἴτιος. ὅμως εἰ καὶ πᾶσι τοῖς τοῦ Θεοῦ θεράπουσι, ὧν ὁ θάνατος μακαρίζεται, ἐκ τοῦ τέλους τὸ ἀσφαλὲς περιγίνεται

τῆς

τῆς πρὸς τὸν Θεὸν διαρεστήσεως, καὶ τούτου χάριν ὁ θάνατος αὐτῶν μακαρίζεται. τελειοῖ γὰρ αὐτοὺς καὶ μακαρίους δείκνυσι, τὸ ἄτρεπτον τῆς ἀρετῆς χαριζόμενος καὶ τὸ φάσκον λόγιον, μὴ μακάριζε ἄνδρα πρὸ τελευτῆς αὐτοῦ. ἀλλ᾽ οὐκ ἐπὶ σοὶ ταῦτα ληψόμεθα. σοῦ γὰρ μακαρισμὸς οὐχὶ ὁ θάνατος, οὐδ᾽ ἡ μετάστασις τελείωσις γέγονεν, οὐδ᾽ αὖ πάλιν ἡ ἐκδημία χαρίζεται τὴν ἀσφάλειαν· πάντων γὰρ σὺ τῶν ὑπὲρ τῶν ἀγαθῶν ἀρχὴ καὶ μεσότης καὶ τέλος, ἀσφάλειά τε καὶ ἀληθὴς βεβαίωσις, ἡ ἄσπορος σύλληψις, ἡ θεία ἐνοίκησις, ὁ τόκος ὁ ἄφθορος γέγονεν. ὅθεν ἀληθῶς ἔφησας οὐκ ἀπὸ τοῦ θανάτου, ἀλλ᾽ ἐξ αὐτῆς τῆς συλλήψεως ὑπὸ πασῶν τῶν γενεῶν μακαρίζεσθαι· ἐντεῦθεν οὐ σὲ ὁ θάνατος ἐμακάρισεν, ἀλλὰ σὺ τὸν θάνατον κατηγλάϊσας, τὴν τούτου κατήφειαν λύσασα, καὶ χαρὰν τὸν θάνατον δείξασα. ὅθεν σου τὸ ἱερὸν καὶ πανάμωμον σῶμα ὁσίᾳ ταφῇ παρεδίδοτο, προσεχόντων Ἀγγέλων, περικυκλούντων, ἑπομένων, τί μὴ πραττόντων, ὧν εἰκὸς τῇ Μητρὶ τοῦ ἑαυτῶν λειτουργῆσαι Δεσπότου; Ἀποστόλων καὶ παντὸς τοῦ τῆς Ἐκκλησίας πληρώματος θεηγορικοὺς ὕμνους ἐκβοώντων, καὶ κροτημένων τῷ Πνεύματι· πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. καὶ πάλιν ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. ὄρος τοῦ Θεοῦ, ὄρος πῖον· τὸ ὄρος ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. σὲ τῶν Ἀποστόλων ὁ δῆμος τὴν ἀληθῆ κιβωτὸν τοῦ Θεοῦ ἐπὶ τῶν ὤμων ἀράμενος, ὡς πάλαι ποτὲ οἱ ἱερεῖς τὴν τυπικὴν κιβωτὸν, καὶ ἐν τάφῳ θέμενος, δι᾽ αὐτοῦ ὡς δι᾽ Ἰορδάνου τινὸς ἐπὶ τὴν ἀληθῆ τῆς ἐπαγγελίας παρέπεμπον γῆν, τὴν ἄνω φημὶ Ἱερουσαλὴμ, τὴν πάντων τῶν πιστῶν Μητέρα, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. οὐ καταλέλειπται γὰρ ἡ ψυχή σου εἰς ᾅδην, ἀλλ᾽ οὐδὲ σάρξ σου εἶδε διαφθοράν. οὐ κατελείφθη ἐν τῇ γῇ τὸ σὸν ἄχραντον καὶ πανακήρατον σῶμα, ἀλλ᾽ ἐν Οὐρανῷ ἐν βασιλείοις μοναῖς ἡ Βασιλὶς, ἡ Κυ-

ρία,

ρία, ἡ Δέσποινα, ἡ Θεομήτωρ, ἡ ἀληθὴς Θεοτόκος μετατίθεσαι. ὢ πῶς Οὐρανὸς ὑπεδέξατο τὴν πλατυτέραν Οὐρανῶν χρηματίσασαν; πῶς δὲ τάφος τὸ τοῦ Θεοῦ δοχεῖον ὑπεδέξατο; καὶ ἐδέξατο, καὶ κεχώρηκεν. οὐ γὰρ σωματικοῖς ὄγκοις Οὐρανῶν πλατύτερον χωρίον ἐχρημάτιζε. πῶς γὰρ τὸ τρίπηχυ, καὶ ἀεὶ λεπτυνόμενον σῶμα εὑρεθείη, καὶ μήκεσιν Οὐρανοῦ παραβληθῆναι δυνήσεται; τῇ δὲ χάριτι μᾶλλον παντὸς ὕψους καὶ πλάτους τὸ μέγεθος ὑπερηκόντισεν. ὢ ἱεροῦ καὶ θαυμαστοῦ καὶ σεβασμίου καὶ προσκυνητοῦ μνήματος. ὃ καὶ νῦν περιέπουσιν Ἄγγελοι, αἰδοῖ καὶ φόβῳ πολλῷ παριστάμενοι, φρίττουσι δαίμονες, πίστει τρέχουσιν ἄνθρωποι, τιμῶντες ὀφθαλμοῖς καὶ χείλεσι, καὶ πόθῳ ψυχῆς ἀσπαζόμενοι, καὶ ἀφθονίαν ἀγαθῶν ἀρυόμενοι. ὥσπερ γὰρ εἴ τις μύρον πολυτελὲς ἱματίοις, ἢ τόπῳ τινὶ ἐναπόθοιτο, εἶτα πάλιν ἀφέλοιτο, ἐναπομένει τῆς εὐωδίας τὰ λείψανα, καὶ μετὰ τὴν τοῦ μύρου ἀφαίρεσιν, οὕτω καὶ νῦν τὸ θεῖόν σου σῶμα καὶ ἱερὸν καὶ πανάμωμον καὶ τῆς θείας εὐωδίας ἀνάπλεων, ἡ ἄφθονος κρήνη τῆς χάριτος ἐν τῷ τάφῳ τεθὲν, εἶτα πάλιν ἀναρπασθὲν πρὸς κρείττονα χώραν καὶ ὑψηλοτέραν, οὐκ ἀφῆκε τὸν τάφον ἀγέραστον, ἀλλὰ μεταδίδωσι μὲν τῆς θείας εὐωδίας καὶ χάριτος, πηγὴν δὲ τῶν ἰαμάτων καὶ πάντων τῶν ἀγαθῶν τοῖς πίστει προσιοῦσι τὸ μνῆμα κατέλιπε. σοὶ καὶ ἡμεῖς προσκαθήμεθα σήμερον, ὦ Δέσποινα Θεοτόκε καὶ ἀπειρόγαμε, τὰς ἑαυτῶν ψυχὰς τῆς σῆς ἐλπίδος ἐφάψαντες, ὥσπερ ἔκ τινος ἰσχυροτάτης καὶ ἀρραγεστάτης ἀγκύρας, νοῦν, ψυχὴν, σῶμα, ὅλους ἑαυτοὺς ἀνατιθέμενοι, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς γεραίροντες ὅσον ἐφικτόν. τὸ γὰρ πρὸς ἀξίαν, ἀνέφικτον· εἰ γὰρ ὡς ὁ λόγος ὁ ἱερὸς ἡμᾶς ἐξεπαίδευσεν, ἡ περὶ τοὺς ὁμοδούλους τιμὴ ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας, ἡ περὶ σὲ τὴν τεκοῦσαν τὸν Δε-

σπό-

σπότην ἐπειδή, πῶς παροραθέα; πῶς δὲ οὐ περισπούδαστος; πῶς δὲ οὐκ αὐτῆς τῆς ἀναγκαίας προτιμωμένη πνοῆς, καὶ τῆς ζωῆς πρόκειτος; οὕτω γὰρ ἂν μᾶλλον τὴν πρὸς τὸν οἰκεῖον δεσπότην εὔνοιαν ἐπιδειξόμεθα. αὐτάρκης γὰρ οὕτω τοῖς εὐλαβῶς μεμνημένοις σου τῆς σῆς μνήμης τὸ τιμαλφέστατον δώρημα. χαρᾶς γὰρ ἀναφαιρέτου ὑπόθεσις γίνεται. ποίας γὰρ οὐκ ἐμπιπλᾶται εὐφροσύνης; ποίων ἀγαθῶν, ὁ ταμεῖον τῆς παναγίας σου μνήμης τὴν ἑαυτοῦ ποιήσας διάνοιαν; οὗτός σοι παρ' ἡμῶν χαριστήριος τῶν ἡμετέρων λόγων ἡ ἀπαρχή, τῆς πτωχῆς ἡμῶν διανοίας ἀκροθίνιον, τῷ περὶ σὲ κινηθείσης πόθῳ, καὶ τὴν οἰκείαν ἐκλελησμένης ἀσθένειαν. ἀλλ' εὐμενῶς δέχοιο τὸν πόθον εἰδυῖα τὴν δύναμιν ὑπερβάλλοντα. σὺ δὲ ἐποπτεύοις ἡμᾶς; Δέσποινα ἀγαθὴ ἀγαθοῦ Δεσπότου λοχεύτρια. ἄγοις τε καὶ φέροις τὰ καθ' ἡμᾶς ὅποι βούλοιο, καὶ τὰς ὁρμὰς τῶν αἰσχίστων ἡμῶν στήσειας, καὶ τὸν σάλον παύσειας, καὶ πρὸς τὸν τοῦ θείου θελήματος ἀχείμαστον λιμένα καθοδηγήσειας, καὶ τῆς μελλούσης ἀξιώσειας μακαριότητος, καὶ τῆς γλυκείας καὶ αὐτοπροσώπου ἐλλάμψεως τοῦ ἐκ σοῦ σαρκωθέντος Λόγου Θεοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, καὶ μεγαλοπρέπεια, σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ
# ΘΕΟΔΟΤΟΥ
## ΕΠΙΣΚΟΠΟΥ ΑΓΚΥΡΑΣ,

**Ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ πρὸς Νεστόριον ἐν ἡμέρᾳ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ.**

ΟΠερ ἐστὶ τοῖς σώμασιν ἡμῶν ἰατρὸς, τοῦτο ταῖς ψυχαῖς Ἱερεύς· ἐπειδὴ γὰρ νόσημα ψυχῶν ἐστὶν ἡ πλάνη, καὶ χρονίζουσα θάνατον τὸν τῆς τιμωρίας ἐπάγει, ᾠκονόμησεν ἡ τοῦ Πνεύματος χάρις θεραπείαν ψυχῶν, τὴν ἱερωσύνην τὴν ἁγίαν, καὶ τὸ προληφθὲν τῷ πάθει μέλος ἐξέκοψεν, οὐκ ἐκείνου ἀφειδῶν, ἀλλὰ τῶν λοιπῶν μελῶν φειδόμενος. ἐπειδὴ γὰρ τὸ συνεχὲς τῆς σήψεως τῆς σαθρᾶς μετάδοσιν εἰργάζετο τῆς κακίας, ἐκτέμνει τὸ μέλος, ἵνα ἐκτέμῃ τὴν κακίαν. καὶ ἔστι τὸ εἶδος τοῦτο, οὐκ ὠμότης, ἀλλὰ θεραπεία. δακρύων μὲν γὰρ ὁ ἰατρὸς ἐκτέμνει τὸ μέλος, ἀλλ' ἀφειδῶν, τὴν τμῆσιν θεραπείαν εἰργάσατο. ἀρχαῖον τοῦτο τῆς θεραπείας τὸ εἶδός ἐστι, καὶ ἄνωθεν. οὕτως οἱ Ἅγιοι ἐπεμελήθησαν τῆς πανσέπτου ταύτης Ἐκκλησίας. ἔχει γὰρ ὁ Ἱερεὺς καὶ ξίφος, οὐχ ἵνα κακώσῃ, ἀλλ' ἵνα θεραπεύσῃ. καὶ τοῦτο δηλοῦσα ἄνωθεν ἡ χάρις πρῶτον τῷ Ἱερεμίᾳ ἐμήνυσε, λέγουσα· κατέστησά σε σήμερον ἐπὶ Βασιλείας καὶ ἔθνη, ἐκριζοῦν, καὶ κατασκάπτειν, καὶ ἀπολλύειν, καὶ ἀνοικοδομεῖν, καὶ καταφυτεύειν. οὐ φυτεύεται γὰρ εὐσέβεια, μὴ ἐκκοπείσης κακίας. εὔλογον μὲν πρῶτον ἀρδεύειν, ἐπιμελείᾳ γεωργικῇ χρῆσθαι, λόγους προσφέρειν εὐσεβείας, ἐπιμέλειαν παι-

δεία

ποίαν προσάγειν τῷ μέλει. εἰ δὲ ἡ κακία κρείττων γένοιτο τῆς ἐπιμελείας, ἡ ἐκκοπὴ ἴαμα τῶν οὕτω διακειμένων ἐστί. πῶς γὰρ ἄν τις ἐπιμελήσαιτο τῶν οὕτω διακειμένων, τῶν ὀνειδιζόντων Θεῷ τὰ ἀνθρώπινα, καὶ τὴν χάριν ἐν μέρει ὀνείδους ποιουμένων; τί λέγεις; εἰπέ. Θεόν, φησιν, οὐ λέγω πεπονθέναι. εἰ μὲν πρὸς τὴν φύσιν βλέπεις, καλῶς ἐρεῖς. εἰ δὲ παντελῶς ἀναιρεῖς τὸ πάθος, ἀρνῇ τὴν οἰκονομίαν. μὴ γὰρ ὀνειδίσῃς Θεῷ παθόντι, ἀλλὰ τῶν παθημάτων βλέπε τὰ κατορθώματα. εἰς εὐτέλειαν κατέβη Θεός, οὐ μειωθεὶς τὴν φύσιν, ἀλλὰ τὴν χάριν δωρούμενος. ἔμεινεν ὃ ἦν, προσέλαβεν ὃ οὐκ ἦν. ἔμεινε Θεὸς διὰ τὴν ἑαυτοῦ φύσιν, γέγονεν ὅπερ σύ, διὰ τὴν περὶ σὲ φιλανθρωπίαν. μὴ οὖν τὸ εἶδος τῆς ἐπιμελείας ὕβριν νομίσῃς. μὴ ὀνειδίσῃς τῷ ἰατρῷ, εἰ ἐν εὐτελείᾳ σώματος τὴν ὑγίειαν εἰργάσατο. οὐ γὰρ ὕβρις ἐστὶν ἡ εὐτέλεια, ἀλλὰ δεῖγμα φιλανθρωπίας. κατέβη πρὸς σέ, οὐχ ἵνα μείνῃ κάτω, ἀλλ' ἵνα σὲ πρὸς ἑαυτὸν ἀναγάγῃ. μὴ ἀρνήσῃ τὴν κατάβασιν, ἵνα μὴ ἀπολέσῃς τὴν ἀνάβασιν. δέξαι τὴν ὕβριν, τὴν σὴν δόξαν γεννήσασαν. οὐχ ὑβρίσαι φύσις, ἀλλ' ἡ χάρις δωρεῖταί σοι τὰ ἀγαθά. διὰ σὲ τὸν ὑβρισμένον οἰκέτην, ὁ δεσπότης ὑβρίζεται. τὰ σὰ ἀνέλαβεν, ἐπειδὴ σὺ τὰ ἐκείνου κατέλιπες. ἀπεδράσαμεν ἡμεῖς ἀγαθοῦ δεσπότου, οὐκ ἠνέγκαμεν τὴν περὶ τοῦ δεσπότου δεδομένην χάριν, πρὸς χείρω τὴν ἀπόλαυσιν τοῦ Παραδείσου ἐλάβομεν, τὸν νόμον παρεώσαμεν, τὸν νομοθέτην παρέβημεν, τῷ ἐχθρῷ ἐπείσθημεν, ἐξεπέσωμεν τῆς τιμῆς, εἰς τὸν περίγειον τόπον τοῦτον ὁ δραπέτης δίηγεν, οὐκ ἀνένευε πρὸς τὸν δεσπότην. ἡ ἡδονὴ κάτω κατεῖχε τὸν φυγάδα. ἡ ἁμαρτία δεσμώτην εἶχε τὸν δραπέτην. ἀπέγνω τῆς ἡμῶν διανοίας, ὡς οὐ δυναμένης ἀνανεῦσαι πρὸς τὸν Θεόν. τί οὖν; ἡ ἐμὴ βραδύτης ζημιώσει Θεὸν τὸ κάλλιστον κτῆμα, τὸν ἄνθρωπον; ἀλλ' οὐκ ἠνέσχετο τοῦτο ὁ τῶν ὅλων Θεός. οὐδὲ γὰρ ἔθει, φθόνον κρατεῖν δεσποτικῆς χάριτος. οὐδὲ τῆς τοῦ

Θεοῦ

Θεοῦ δωρεὰν ἔδει νικᾶσθαι ὑπὸ τῆς ἐπιβουλῆς τοῦ διαβόλου. τί οὖν ὁ δεσπότης ποιεῖ; παραγίνεται πρὸς τὸν δραπέτην. ὁ γὰρ δοῦλος πρὸς ἐκεῖνον ἰέναι οὐκ ἠδύνατο. παραγίνεται πρὸς τὸν δραπέτην, οὐκ ἐν ἀξιώματι δεσποτικῷ, οὐκ Ἀγγέλων δορυφορίαν προαποστέλλων, οὐκ Ἀρχαγγέλων κινῶν τὰς φάλαγγας, οὐ πῦρ κινῶν, οὐ στοιχεῖα σαλεύων· τοῦτο γὰρ ἦν φυγάδα ποιῆσαι τὸν δραπέτην· ἀλλὰ παραγίνεται, ἀγρεῦσαι τὸν φυγάδα βουλόμενος, κατασχεῖν τὸ ἴδιον κτῆμα θέλων. οὐ σοβεῖ τῷ φαινομένῳ, ἀλλὰ πρὸς ὁμιλίαν ἐκκαλεῖται τῇ εὐτελείᾳ τοῦ προσώπου. γίνεται σύνδουλος, ἵνα ἀναδειχθῇς δεσπότης. καὶ τοῦτο γὰρ καὶ ὁ μέγας Ἀπόστολος ἔλεγε· τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. Ἰησοῦν ἐνταῦθα λέγει· εἰπὲ, τίνα ἡ Μήτηρ ἔθετο τὴν προσηγορίαν τῷ βρέφει; καλέσεις γάρ, φησι, τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. ποῦ ὁ διαιρῶν τὸν Χριστόν; ποῦ ὁ τὸ μυστήριον ἡμῶν ὁμωνυμίαν ἐργασάμενος; καὶ Χριστὸν μὲν ἕνα λέγων, δύο δὲ ὑποτιθέμενος, τὸν μὲν δοῦλον, τὸν δὲ δεσπότην, τὸν μὲν πάσχοντα, τὸν δὲ μὴ πάσχοντα; τίς οὖν ὄνησις τῆς μιᾶς προσηγορίας, δύο κειμένων πραγμάτων; τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. Ἰησοῦν λέγει τοῦτον τὸν ὁρώμενον, ὃν οὕτως ἐκάλεσε καὶ Παρθένος. τοῦτο φρονείτω ἕκαστος ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ. τί γὰρ ἐφρονήσαμεν ἐν Χριστῷ Ἰησοῦ; ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ. τί ἐστι τὸ λεγόμενον; ὁ ἐξ ἁρπαγῆς ἐλευθερίαν λαβὼν, οὐδὲ δουλικὸν ὑπομένει, ἵνα μὴ πρόσκομμα τῇ ἐλευθερίᾳ ποιήσῃ. τί οὖν αὐτός; ἐπειδὴ τῇ φύσει δεσπότης ἦν, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ· τὸ γὰρ τῆς οἰκονομίας οὐδὲν ἔβλαψε τὴν Θεότητα. ὃς γὰρ ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. εἰπέ μοι τὴν τοῦ Μονογενοῦς κένωσιν; εἰ μὴ τὰ ἀνθρώπινα πέπονθε, ποῦ ἐκενώθη; ὅταν δὲ λέγω πεπονθέναι Θεὸν, φυλάττων τὴν φύσιν

ἀπα-

ἀπαθῆ, λέγω· πάθος γὰρ περιλῆψε Θεῷ, ἡ φύσις παθητὴ, ἀλλὰ ἡ πρὸς τὸ παθητὸν ἕνωσις. ἐπειδὴ γὰρ ὁ φιλάνθρωπος Δεσπότης συμπαθῆσαι προύθετο τῷ οἰκέτῃ, εἶχε δὲ τὴν φύσιν ἀπαθῆ, ἑνώσας ἑαυτῷ τὸ παθητὸν, τὸν σκοπὸν ἀνεπλήρωσεν. οὕτω παραγέγονεν ὁ Δεσπότης· οὕτως ἐπέστη τῷ φυγάδι, ὡς σύνδουλος φαινόμενος, καὶ ὡς δεσπότης εὐεργετῶν, μορφὴν δούλου δεικνὺς, καὶ χάριν δεσπότου χαριζόμενος. πεινῶν ὡς δοῦλος, καὶ ἄρτους πηγάζων ὡς Θεός· κοπιῶν ὡς ἄνθρωπος, καὶ ἐπὶ νώτου θαλάσσης βαδίζων ὡς Θεός. ὑποστελλόμενος τὸν Σταυρὸν ὡς ἄνθρωπος, καὶ γὰρ τοῖς πάθεσιν ἐπιστοῦτο τὸ φαινόμενον, καὶ τοῖς θαύμασιν ἐδείκνυ τὸ κρυπτόμενον. οὕτω φανεὶς ἄνθρωπος, ἡμᾶς ἅπαντας εἰς τὴν οἰκειότητα συνήγαγεν. Ἰωάννην ἡμῖν Διδάσκαλον ἐπέστησε τὸν Υἱὸν τῆς βροντῆς, τὸν κεχαρισμένον τῇ δε τῇ Μητροπόλει, τὸ κοινὸν τῆς οἰκουμένης κειμήλιον, τὸν ἐν στίχῳ πᾶσαν ἐκθέμενον τὴν εὐσέβειαν. ὁ Λόγος γάρ φησι, σὰρξ ἐγένετο. ὁ ὢν ἐγένετο σάρξ· ὢν μὲν διὰ τὴν φύσιν, ἐγένετο δὲ διὰ τὴν οἰκονομίαν. δι' οὗ, καὶ μεθ' οὗ, τῷ Πατρὶ ἡ δόξα, καὶ τὸ κράτος σὺν τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

## Τοῦ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ

### Τοῦ Σωτῆρος, ἀναγνωσθεὶς ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ, ἐπὶ τοῦ Ἀρχιεπισκόπου Κυρίλλου.

ΛΑμπρὰ τῆς παρούσης Ἑορτῆς ἡ ὑπόθεσις, καὶ κοινὴν σωτηρίαν τοῖς ἀνθρώποις κομίζουσα. λαμπρὸς δὲ καὶ ὁ παρὼν σύλλογος, εὐχαρίστως τὴν χάριν ὑποδεχόμενος, καὶ δέδοται δαψιλὴς ἡ χάρις τοῖς μετ' εὐχαριστίας αὐτὴν ὑποδεχομένοις. τοσοῦτον γὰρ τὸ μέτρον τῆς δωρεᾶς παρέχεται, ὅσον τὸ μέγεθος τῆς εὐχαριστίας ἐστὶ τῶν κομιζομένων τὴν χάριν.

...ς ὅταν λαβὼν δωρεὰν, εὐχαριστῇς τῷ δεδωκότι, οὐκ ἀντιδέδωκας ὑπὲρ ὧν ἔλαβες μόνον, ἀλλὰ καὶ ὀφειλέτην σοι πλειόνων τὸν δοτῆρα πεποίηκας. εὐχαρίστως οὖν προσδέξασθε τὴν χάριν, λαμπρὰν ἡμῖν ταύτην τὴν πανήγυριν ἐπιδείξαντι. ὑπόθεσις δὲ τῆς Ἑορτῆς, ἐμφάνεια Θεοῦ πρὸς ἀνθρώπους ἐπιδημία τοῦ ἀεὶ παρόντος· ἐπιστασία τοῦ τὰ πάντα πληροῦντος· ἐποψία τοῦ τὰ πάντα ὁρῶντος. εἰς τὰ ἴδια ἦλθε, φησὶ, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· μᾶλλον δὲ ἐν τῷ Κόσμῳ ἦν, καὶ ὁ Κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ Κόσμος αὐτὸν οὐκ ἔγνω· ἀλλ' οὐ τῆς τῶν ἀνθρώπων κατηγορίας ἡ ἄγνοια αὕτη· διὰ γὰρ θεότητα φύσεως ἀνέφικτος λογισμοῖς ἀνθρωπίνοις ἐστὶν ὁ Θεός. οὐ πέφυκε γὰρ τοὺς ἀνθρώπους αὐτὸν καθορᾶν. ἀποδιδράσκει τῶν ἀνθρώπων τὸν νοῦν ἡ θεία φύσις. ὑψηλοτέρα γὰρ τῶν ἡμετέρων ἐστὶ λογισμῶν. ζημιούμεθα οὖν ἐξ ἀμείνονος φύσεως θεογνωσίαν, ὅπερ ἵνα μὴ γένηται, ἀναλαμβάνει φύσιν ὁρωμένην ὁ ἀόρατος. δέχεται σῶμα ψηλαφώμενον, ὁ ἀφῇ μὴ κρατούμενος. ὁ ἀόρατος Θεὸς, ὁρώμενος γίνεται. ὁ λόγος ψηλαφᾶται. ὁ Μονογενὴς τοῦ Θεοῦ παῖς, συγγενὴς τῶν δούλων γίνεται, ἵνα μὴ διαλάθῃ τὴν γνῶσιν τῶν ἀνθρώπων ἡ ὑπερβαίνουσα τὸν ἄνθρωπον φύσις. καὶ μὴ νομίσῃς ἀλλότριον τοῦ Θεοῦ τὸν Υἱὸν γεγεννημένον, πάλαι γὰρ ἡ Θεοῦ παρουσία προεμελετᾶτο. καὶ τοῖς τύποις ἀεὶ τοῖς ἀνθρωπίνοις ἐγνώσθη φαινόμενος, ὕλαις κεχρημένος ὁρᾶσθαι παρ' ἡμῶν δυναμέναις. παραγενέσθω Ἰουδαῖος εἰς μέσον, παρέστω ὁ ἀπιστῶν τῇ τοῦ Θεοῦ ἐμφανείᾳ φανείσῃ τοῖς ἀνθρώποις ἐν ἀνθρώπου φύσει, λεγέτω μοι, πῶς Μωϋσῆς εἶδε Θεόν; τὴν φύσιν εἶδε τὴν ἀόρατον; οὐδαμῶς. ἀνέφικτος γὰρ αὕτη λογισμοῖς ἀνθρωπίνοις· πῶς οὖν εἶδεν; εἰπέ. εἶδεν ἐκ τῆς βάτου ἀναπτόμενον πῦρ, καὶ τὴν βάτον οὐ φθεῖρον. διὰ τί οὖν ἀπιστεῖς τῷ ἐκ Παρθένου γεγεννημένῳ, καὶ τὴν παρθενίαν μὴ φθείραντι; ἢ σὺ μὲν ἀκούων, ὅτι ἐκ βάτου φθέγγεται Θεὸς, καὶ λέγει Μωϋσῇ· ἐγὼ ὁ Θεὸς

Ἀβραὰμ,

Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, καὶ ὅτι πεσὼν Μωσῆς προσκυνεῖ, πιστεύεις, οὐ λογιζόμενος τὸ πῦρ τὸ ὁρώμενον, ἀλλὰ Θεὸν τὸν φθεγγόμενον. ὅταν δὲ Μήτρας Παρθενικῆς μνημονεύσω, βδελύσσῃ, καὶ ἀποστρέφῃ; τί γὰρ εὐτελέστερον, εἰπὲ, βάτος, ἢ Μήτρα παρθενικὴ καθαρὰ τῶν ἁμαρτίας παθῶν; οὐκ οἶδας, ὅτι τὰ ἀρχαῖα μελέτη τῶν νεωτέρων, καὶ τῶν νῦν γινομένων ἐστί; τὰ γὰρ μυστήρια προτυποῦνται διὰ τῶν παλαιῶν. διὰ τοῦτο βάτος ἀνάπτεται, πῦρ φαίνεται, καὶ τὰ πυρὸς οὐκ ἐνεργεῖ, οὔτε μὴν κολάζει. ἆρα ἐν τῇ βάτῳ οὐχ ὁρᾷς τὴν Παρθένον; ἆρα ἐν τῷ πυρὶ οὐ βλέπεις τὴν φιλανθρωπίαν τοῦ ἐνανθρωπουμένου; ὁ κριτὴς ἐν τοῖς κρινομένοις, καὶ κρίσις οὐ γίνεται. ὁ δικαστὴς ἐν τοῖς καταδίκοις, καὶ οὐδαμοῦ τιμωρία. ὁ Κριτὴς ἐπέστη οὐ κρίνων, ἀλλὰ διδάσκων, οὐ καταδικάζων, ἀλλ᾽ ἰατρεύων. ὁρᾷς, πῶς ἐκεῖνο τὸ ἥμερον πῦρ, τὴν ὧδε φιλανθρωπίαν ἐμήνυσε; μὴ θαυμάσῃς, εἰ διὰ Μήτρας παρθενικῆς, Θεὸς ὢν, τίκτεται. οὐδὲ γὰρ ὕβριν ἡγεῖται Θεὸς, ὃ πρόξενόν ἐστι σωτηρίας τῆς ἀνθρωπίνης. σὺ δέ μοι μὴ οὕτως εὐτελῆ τὴν φύσιν τοῦ Θεοῦ ὑπολάβῃς, ὡς καὶ ἐφικτὴν ὕβρεσι γενέσθαι ποτέ. οὐδὲν γὰρ, ὧν εἵλετο δι᾽ ἡμᾶς εὐτελῶν, ὑβρίζει τὴν φύσιν ἐκείνην. οἰκειοῦται δὲ τὰ ἐλάττονα, ἵνα σώσῃ τὴν φύσιν τὴν ἡμετέραν. ὅταν οὖν τὰ μὲν εὐτελῆ τοῦ μακαρίου Θεοῦ τὴν φύσιν μὴ ἐνυβρίζῃ, σωτηρίαν τε ἀνθρώποις ἐργάζηται, πῶς ἐρεῖς τὰ αἴτια τῆς ἡμῶν σωτηρίας, ὕβρεως πρόξενα τοῦ Θεοῦ γεγονέναι; ὤφθη τοίνυν Θεὸς σήμερον διὰ τῆς Παρθένου, καὶ ἡ Παρθένος ἔμεινε Παρθένος, καὶ Μήτηρ ἐγένετο. ὁ γὰρ ἀφθαρσίας πρόξενος, φθορὰν οὐκ ἐργάζεται. ὁ Ποιητὴς ἀφθαρσίας, οὐδὲν διέφθειρεν. ἐπειδὴ δὲ καὶ Φωτεινὸς ψιλὸν ἄνθρωπον λέγει τὸν γεγεννημένον, μὴ λέγων Θεοῦ εἶναι τόκον, καὶ τὸν ἐκ μήτρας προελθόντα, ἄνθρωπον διῃρημένον Θεοῦ ὑποτίθεται, λεγέτω μοι νῦν, πῶς φύσις ἀνθρωπίνη διὰ Μήτρας παρθενικῆς τικτομένη, τὴν παρθενίαν τῆς

Μήτρας ἐφύλαξεν ἄφθαρτον; κοινὸς γὰρ ἀνθρώπου Μήτηρ, Παρθένος μεμένηκεν· ὁρᾷς, πῶς διττὴν ἔννοιαν περὶ τοῦ τεχθέντος παρέχει μοι τὸ γεγενημένον; εἰ μὲν γὰρ καθ' ἡμᾶς ἐτέχθη, ἄνθρωπος ἦν. εἰ δὲ τὴν Μητέρα Παρθένον ἐφύλαξε, Θεὸς ὁ τεχθεὶς τοῖς εὖ φρονοῦσι γνωρίζεται. Θεὸς γὰρ ἐπεδήμησε τῷ Κόσμῳ, οὐ τόπον ἐκ τόπου μεταβάς· ἀλλὰ φύσιν περιθέμενος τὴν ἐμήν, καὶ ὡς εἶπον, ὀφθῆναι θελήσας, ὁ τὴν φύσιν ἀόρατος. ὥστε οὐκ ἔσχεν ἀρχὴν τοῦ εἶναι Θεὸς ἐκ τόπου, ἀλλὰ τοῦ φανῆναι ἀνθρώποις. ἐπειδὴ γὰρ Θεὸς ἦν, ἄνθρωπος γενέσθαι προείλετο διὰ φιλανθρωπίαν τὴν περὶ ἡμᾶς, ἵνα ἡμεῖς τὸν κτίστην ὡς συγγενεῖ περιπτυξώμεθα, ἵνα ἔχωμεν θαρρεῖν, οἱ ἐξ οἰκείων κατορθωμάτων παρρησίαν οὐκ ἔχοντες. ἐπεὶ γὰρ τοῦ βήματος ἀχθέντες, οἱ ἐξ οἰκείων ἀρετῶν μὴ παρρησιαζόμενοι, ὡς ἐκ συγγενοῦς ἰδίου καρποῦνται τὴν παρρησίαν. τί οὖν; ἐπιδημεῖ Θεός, ὡς ἄνθρωπος, οὐ τόπον ἐκ τόπου ἀμείβων, ἀλλὰ τὴν ἀόρατον φύσιν ἐπιδεικνὺς ὁρατήν, καὶ ὀφθεὶς ὡς ἄνθρωπος καὶ συγγενὴς ἀνθρώποις φανείς. καθὼς καὶ ὁ Εὐαγγελιστὴς διακηρύττει λέγων· ὅτι ὁ Λόγος σὰρξ ἐγένετο. καὶ πῶς, φησίν, ὁ Λόγος ἐγένετο σάρξ; πῶς δυνατὸν, τὸν Θεὸν Λόγον γενέσθαι ἄνθρωπον; ἐρωτᾷς τὸν τρόπον τῶν τοῦ Θεοῦ θαυμάτων; εἰ ἐφικτὸν ἦν ἡμῖν τὸ ἀκατάληπτον τοῦ Λόγου, οὐκ ἦν θαῦμα, ἀλλὰ κατὰ φύσιν πρᾶγμα· εἰ δὲ θαῦμα, καὶ σημεῖον τὸ γεγενημένον, παραχώρει τὸν λόγον τῷ θαυματουργοῦντι Δεσπότῃ. ὅτι γὰρ ἐγένετο, γνῶναί σε βούλομαι, καὶ τὸ ἐκ τοῦ γενομένου κέρδος τῇ πίστει καρπώσασθαι· πῶς δὲ γέγονε, τῷ ἐνεργοῦντι παραχώρει. ἢ σὺ τῷ μὲν ἰατρῷ πιστεύεις προσαίτοντι, καὶ οὐ περιεργάζῃ τὸν τρόπον τῆς θεραπείας, πιστεύων τῇ τέχνῃ τὴν σαυτοῦ σωτηρίαν. ἀλλ' οὐδὲ ἄλλος τις, ἄτεχνος ὤν, τὸν τοῦ τεχνίτου περιεργάζεται τρόπον, ἀλλὰ γνωρίζει μὲν τὸ γενόμενον, τὸν δὲ τρόπον τῇ τέχνῃ παραχωρεῖ. σὺ δὲ πάντων τῶν ὑπὸ τοῦ Θεοῦ τεθαυματουργημένων

τοὺς λόγους ἐπιζητεῖς, ὡς χρῄζων τῶν λόγων, ἵνα τὰ αὐτὰ τῷ Θεῷ θαυματουργῇς καὶ σύ; ἀλλ' ὅπερ ἔλεγον, καὶ νῦν λέγω. πράγματος, οὗ τὸν Λόγον ἐπιγινώσκομεν, τούτου ἡ φύσις οὐ θαῦμά ἐστιν, οὐδὲ σημεῖον. τοσοῦτον τί ἐστιν ὃ λέγω; οἰκοδόμος κτίζει οἶκον. τὸν λόγον γινώσκομεν, τὰς ὕλας συντεθείσας γνωρίζομεν, λέγειν τὸ γεγενημένον δυνάμεθα, εἰ καὶ διὰ τεχνίων ἐνεργεῖν οὐκ ἐσμὲν ἱκανοί. ἔπλασε τοῦ ἐκ γενετῆς τυφλοῦ ὀφθαλμοὺς ὁ Μονογενὴς τοῦ Θεοῦ Λόγος ἐκ πηλοῦ. τοῦτο ὑπὲρ λόγον ἐστὶ τὸν ἡμέτερον. θαῦμα καλεῖται, λογισμοῖς ἀνθρώπων οὐχ ἑρμηνευόμενον· σημεῖον καλεῖται ὑπὲρ τὴν συνήθη φύσιν γεγενημένον. καὶ ὅτι μὲν ἐγένετο, ἴσμεν, τὸν δὲ τρόπον λέγειν, οὐκ ἔχομεν. ἐκ πηλοῦ μὲν γὰρ κέραμος, καὶ πλίνθος κατασκευάζεται, οὐκ ὀφθαλμῶν δύναμις πράττεται, οὐχ ὑμένες λεπτοὶ γίνονται, οὐχ ὁράσεως ποικιλία συνίσταται, οὐ περιφερείας ἀκρίβεια μετὰ τοσαύτης εὐχροίας πορίζεται. πηλὸς οὐ πέφυκεν εἰς ὀφθαλμῶν ἀνάγεσθαι δύναμιν. οὐκοῦν ὅπερ ἡ φύσις τῆς γῆς οὐκ ἐπιδέχεται. οὐ γὰρ πέφυκεν ἐπιδέχεσθαι ὀφθαλμοῦ τὴν ἰδέαν, ταύτην ἐδέξατο, τοῦ θαυματουργοῦντος πρὸς τὸ ἑαυτοῦ θέλημα τὴν φύσιν ἑλκύσαντος, οὐκ αὐτοῦ δουλεύοντος τῷ λόγῳ τῆς φύσεως. μηκέτι οὖν εἰς ἀσθένειαν ἀνθρωπίνης καταπίπτε φύσεως, μηδὲ λέγε· πῶς ἀνθρωπίνη φύσις ἐχώρησε τὸν Θεόν; πῶς Θεὸς γέγονεν ἄνθρωπος; πῶς Θεὸς Λόγος σὰρξ ὁρωμένη γεγένηται; ἀλλ' ὅτι μὲν γέγονε πίστευε, τὸν δὲ τρόπον εἰδέναι δὸς τῷ πεποιηκότι. εἰ δὲ θέλεις καὶ ἐξ ὑποδείγματος σαφηνίσαι τὸ προκείμενον, ἐγώ δείξω σοι, πῶς τὸ ἀσώματον σωματοῦται, τὸ ἀόρατον ὁρᾶται, τὸ ἀψηλάφητον ψηλαφᾶται, οὐ τῇ οἰκείᾳ φύσει μεταβληθέν, ἀλλὰ ἀναλαβὸν σχῆμα ὁρώμενον, καὶ ψηλαφώμενον. ὁ λόγος οὗτος, ὁ προφορικὸς ἐκ τῶν ἀνθρώπων φημί, ᾧ κεχρημένοι ἀλλήλοις τε συγγινόμεθα, καὶ τὰ ἐνθύμια ἀλλήλοις ἑρμηνεύομεν, λόγος ἐστὶν οὐχ ὁρώμενος, ἀλλ' οὐδὲ χειρὶ

ψηλαφώμενος, ἀκοῇ δὲ μόνον συνιέμενος. ἀλλ᾽ ἐπειδὴ τὸν προφορικὸν λόγον ὑπόδειγμα τοῦ ἐνυποστάτου Θεοῦ Λόγου φέρω, μὴ νομίσῃς με προφορικὸν λέγειν τὸν Θεὸν Λόγον. ἄπαγε. Λόγος γὰρ εἴρηται ὁ Μονογενής, ἑρμηνευούσης τῆς θείας Γραφῆς τὸ ἀπαθὲς αὐτοῦ τῆς γεννήσεως. ἐπειδὴ καὶ νοῦς ἀνθρώπων ἀπαθῶς τίκτει τὸν λόγον. διὰ τοῦτο ὅπου μὲν Υἱὸν αὐτὸν προσαγορεύει τοῦ Πατρός, ὅπου δὲ Λόγον ὀνομάζει, ἑτέρωθι ἀπαύγασμα καλεῖ ἡ θεία Γραφή, ἕκαστον τούτων τῶν ὀνομάτων περὶ αὐτοῦ λέγουσα, ἵνα νοῇς τὰ περὶ Χριστοῦ λεγόμενα βλασφημίας ἐκτός. ἄλλοτε γὰρ ἄλλαις περὶ αὐτοῦ προσηγορίαις ἐχρήσατο, ἡρμοσμένην δόξῃ Θεοῦ τὴν διδασκαλίαν ποιήσασθαι θέλουσα. οἷον τί φησιν, ὃ λέγω; Υἱὸν καλεῖ τοῦ Πατρὸς τὸν Μονογενῆ, τὸ ὁμοούσιον τῇ φύσει παραστῆσαι θελήσασα. ἐπειδὴ γὰρ ὁ σὸς Υἱὸς τῆς αὐτῆς σοι φύσεως γεγέννηται, βουλόμενος ὁ λόγος, μίαν οὐσίαν δεῖξαι Πατρὸς καὶ Υἱοῦ, λέγει Υἱὸν τοῦ Πατρός, τὸν ἐξ αὐτοῦ γεννηθέντα Μονογενῆ. εἶτα ἐπειδὴ γέννησις, καὶ Υἱὸς ἐφ᾽ ἡμῶν ἔμφασιν παρέχει τὴν κατά τινα γέννησιν πάθους, τοῦτον τὸν Υἱὸν προσαγορεύει καὶ Λόγον, τὸ ἀπαθὲς τῆς γεννήσεως τῷ ὀνόματι τούτῳ δηλῶν. ἀλλ᾽ ἐπειδὴ Πατήρ τις γενόμενος ὡς ἄνθρωπος, ὁμολογουμένως πρεσβύτερος τοῦ ἰδίου Υἱοῦ ἐπιδείκνυται, παρεχούσης τῆς προσηγορίας αὐτῆς προεπινοεῖν τοῦ Υἱοῦ τὸν Πατέρα, ἵνα μὴ αὐτὸ καὶ ἐπὶ τῆς θείας φύσεως ὑπολάβῃς, συνυπάρχοντα δὲ τῷ Πατρὶ τὸν Μονογενῆ νοήσῃς διηνεκῶς, ἀπαύγασμα καλεῖ τὸν Μονογενῆ τοῦ Πατρός. τὸ γὰρ ἀπαύγασμα τίκτεται μὲν ἐξ ἡλίου, οὐδαμῶς δὲ νοεῖται τοῦ ἡλίου μεταγενέστερον. ἀλλ᾽ ἀφ᾽ οὗπερ ὁ ἥλιος, ἔκτοτε τῷ ἡλίῳ τικτόμενον τὸ ἀπαύγασμα νοοῦμεν. τὸ οὖν συνυπάρχειν ἀεὶ τῷ Πατρὶ τὸν Υἱόν, μηνυέτω σοι τὸ ἀπαύγασμα. τὸ ἀπαθὲς τῆς γεννήσεως, δηλούτω ὁ Λόγος· τὸ ὁμοούσιον ὁ Υἱὸς γνωριζέτω. ἀλλ᾽ ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον, καὶ τοῦ σήμερον τεχθέντος Θεοῦ Λόγου δηλώσωμεν τὴν

εὐφωνείαν, καὶ διὰ ὑποδείγματος ἐπιδείξωμεν, πῶς τὸ τῇ φύσει μὴ ὁρώμενον, ὁρώμενον γίνεται, καὶ τὸ μὴ ψηλαφώμενον δι' ἀσώματον φύσιν εὑρίσκεται ψηλαφώμενον. ὁ λόγος τοίνυν οὗτος, ὃν προφέρομεν ταῖς πρὸς ἀλλήλους ὁμιλίαις, ᾧπερ κεχρήμεθα, λόγος ἐστὶν ἀσώματος, οὐ τῇ ὄψει φαινόμενος, οὐχ ἁφῇ ψηλαφώμενος, ἀλλ' ἐπειδὰν ὁ λόγος ἐνδύσηται γράμματα καὶ στοιχεῖα, φαινόμενος γίνεται, ὄψει καταλαμβάνεται, ἁφῇ ψηλαφᾶται. ὑπόθου γάρ μοι τινὰ φθεγγόμενον πρός τινα, μὴ ὁ προϊὼν ὁρᾶται λόγος; μὴ τῇ χειρὶ ψηλαφῶμεν τὸν προχεόμενον λόγον; ἐὰν δὲ ἃ εἶπεν, ἐν χάρτῃ γράψῃς, ὃ πρότερον οὐχ ἑώρας, ὕστερον ὁρᾷς· καὶ ὅπερ οὐκ ἐψηλάφας πρότερον εἶδος τοῦ λόγου, τοῦτο διὰ τοῦ χάρτου ψηλαφᾷς καὶ τῶν γραμμάτων. τίνος ἕνεκεν; ὅτι ὁ ἀσώματος λόγος τὸ σῶμα τοῦ χάρτου, καὶ τὸ σχῆμα τῶν στοιχείων ἐνδέδυται. οὐκοῦν ἐπειδὴ σαφὲς τὸ ὑπόδειγμα γέγονε, καὶ ὑπεμνήσθης τῷ ὑποδείγματι τῆς γινομένης καθ' ἡμᾶς συνηθείας, φέρε δείξωμεν, πῶς ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ ὁ Θεὸς Λόγος, ὁ προαιώνιος συνὼν τῷ Πατρὶ, ἀσώματος ὢν τῇ φύσει, ἀνθρώπου φύσιν οἰκειωσάμενος ὕστερον, ἐτέχθη διὰ Παρθένου, οὐκ ἀρχὴν λαβὼν τοῦ εἶναι Θεὸς, ἀλλ' ἀρχὴν λαβὼν τοῦ φανῆναι ἄνθρωπος. μὴ γὰρ εἴπῃς, ἐπειδὴ παρὰ τοῦ Πατρὸς γεγέννηται ὁ Μονογενὴς, πῶς ἐτέχθη πάλιν ἐκ Παρθένου; ἐκ τοῦ Πατρὸς γεγέννηται τῇ φύσει, ἐκ Παρθένου γεννᾶται δι' οἰκονομίαν. ἐκεῖνο ὡς Θεὸς, τοῦτο ὡς ἄνθρωπος· ἐπεὶ καὶ ὁ σὸς λόγος γέννημά ἐστι τῆς σῆς διανοίας· ἀλλ' ἐπειδὰν τὸν λόγον τοῦτον, ὃν ἔτεκεν ὁ σὸς νοῦς, ἐνδῦσαι θελήσῃς καὶ στοιχείοις καὶ γράμμασι, καὶ ἐντυπῶσαι βουληθῇς τῷ χάρτῃ, χειρὶ γράφεις τὰ γράμματα, καὶ τρόπον τινὰ πάλιν διὰ τῆς χειρὸς τίκτεις τὸν λόγον, οὐ τότε λαβόντα τὴν ἀρχὴν τοῦ εἶναι, ὅτε διὰ χειρὸς ἐγράφη, οὐδὲ τότε προελθόντα εἰς τὸ εἶναι, ὅτε ἡ χεὶρ ἐνετύπου τὰ γράμματα· ἀλλ' ἐκ μὲν τοῦ νοῦ γεγέννηται, τοῦ δὲ φανῆναι τὴν ἀρχὴν ἐκ τῆς χειρὸς ὁ λόγος

ἐδείξατο τῆς πάσης τὰ γράμματα. ἐπεὶ οὖν τὸ ὑπόδειγμα σαφὲς, καὶ ἡ εἰκὼν γνωριμωτέρα γεγένηται, φέρε τῷ πρωτοτύπῳ ἐφαρμόσωμεν τὴν εἰκόνα. ὧδε νοῦς, ἐκεῖ νόει Πατέρα. ὧδε λόγον ἐκ τοῦ νοῦ γινώσκεις τικτόμενον, ἐκεῖ Λόγον ἐνούσιον καὶ ἐνυπόστατον νόει ἐκ τοῦ Πατρὸς γεγεννημένον· ὧδε χεῖρα βλέπεις διὰ γραμμάτων τίκτουσαν λόγον, ἐκεῖ νόει Παρθένον διὰ τοῦ σώματος τὸν Λόγον ὠδίνουσαν, οὐχὶ τὴν ἀρχὴν Θεότητος δοῦσαν διὰ τοῦ τόκου, μὴ γένοιτο, ἀλλὰ τὸ φανῆναι Θεὸν ἀνθρώποις γενόμενον ἄνθρωπον. ἐπειδὴ γὰρ ἐγένετο ὅπερ ἐγὼ, ἀναγκαίως ἐτέχθη καθάπερ κἀγὼ μετὰ τῆς ἐμῆς φύσεως, καὶ τὸν ἐμὸν τόκον ἀναγκαίως αἱρούμενος. διὰ τοῦτο καὶ γέννησιν ᾠκειώσατο ὁ Θεὸς Λόγος, καὶ Μητέρα ἠσπάσατο τὴν Παρθένον, καὶ διὰ μήτρας ἦλθε κοσμουμένης τῇ παρθενίᾳ. οὐδὲν γὰρ ὧν ἔπλασεν ὁ Θεὸς βδελύσσεται, ἐπειδήπερ οὐδὲν ἀνάξιον αὐτοῦ τῶν ἔργων ἐγένετο. πάντα καλὰ καὶ καλὰ λίαν, ἐὰν ταῦτα ἴδωμεν, ὡς ὁ πλάστης εἶδε γεγενημένα. εἶδε γὰρ ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. ἀπαθέσι βλέπει πάντα τοῖς ὀφθαλμοῖς, καὶ οἷς ὁ Θεὸς αὐτὰ βλέπει, λίαν καλά. ἐξόρισον τὸ πάθος, καὶ γνωρίσεις τὴν εὐγένειαν τῶν γενομένων. τί οὖν θαυμαστὸν, εἰ ἐν ἰδίῳ ἔργῳ καὶ οἴκῳ κατεσκήνωσεν ὁ Θεός; σὺ δὲ λέγεις, ἀξίως μὲν αὐτὸν ἐν Οὐρανοῖς κατοικεῖν, ἀναξίαν δὲ μονὴν αὐτοῦ τὸν ἄνθρωπον οἴει, κρίνων τὰ πράγματα οὐ τῇ ἀληθείᾳ τῶν λόγων, ἀλλὰ τοῖς πάθεσι καὶ τῇ προλήψει. τί γὰρ ἐντιμότερον, εἰπέ μοι, Οὐρανὸς, ἢ ἄνθρωπος; μὴ γάρ μοι τῇ τῶν στοιχείων προσέχῃς λαμπρότητι, μηδὲ διὰ τὴν εὐγένειαν προκρίνῃς τὴν φύσιν, μηδὲ τὴν ἐκπηδῶσαν μαρμαρυγὴν τοῦ ἡλίου καταπλαγῇς, μηδὲ ὅτι ἐγὼ δέρμα τε καὶ κρέας ἐνδέδυμαι κατὰ τὸν θεῖον Ἰὼβ, ἀλλὰ λογικῆς ψυχῆς τὴν εὐγένειαν σκόπησον. βλέπε τὴν ἀνθρώπου κατασκευὴν, καὶ θαύμασον τὸ ζῶον. νοῦν ἔχει πάντων ζώων κρατεῖν τε καὶ ἄρχειν δυνάμενον. χεῖρας ἔλαβεν ὑπηρετουμένας τῷ νῷ τῇ σοφίᾳ, ὀργανι-

παντοδαπῆς τέχνης δημιουργία. μόνον τῶν κτισθέντων πάντων ἀνάγκης ἐλεύθερον γέγονε. Κύριον γνώμης ἰδίας μόνον τὸν ἄνθρωπον ἔκτισεν ὁ Θεός. οὐχ ὁρᾷς ἥλιον ἠναγκασμένους τρέχοντα δρόμους; οὐ βλέπεις μονοειδῆ αὐτοῦ τὴν φοράν; διὰ τί; ἐπειδὴ γνώμης ἰδίας οὐ γέγονε Κύριος. σὺ δὲ προαιρέσει ἐλεύθερος, πράττεις ὃ βούλει, οὐκ ἔχεις ἀνάγκην ὠθοῦσάν σε βίᾳ, ἐλεύθερος τῇ ψυχῇ κατέστης. ἥλιος δοῦλος ἀνάγκης, ἄνθρωπος δὲ τὴν γνώμην ἐλεύθερος. τίς οὖν ἀμείνων, εἰπέ μοι, ὁ δοῦλος, ἢ ὁ ἐλεύθερος; ὁ ὑπὸ ζυγὸν ἀνάγκης, ἢ ὁ πάσης ἀνάγκης ἀπόλυτος; οὐδὲν οὖν θαυμαστὸν, οὐδὲ παράδοξον, εἰ ἐν ἀνθρώπῳ ᾤκησεν ὁ Θεὸς, ὃν ἰδίαν εἰκόνα εὐθὺς πλάσας ἠξιώσατο. τὴν γὰρ περὶ τὸν ἄνθρωπον πρόθεσιν ὁ Θεὸς εὐθὺς ἐν προοιμίοις τῆς κτίσεως ἐπεδείξατο, χοῦν μὲν λαβὼν ἀπὸ τῆς γῆς καὶ πλάσας αὐτὸν, εἰκόνα δὲ κατασκευάσας τῆς ἰδίας Θεότητος. διατί οὖν ὃν ἔμελλε τῇ κατασκευῇ τιμᾶν, οὕτως ἐξ εὐτελοῦς φύσεως ἔπλασε; διατί μὴ ἀπὸ τῆς λαμπρότητος τοῦ ἡλίου λαβὼν ἐποίησεν αὐτὸν τὸν ἄνθρωπον, ἀλλ' ἀπὸ γῆς καὶ χοὸς αὐτὸν διαπλάττει, τοῦ κάτω κειμένου καὶ πατουμένου στοιχείου; τίνος ἕνεκεν; θέλεις μαθεῖν; ἐπειδὴ τῇ ἑαυτοῦ εἰκόνι ἔμελλε τιμᾶν τὸν ἄνθρωπον, εὐτελῆ αὐτῷ δίδωσι τὴν φύσιν, ἵνα ἡ ὑπερβολὴ τῆς τιμῆς μὴ ἐπαίρῃ τὸν ἄνθρωπον εἰς ἀπόνοιαν, ἵνα ὅταν ὑπὲρ τὴν φύσιν τιμήσῃ, συστάλῃ τῇ μνήμῃ τῆς φύσεως, καὶ γνωρίσῃ τὸ μέγεθος τῆς τιμῆς, οὐ τῆς αὐτοῦ ἀξίας, ἀλλὰ τῆς χάριτος τοῦ δεδωκότος. ἐκεῖνο καὶ τοῦτο φιλανθρωπίᾳ τοῦ κατασκευάσαντος ἦν, τὸ τὴν εἰκόνα τοῦ Θεοῦ ἐκ γῆς ἔχειν τὴν φύσιν· ἐνέχυρον γὰρ εἶχε τὴν φύσιν μετρίου φρονήματος. ὥστε εὐγενὲς ζῶον ὁ ἄνθρωπος, εἰ καὶ ὕστερον ὑβρίσθη τοῖς ἐπεισελθοῦσι παθήμασι. μὴ γὰρ αὐτὸν εἴδῃς προσκεκρουκότα, ἀλλὰ πρὸ τῆς παραβάσεως τοῦ νόμου, τῆς εἰκόνος τοῦ Θεοῦ τὴν εὐγένειαν λογίσαι.

σιν. τί οὖν ἐξευτελίζεις τὸν ἔκπτωτον, τῆς πρώτης αὐτοῦ κατασκευῆς ἐπιλελησμένος, καὶ τὴν τιμὴν τὴν ἀρχαίαν οὐ λογιζόμενος, ἣν αὐτῷ πάλιν μετὰ πολλῆς τῆς φιλοτιμίας ἀποδέδωκεν ὁ Θεὸς, ἑνώσας ἑαυτῷ τὴν ἰδίαν εἰκόνα; ἰδ[illegible] οὖν ἀπ[illegible] τῆς ἐκείνου φιλανθρωπίας ἐγένετο. οὐδὲ γὰρ ἐφύβριστον ἀγαθῷ δεσπότῃ, κοινωνῆσαι δούλῳ τῶν δουλικῶν εἰς ὠφέλειαν οἰκέτου. οὐ γὰρ ὑβρίζεται τούτοις ὁ ἀγαθὸς, ἀλλ' ὅπερ ἐστὶ, διὰ τῶν τοιούτων γνωρίζεται. καὶ μὴ θαυμάσῃς τοῦ πράγματος. καὶ γὰρ νῦν ἐὰν σεαυτὸν οἶκον κατασκευάσῃς Θεοῦ, καὶ ἐν σοὶ κατοικεῖ, εἰ καὶ μὴ οὕτως ὡς ἐν τῷ Χριστῷ· ἐν τῷ Χριστῷ γὰρ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς. ἀλλ' ὢ τοῦ θαύματος· πᾶν τὸ πλήρωμα τῆς Θεότητος ἐν ἑνὶ σωματικῶς κατοικεῖ, καὶ πάντα πληροῖ καὶ ὑπερέχει τὴν κτίσιν, ὅλος ὢν ἐν ἑνὶ, καὶ τῶν κτισμάτων οὐδενὸς χωριζόμενος. καὶ μὴ δή σοι τὸ εἰρημένον φαινέσθω ἀδύνατον. καὶ γὰρ κἀγὼ νῦν προφέρομαι λόγον· οὗτος ὁ λόγος ἐστὶν ἐν ἑνὶ, καὶ ἐν πᾶσιν ὁ λόγος γέγονε, καὶ ὅλον τὸν λόγον ἐχώρησεν εἷς, καὶ ὑπὸ πλήθους ὁ λόγος οὐ περιγράφεται. εἰ τοίνυν τὸ πρᾶγμα γινόμενον καὶ φθειρόμενον καὶ ἐν ἑνὶ ὅλον οἰκεῖ, καὶ ἐν πᾶσι γίνεται, τί θαυμαστόν σοι φαίνεται, εἰ ὁ Θεὸς ὅλος ἐν Οὐρανῷ καὶ ἐν πᾶσιν εὑρίσκεται; ὑπόθεσις τοίνυν τῆς νῦν πανηγύρεως, τὸ Θεὸν γενέσθαι ἄνθρωπον, ἐνδυόμενον τὰ ἀνθρώπινα, ἵνα δῷ τὰ θεϊκά, καὶ οἰκειωσάμενον τὰ πάθη, ἵνα χαρίσηται τὴν ἀπάθειαν, ὑπεισελθόντα θάνατον, ἵνα τὴν ἀθανασίαν δωρήσηται. καὶ ἴδια τὰ τῶν ἀνθρώπων ἐκτήσατο πάθη, οὐ τὴν φύσιν μεταβαλλόμενος, τῇ δὲ γνώμῃ ταῦτα οἰκειούμενος. καὶ λίαν εἰκότως ταῦτα ποιεῖ, τὸν ἄνθρωπον σῶσαι προθέμενος. διὰ ποίαν οὖν αἰτίαν ἴδια τὰ πάθη τὰ τῶν ἀνθρώπων πεποίηται; ἐπειδὴ ἐβούλετο πάθος πάθει ἀναιρεῖν, καὶ θανάτῳ καταργῆσαι θάνατον, καὶ διὰ τῶν ὁμοειδῶν τὰ ὁμοειδῆ καταπαῦ-

σαι

σαι ἠθέλησεν. οἰκειοῦται τὸν σταυρὸν, ἰδιοποιεῖται τὸ ῥάπισμα, τὸν δεσμὸν ἑαυτοῦ ποιεῖται, ἵνα Θεοῦ γενόμενα τὰ πάθη καὶ παθῶν ἐξουσίαν λάβωσιν. οὔτε γὰρ φύσις Θεοῦ ἠδίκηται· οὐδὲ γὰρ μεταβολῇ ἰδίᾳ τὰ πάθη ἐδέξατο, καὶ τὴν ἰσχὺν παρὰ Θεοῦ τὰ πάθη καὶ τῶν ὁμοειδῶν λαμβάνει. λοιπὸν γοῦν ὁ θάνατος ὡς Θεοῦ γενόμενος καταργεῖ τὸν θάνατον. καὶ ἀποθνήσκων λύει τὴν τυραννίδα τοῦ θανάτου, ἐπειδὴ καὶ Θεὸς καὶ ἄνθρωπος ἦν. οὐ γὰρ ψιλὸν ἄνθρωπον ἐσταύρωσαν οἱ Ἰουδαῖοι, οὐδὲ τὴν ὁρωμένην μόνον καθήλωσαν φύσιν, ἀλλ' εἰς τὸν ἐν αὐτῇ Θεὸν ἤγαγον τὰ τολμήματα, τῆς ἡνωμένης φύσεως οἰκειωσάμενον τὰ πάθη. καὶ ἵνα σοι καὶ τοῦτο γένηται σαφὲς, ἐπὶ τὸ ἐν ἀρχῇ ῥηθὲν ὑπόδειγμα τὸν λόγον ἀγάγωμεν. κείσθω γὰρ Βασιλέα φθέγγεσθαι λόγον, καὶ τοῦτον ἐντυποῦσθαι διὰ γραμμάτων χάρτῃ τινὶ, τῇ λεγομένῃ σάκρᾳ, καὶ ἐξαποστέλλειν ταῖς πόλεσι τὸν λόγον ἠμφιεσμένον καὶ χάρτῃ καὶ γράμμασιν, ἐλευθερίαν χαριζόμενον, ἢ ἄλλα δῶρα βασιλικὰ τοῖς δεσμίοις κομίζοντα. ἀλλὰ ταύτην τὴν λεγομένην σάκραν τῇ τῶν Ἰταλῶν φωνῇ, ὑποδεχέσθω ἄπιστός τις, καὶ ἀπειθὴς, καὶ τῆς πόλεως ἐχθρὸς, καὶ τοῦ Βασιλέως πολέμιος, καὶ λαβὼν τὸν χάρτην, διαρρηγνύτω. τί ἐρράγη ἐνταῦθα, εἰπέ μοι; ὁ χάρτης μόνος, ἢ καὶ ὁ λόγος ὁ βασιλικός; καὶ μὴν, εἰ χάρτης μόνον διερράγη, αὐτὸ μόνον εὔωνον ἦν τὸ φθαρὲν, ἀνεύθυνος ὁ ῥήξας, ἢ πάντε ὀβολοῖς μόνοις ὑπεύθυνος ἦν. ἀλλὰ δίδωσι δίκην τὴν ἐσχάτην, καὶ τιμωρεῖται, καὶ τὴν ἐπὶ θάνατον ἄγεται, οὐχ ὡς ὁ χάρτην λυμηνάμενος μόνον, ἀλλ' ὡς καὶ λόγον διαρρήξας βασιλικόν. καὶ μὴν ὁ τοῦ Βασιλέως λόγος ἐστὶν ἀπαθὴς, οὔτε χερσὶ λαμβανόμενος τῇ ἑαυτοῦ φύσει, οὐδὲ διαρραγῆναι δυνάμενος. ἀλλὰ καὶ αὐτὸς διερράγη, τοῦ χάρτου, καὶ τῶν γραμμάτων τὸ πάθος οἰκειωσάμενος. ὁρᾷς πῶς τὸ ἀπαθὲς δέχεται πάθος, ἐπ

διὰ εἰ-

διὰ φύσει κοινωνήσῃ παθητικῇ; οὐδὲ γὰρ ὁ λόγος τῇ οἰκείᾳ φύσει διέῤῥηκτο, καὶ τὸ πάθος τοῦ χάρτου, καὶ τῶν στοιχείων ἐδέξατο. μὴ θαῤῥείτω τοιγαροῦν ὁ Ἰουδαῖος, ὡς ψιλὸν ἄνθρωπον σταυρώσας· τὸ γὰρ φαινόμενον χάρτης ἦν, τὸ δὲ ἐν αὐτῷ κρυπτόμενον, λόγος βασιλικὸς, ἐκ φύσεως, οὐ διὰ γλώττης προσενεχθείς. Λόγος μὲν γὰρ ὁ Μονογενὴς λέγεται, οὐ προφορικὸς δὲ, ἀλλ᾽ οὐσιώδης, καὶ ἐνυπόστατος, οὐδὲν μὲν τῇ οἰκείᾳ φύσει πάσχων, ὢν ἀπαθὴς Λόγος, ἴδια δὲ ποιούμενος τὰ τοῦ φαινομένου παθήματα. καὶ ὥσπερ ὁ βασιλικὸς λόγος, καὶ τῶν γραμμάτων τὴν φύσιν ἐδέξατο αὐτὸς, καὶ τὸ πάθος τοῦ χάρτου ἴδιον τοῦ λόγου γεγένηται, οὕτως ὁ Μονογενὴς τοῦ Θεοῦ Θεὸς Λόγος, τὰ τοῦ καθηλωθέντος ἴδια πεποίηται πάθη. διὰ τοῦτο ὥσπερ ὁ σάκραν βασιλικὴν λυμηνάμενος, ὡς Βασιλέως ῥήξας τὸν λόγον, τὴν ἐπὶ θάνατον ἄγεται, οὕτως ὁ σταυρώσας Ἰουδαῖος τὸ φαινόμενον, δίκας δίδωσι, εἰς αὐτὸν τὸν Θεὸν Λόγον ἐκτείνας τὸ τόλμημα. ὁ γὰρ Θεὸς λοιπὸν ὡς ἴδιον πάθος ἐκδικεῖ τὸ γινόμενον. ἀλλ᾽ ἱκανὰ τὰ εἰρημένα, ἐπειδὴ φροντίζειν δεῖ καὶ τῆς μνήμης τῆς ὑμετέρας· τὸ γὰρ πλῆθος τῶν λεγομένων, ὑπερβλύζον τὰς τῶν ἀκροωμένων ἐννοίας, ἀμνήμονα τὸν ἀκροατὴν τῶν εἰρημένων ποιεῖ. γένοιτο δὲ χάριτι Θεοῦ, καὶ τὰ εἰρημένα τῇ μνήμῃ ὑμᾶς περιλαβεῖν, καὶ ἑτέρους ἐκ τούτων ὠφελεῖν, καὶ τὴν Βασιλείαν τῶν Οὐρανῶν ἀντὶ τούτων κληρονομεῖν. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι τοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ
# ΣΥΜΕΩΝΟΣ
## ΤΟΥ ΛΟΓΟΘΕΤΟΥ καὶ ΜΕΤΑΦΡΑΣΤΟΥ,

*Λόγος εἰς τὸν θρῆνον τῆς Θεοτόκου.*

ΤΟῦτο ἐκεῖνο, γλυκύτατε Ἰησοῦ, τὸ τοὺς ἐκ Περσίδος ἀφιγμένους εἰς Βηθλεὲμ οὐ μόνον χρυσὸν ὡς Βασιλεῖ, καὶ λίβανον ὡς Θεῷ, ἀλλὰ καὶ σμύρναν ὡς ἀνθρώπῳ προσενηνοχέναι, γεννηθέντος σου. τοῦτο ἐκεῖνο τὸ ῥομφαίαν μέλλειν διελθεῖν τὴν καρδίαν μου, καθὼς ὁ Συμεὼν προηγόρευσε. τοῦτο ἐκεῖνο τὸ πῦρ, ὃ βαλεῖν ἦλθες ἐπὶ τὴν γῆν, ὥσπερ αὐτὸς προεδίδαξας. καυστικωτέρα γὰρ καὶ πυρὸς Μητρὶ φιλοτέκνῳ Παιδὸς Μονογενοῦς ἀπονέκρωσις. μικροῦ πρὸς τοὐναντίον μοι περιΐσταται καὶ ὁ τοῦ Γαβριὴλ ἀσπασμός. οὐ γὰρ καὶ νῦν ὁ Κύριος μετ' ἐμοῦ, καθὼς ἐκεῖνός μοι ἐπηγγείλατο. ἀλλὰ σὺ μὲν ἄπεις καὶ ἐν νεκροῖς, καὶ εἰς ᾅδου ταμιεῖα περιφοιτᾷς τὰ ἐνδότερα, ἐγὼ δὲ τὸν ἀέρα πνέω καὶ μετὰ ζώντων περίειμι. καίτοι οὐ σιωπῶ· διὰ ποῖον δεινὸν ἔργον πεφόνευσαι. ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετή σου, Χριστὲ, καὶ νῦν ἄμορφος κεῖσαι. ὁ ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἄδοξος. κηδεύῃ ἐν γῇ, οὗ τὴν δόξαν διηγοῦνται οἱ Οὐρανοί. καὶ μνῆμα φέρει σε λελατομημένον, ὃν ἐξ ὄρους ἀλαξεύτου τμηθέντα λίθον εἶδεν ὁ Δανιήλ. ἀπαθής σου ἡ γέννησις ἐντεῦθεν ἐδείκνυτο, ὡς ἐν τῇ βάτῳ ἡ θεϊκή σου πρὸς ἀνθρώπους συνάφεια. καὶ ἐν τῷ Ἰωσὴφ, ἡ Ἰουδαίων ἐπιβουλή. καὶ ἐν τῷ Ἰσαάκ, τὸ τοῦ θανάτου ὁμοίω-

ὁμοίω-

ὁμοίωμα· λείπεται οὖν ἐν τῇ Ταφῇ τὸ τῆς ἀναστάσεώς σου
μυστήριον. οἴμοι ὅτι ἐν λίθῳ κεῖσαι νεκρὸς, καὶ ἐκ τῶν λί-
θων ῥαγέντων διὰ τὸ πάθος σου τὸ σωτήριον πολλοὶ σου τῷ
ὀνόματι πεπιστεύκασιν. οὐκ εἶχες ποῦ κλῖναι τὴν κεφαλὴν,
ζῶν εἶπας αὐτὸς, φωλεῶν δὲ εὐποροῦσιν αἱ ἀλώπεκες· ἠλέ-
ξω διὰ τοὺς δολεροὺς αὐτῶν λογισμούς· ἀλλ᾽ ἔκλινας ταύτην
τεθνηκὼς ἐπὶ Σταυροῦ, ὑπὲρ ὠμιαίαν ὡς κλίνην εὑρὼν τὴν
πίστιν εὐγνώμονος λῃστοῦ. παρέβλεψέ με ὁ ἥλιος, λεγέτω ἡ
ἀσθματίζουσα· ἐπέδυ ὁ ἥλιος, ἔτι μεσούσης ἡμέρας, Ἱερε-
μίας φθεγγέσθω μοι. καὶ γὰρ ἥλιον τὸν αἰσθητὸν ὑπέδρα-
μεν σύγνεφις, τοῦ νοητοῦ ἡλίου τῆς δικαιοσύνης ἐκλείποντος,
καὶ πέτραι ῥῆξιν ὑπήνεγκαν, αἷς συῤῥαγῆναι κινδυνεύει
καὶ ἡ καρδία μου. ὦ σὰρξ ἁγία, ἥτις ἐξ αἱμάτων ἐμῶν
ἐτυρώθης ὑπερφυῶς· τὸ γὰρ ἀρχαῖον χρέος ἀπεδόμην πλη-
ρέστατον. εἰς τοῦτο μόνον μοι τοὺς Οὐρανοὺς ὑπέκλινας δέσπο-
τα, καὶ ὡς ὑετὸς ἐπὶ πόκον κατέβης, ἵνα καὶ νέκρωσιν ὑπο-
στῇς· Ἁγίων μὲν κεκοιμημένων ἐγείρουσαι σώματα, νεκροῦ-
σαι δὲ τὴν τεκοῦσάν σε. τί ταῦτα, καὶ ποθεινότατε καὶ ἀ-
βλαβῶς μου; ἐμίχθη πάλαι τὰ ἄμικτα, καὶ πῦρ Θεότητος
ἄϋλον σπλάγχνον ἐμὸν οὐ κατέφλεξεν· ἄρτι δὲ ἕτερον πῦρ
τὰ ἐντός μου βόσκεται ἅπαντα, καὶ μέσην καρδίαν λυμαίνε-
ται. χαρᾶς ἐγγύας δι᾽ Ἀγγέλου παρέλαβον, καὶ ἀφειλόμην
δάκρυα ἀπὸ προσώπου τῆς γῆς· πλὴν ἀλλὰ τοῦτο μόνοις-
τοῖς ἐμοῖς πιαίνεται δάκρυσιν. εἰς ᾅδου καταβαίνεις, οἶδας
ὡς τὰς ἐγκεκλεισμένας ἀπολύσων ψυχάς, ἀλλὰ τὴν ἐμὴν
ἐκεῖσε κατασπᾷς, ἔμπνουν νεκρὰν περιβρέχων με. ὦ γυμνὲ
νεκρὲ, ζῶντος Λόγε Θεοῦ, ἑκουσίως ὑψωθῆναι καταδεξά-
μενε Σταυρῷ, ἵνα πάντας ἑλκύσῃς πρὸς σεαυτόν. ποῖόν σου
τῶν μελῶν τοῦ σώματος ἔμεινεν ἀπαθές; ὦ θεία μοι κεφα-
λὴ, ἀκάνθαις δεδεγμένη, καὶ ταύτας ἐμπήξασα τῇ καρδίᾳ
μου. ὦ κοσμία καὶ ἱερὰ κεφαλὴ κεφαλῇ καλάμῳ τετυμμένη, ὦ

αἴορ-

ἀνορθώσῃς τὸν ὡς σαθρὸν τῷ πονηρῷ κατεαγέντα πνεύματι κάλαμον, καὶ μακρὰν τοῦ Παραδείσου γενόμενον. ὦ σιαγόνες δεδεγμέναι ῥαπίσματα. ὦ στόμα σύμβολον ἕτερον μέλιτος, εἰ καὶ χολῆς ἐδέξω πικρότητα, καὶ ὄξους ἐποτίσθης δριμύτητα. ὦ στόμα καὶ λόγῳ μόνῳ ἐξωμαστῆσαν τὸν τετραήμερον. ὦ στόμα, ὑπὲρ οὐχ εὑρέθη δόλος ἐντός, εἰ καὶ σοὶ δολερὸν εἰς θάνατον προδέδωκε φίλημα. ὦ χεῖρες, αἱ τὸν ἄνθρωπον πλαστουργήσασαι, καὶ νῦν προσηλωμέναι μὲν τῷ Σταυρῷ, ἰδοὺ ὧδε δὲ προτεινόμεναι, καὶ χειρὸς ἁπτόμεναι τῆς ἀψαμένης τοῦ ξύλου πάλαι, καὶ τοῦ πτώματος ὅλον τὸν Ἀδὰμ ἐξεγείρασαι. ὦ πλευρὰ λογχευθεῖσα διὰ τὴν ἐκ πλευρᾶς πλασθεῖσαν προμήτορα. ὦ πόδες ἐφ' ὑδάτων πεζεύσαντες, καὶ τὴν ῥοώδη φύσιν εἰλικρινῶς ἁγιάσαντες. οἴμοι, υἱὲ Μητρὸς παλαιότερε· ποίας θρηνῳδίας ἐπιτυμβίους, καὶ τίνας ὕμνους ἐπικηδείους σοι ᾄσομαι. οὐκ ἔτι στάμνος μαννοδόχος ἐγώ, τὸ μάννα γὰρ τὸ ψυχοτρόφον ἀμφὶ τὸν τάφον ἐκκέχυται. οὐκ ἔτι βάτος ἀκατάφλεκτος, ὅλη γὰρ τῷ νοητῷ πυρὶ ἀπὸ τῆς ταφῆς καταφλέγομαι. οὐκ ἔτι χρυσῆ λυχνία ἐγώ, τὸ γὰρ φῶς ὑπὸ τὸ μόδιον τέθειται. ὡς πολλὰ τὰ μεγαλεῖα ὁ δυνατὸς ἐνεδείξω μοι· ἐκ πασῶν τῶν γενεῶν ἐξελέξω με· γλώσσας Προφητῶν ἐτράνωσας δι' ἐμέ, μέλλων οὐρανόθεν καταφοιτᾶν, ὡς οἶδας αὐτός. τὴν ἐμὴν εἰς τὸν Κόσμον ἀνέμενες πρόοδον, καὶ ἔχων σκεῦος ὑποδοχῆς Θεότητος. ἄξιόν σοι μόνῳ κατεγγυήσαντό με, καὶ πρὸ συλλήψεως οἱ Γεννήτορες. εἰς φῶς ἐξῆλθον τοῦτο τοῦ βίου, καὶ βραχύ τι τοῖς τοκεῦσι παρέμεινα. ὁμοῦ γὰρ μαστοῖς ἀπεταξάμην καὶ γάλακτι, καὶ συναπεταξάμην καὶ τοῖς γεννήτορσι, καὶ ὅλη ὅλῳ συναπεδόθην σοι. καὶ Ναῷ μετετέθην Ναὸς χρηματισομένη καθιερώτατος. ὁ Πατήρ μου καὶ ἡ Μήτηρ μου ἐγκατέλιπόν με, σὺ δέ με προσελάβου, καὶ δι' Ἀγγέλου ἐξέθρεψας. καὶ ὅ, φησὶν ὁ Δαβίδ, ἄρτον Ἀγγέλων ἔφαγον,

αὐ-

ἄνθρωπος. Ἄγγελον εἶδον πρωτοστάτην προσομιλοῦντά μοι, ὃν Ζαχαρίας πρὶν ἰδὼν ἐκωφεύσατο, καὶ γλωττοπέδην ὑπέμεινεν. ἠγαλλιάσατο καὶ βρέφος ἔνδον γαστρὸς, καὶ τὸν ἀσπασμὸν ἠμείψατο τῷ σκιρτήματι, σὲ προσκυνοῦν τὸν ἐν γαστρί μοι κυοφορούμενον. νόμους ἐν ἐμοὶ κατέλυσας φύσεως, ἀσπόρως συνειλήφθης ὡς οἶδας, καὶ μετὰ τόκον με Παρθένον ἐτήρησας. τέθεικάς με μητέρα ἐπὶ τέκνῳ εὐφραινομένην, καὶ τὸν δι' ἐμὲ θεοπάτορα, καὶ πασῶν ὑπερκειμένην θυγατέρων, ἃς ὁ Σολομὼν διηνίξατο. Βασιλεῖς καὶ πτωχεύουσί μοι δουλοπρεπῆ παρέχον προσκύνησιν. Οὐρανοῦ με πλατυτέραν ἀπέδειξας, ἐξ ἧς ὁ τῆς δόξης ἔλαμψας ἥλιος. καὶ ἵνα τὰ λοιπὰ τῶν περὶ ἐμὲ τεραστίων παραδράμωμαι, μακαριζομένην με ἐν πάσαις γενεαῖς πεποίηκας, καὶ δι' ἐμοῦ τὸν ἄνω Κόσμον πληρωθῆναι ᾠκονόμησας. νῦν οὐκ οἶδα πῶς ταῦτα συγκέχυται καὶ ἀψινθίῳ μοι τὸ μέλι συμπέφυρται. καὶ γὰρ συνεκρυβῆναι προάγομαι σοῦ, καὶ συνθάπτεσθαι, καὶ μέχρις ᾅδου συγκαταβαίνειν σοι. νεφέλην με φωτὸς ὁ προβλέπων ὠνόμασεν, ἀντὶ νιφετοῦ ὡς ἔοικε τὰ δάκρυα στάζουσαν. μή ποτε ἄρα περὶ ἐμοῦ, καὶ τοῦτο προείρηται; ἐγκαταλειφθήσεται, ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι. ἰδοὺ γὰρ ἀποτεθρυγημένος μοι πρόκεισαι ὁ βότρυς τῆς ζωῆς ὁ ἀκήρατος, ὁ τὸ ζωηφόρον αἷμα κενώσας ὡς οἶνον πιστῶν καρδίας εὐφραίνοντα. βαβαὶ, πῶς ὁ κατάψυχρος οὗτος λίθος ὡς σιδήρῳ πληττόμενος τῷ κραταιῷ σου βραχίονι σπινθῆρας ἐπιπέμπει ῥοπὰς τῇ καρδίᾳ μου. τί μὴ καὶ διαρρήγνυμαι, καὶ μυστικώτερον τάφον ἀντιλαξεύω ἐν σπλάγχνοις μου, καὶ πάλιν εἰσδέξομαι, καὶ ἐν καρδίᾳ κηδεύσω σε; λίθος ἐγὼ μυστικὴ πέτρας οὐκ ἐκρηγνυμένης τῆς τὸν μαργαρίτην φερούσης μου τὸν ἐξ ἀστραπῆς τῆς θείας ἐμφυέντα μοι. ὦ οἷα ἀνθ' οἵων ὁρῶ. ἀστὴρ ἡμεροφανὴς τὸ σκότος ὑπὲρ τῆς σῆς ἐκαινουργήθη μεγαλειότητος, καὶ σὲ λελυθότως τεχθέντα, ὁ

Οὐρα-

Οὐρανὸς ἀνεκήρυττεν. ἀλλὰ σήμερον, καὶ αὐτὸν τὸν αἰσθητὸν ἀπέκρυψας ἥλιον, καὶ νύκτα ἐν ἡμέρᾳ μέσῃ παρεισήνεγκας, τοὺς ἀσεβοῦντας ἐλέγχουσαν. Πέρσας ἐκεῖ γονυπετοῦντας ὁ ἀστὴρ μετεστείλατο, ὧδε καὶ γνωστοὺς καὶ φίλους ὁ τῶν θεοκτόνων φόβος ἀπεμακρύνατο· ἐκεῖ σε δώρων προσαγωγὴ, καὶ προσκύνησις, ἐνταῦθα χιτώνων μερισμὸς, καὶ χλευασμὸς καὶ στέφανος ὕβρεως. νῦν Ἰουδαῖοι, οἱ πρὶν ἐζήτουν ἐξ Οὐρανοῦ σημεῖον, βλεπέτωσαν ἥλιον σκοτιζόμενον, καὶ τὸ φῶς ἐκ τῶν ἀξίων σκότους συγκρύπτοντι. νῦν καὶ ὁ ἄψυχος οὗτος Ναὸς κατὰ τὴν ἰουδαϊκὴν πένθει συνήθειαν· ὡς γὰρ Ἰουδαῖοι βλασφημοῦντος τινὸς εἰς Θεὸν, τοὺς ἑαυτῶν χιτῶνας ῥηγνύουσιν, οὕτω δὴ καὶ οὗτος ὡς χιτῶνα σχίζει τὸ καταπέτασμα, παρὰ τῶν θεομάχων παροινούμενον βλέπων σε. συντρίβεται καὶ ἡ γῆ σειομένη, καθαιρουμένη τῷ κράτει σου. ἀλλὰ ποῦ τὸ πλῆθος τῶν πεντακισχιλίων ἀνδρῶν, οὓς θαυματουργήσας ἐξέθρεψας; ὅτι μόνος Ἰωσὴφ τολμηρῶς πρὸς Πιλᾶτον ἐπαῤῥησιάσατο, καὶ τὸ σὸν σῶμα ᾐτήσατο, ὡς ἂν μὴ διαμείνῃ καὶ ἄταφον· ποῦ τῶν ἀσθενῶν αἱ χορεῖαι, οὓς ἐκ ποικίλων ἐῤῥύσω νοσημάτων; ἢ ποῦ καὶ οὓς ἀπὸ ᾅδου ἐξήγειρας; ὅτι μόνον Νικόδημος τοὺς ἥλους τῶν χειρῶν σου καὶ τῶν ποδῶν διέσπασε, καὶ ὅλον ἐκ τοῦ ξύλου σε καθελὼν, ἐμαῖς ἀγκάλαις ἐπωδύνως ἐπιτίθησιν, αἷς σε καὶ πρώην ἔντα βρέφος χαρμοσύνως ἐβάσταζον. καὶ αἱ χεῖρες ἐμαὶ καὶ πρὶν βρεφουργηθέντα ἐξυπηρέτησαν, καὶ νῦν κηδευομένῳ δουλεύουσιν. ὢ πικρῶν ἐνταφίων, ὅτι νεκροῖς τὸ ζῆν χαρισάμενος, πρὸ ὀφθαλμῶν μου νενέκρωσαι. καὶ ἡ πάλαι σοι ἀμφὶ τὰ βρεφικὰ διακονήσασα σπάργανα, τὰ περὶ τὰ νεκρικά σου τυρβάζομαι. χλιαροῖς μετελουσάμην σε νάμασι, καὶ θερμοτέροις ἔτι καταντλῶ σε τοῖς δάκρυσιν. ὠλέναις μητρικαῖς ἀνεκούφιζον, ἀλλὰ σκιρτῶντα καὶ κατὰ νηπίους ἁλλόμενον. ἀνακουφίζω σε καὶ νῦν ταῖς αὐταῖς, ἀλλ' ἄπνουν καὶ κατὰ νεκροὺς

ἀνακείμενον. ἀνέβαπτόν μου τότε τὰ χείλη τοῖς μελιχροῖς σου καὶ δροσώδεσι χείλεσι, ἐμβάπτω ταῦτα καὶ νῦν, ἀλλ᾽ αὐχμηροῖς καὶ μεμυκόσι σου χείλεσι. μακαρίζεσθαί με γυναικῶν παρῆν, ὅτι παραδόξως ὤφθην τοῦ πλαστουργοῦ μου λοχεύτρια· νῦν δὲ ταλανίζεσθαί με ἀντεπεγένετο, ὅτι εὑρέθην τοῦ υἱοῦ μου κηδεύτρια. ἐκεῖ ὠδῖνας ἐν τῷ τίκτειν ἐξέφυγον, ἐνθάδε ὠδῖνας ἐν τῷ θάπτειν εἰσδέχομαι. βρεφοπρεπῶς μοι πολλάκις ἐν τοῖς στέρνοις ἀφύπνωσας, καὶ νῦν νεκροπρεπῶς ἐν τούτοις κεκοίμησαι. μακαρίζω τὸν Συμεὼν τὸν ἐξ ἐμῶν χειρῶν ἐν τῷ Ναῷ σε δεξάμενον. Προφῆται γὰρ τὰ χαροπὰ καὶ τὰ τῆς δόξης μοι προεφήτευσαν, αὐτὸς δὲ μόνος τὰ σκυθρωπά, καὶ τὰ τῆς λύπης προείπατο. ὢ πῶς ἐμπτυσθῆναι κατεδέξω, ὃς διὰ πτύσματός σου ὀφθαλμοὺς ἐκαινούργησας. πῶς ῥαπισμάτων ἠνέσχου, ὃς διὰ φραγγελίου τοὺς θεοκαπήλους ἐμάστιξας; καὶ τῶν ἱερῶν θελγγίων ἐξήλασας. πῶς ὑπομένεις θάνατον ἐπονείδιστον, υἱὲ ἀναμάρτητε. ἐξετάθης χεῖρας καὶ πόδας· ἀλλὰ τοὺς ἥλους ἔγνων εἰς μέσην τὴν ψυχὴν τὰς ὀδύνας ἐμπέμποντας. τὴν πλευρὰν ἐκεντήθης, ἀλλὰ καὶ ἡ ἐμὴ καρδία συνεκεντεῖτό σοι. συνεσταύρωμαί σοι τοῖς πόνοις. συνενέκρωμαί σοι τῷ πάθει, καὶ θαπτομένῳ συνθάπτομαι. τί ἐμοὶ καὶ τῷ βίῳ, σοῦ μὴ παρόντος, ὦ πλαστουργέ μου, καὶ υἱὲ ποθεινότατε; ἀλλὰ ποῦ τῶν Μαθητῶν ὁ χορός, ἵνα μοι παθαινομένῃ συγκλαύσηται; ἐπατάχθη ὁ ποιμαίνων, καὶ τὰ πρόβατα σφάλλονται. ὑπνώττεις ἡ κεφαλή, καὶ χεῖρες ὁμοῦ καὶ πόδες ἄπρακτοι μένουσι. κλίνουσι τὰς κεφαλὰς καὶ ἄλλοι νεκρούμενοι, ἀλλὰ προεκλελοιπότος τοῦ πνεύματος. σὺ δὲ ἐναλλάξ πως ἔκλινας κεφαλήν, εἶτα καὶ τῷ θανάτῳ κελεύσαντος ἐλθεῖν, τὸ Πνεῦμα παρέδωκας. διὸ καὶ καταπαγότα τὰ σ[illegible] γεγόνασιν, ὅτι μηδὲ τῇ πάλαι θυομένου ἀμνοῦ ὀστοῦν ὁ[illegible]οῦν κατεθραύετο. ὡς προσκυνῶ σου τὰ πάθη, καὶ τὸ ὑπομεῖναν σῶμα προσπτύσσομαι. αἴρω τὸ ὕ-

δωρ

δωρ τὸ ἐκ πλευρᾶς σου ῥυὲν, δι' οὗ μοι τὸ λουτρὸν τῆς παλιγγενεσίας χαρακτηρίζεται. ἐξαίρω καὶ τὸ αἷμα τὸ συρρυὲν, δι' οὗ καὶ τὸ διὰ μαρτυρίου ἐξεικονίζεται βάπτισμα· ὃ καὶ τὸν ἀγνώμονα περιρραντίσαν λῃστὴν καθηγίασε, βαπτισθέντα καὶ αὐτὸν τῷ ἐπὶ σοὶ συμβάντι βαπτίσματι. ὢ πικρᾶς ἐκείνης τοῦ ξύλου γεύσεως, ἥτις ἀπὸ γῆς εἰς γῆν παλινοστεῖν παρεσκεύασε. σὺ δὲ οὐκ ἀπὸ γῆς ἐπλάσθης, οὐκ ἀπὸ χοὸς ἐδημιουργήθης, οὐ παρακοὴν ἐπλημμέλησας. καὶ γὰρ αὐτὸς εἶ ὁ ἐντολὴν νομοθετήσας τῷ πλάσματι, καὶ τί σοὶ καὶ τῷ θανάτῳ κοινόν; τίς ἕνωσις ταφῇ καὶ αὐτοζωῇ; τίς μετουσία θρόνῳ ἐν Οὐρανῷ καὶ τάφῳ ἐπὶ τῆς γῆς; ἐκεῖ συνεδριάζεις μετὰ τοῦ Πατρὸς, ὧδε συνθάπτῃ τῷ πλαστουργήματι. ἀπέδωκέ σοι πονηρὰ ἀντὶ ἀγαθῶν ἡ μοιχαλὶς γενεά· νῦν ὁ μαργαρίτης ἐρρίφης ἔμπροσθεν τῶν χοίρων. νῦν προτίθενται τοῖς κυναρίοις τὰ ἅγια· νῦν ξύλον εἰς τὸν θεῖον ἄρτον ἐμβάλλεται. ὢ λύσσα φιλαργυρίας, ἣν Ἰούδας ἐνόσησεν. οὐκ ἀργύρια γὰρ, ἀλλὰ μισανθρωπίαν ἐκέρδησε· καὶ γὰρ φιλάργυρος ὢν, ἵνα τί προσεποιεῖτο τῷ τοὺς πτωχοὺς μακαρίζοντι, καὶ τὰ ἄμικτα μιγνύων ἐφαίνετο; ὢ τῆς ἀρρήτου σου οἰκονομίας Δέσποτα. τίς ὡς Θεὸν ἀξίως ὑμνήσειέ σε; τίς ὡς νεκρὸν πρεπόντως τιμήσειεν; ἀλλ' οἰκοδόμησον τὸν ναὸν διὰ τριῶν ἡμερῶν, ὡς εἶπας, ὃν καταλέλοιπας. κεφάλαιον τῶν λόγων, ἐπεὶ μὴ ὕμνους ἀξίους, μηδὲ προσήκοντας θρήνους ἔχω προσφέρειν, μεγαλύνω σου τὰ ἔργα, ὡς ἐν σοφίᾳ τὰ πάντα ποιοῦντός σου.

# ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ

# ΑΚΑΚΙΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΜΕΛΙΤΗΝΗΣ,

### Ὁμιλία περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Χριστοῦ λεχθεῖσα ἐν τῇ ἐν Ἐφέσῳ Συνόδῳ.

Ὁρῶντί μοι, ἀγαπητοὶ, τὸ φαιδρὸν τοῦτο, καὶ πνευματικὸν τῆς ἁγίας Συνόδου συνέδριον, χαίρειν τε ὁμοῦ ἐπέρχεται καὶ θαῤῥεῖν. χαίρειν μὲν, ὅτι πάντων ἐλάχιστος ὢν, ἐν τῷ μεγίστῳ τούτῳ τῆς σοφίας πελάγει, τὸ πενιχρὸν τοῦτο τοῦ λόγου σκάφος ἰθύνειν ἐπείγομαι· θαῤῥεῖν δὲ, ὅτι καὶ τῆς ἐπαναστάσεως ταχέως θραυσθήσεται κύματα, καὶ τὴν γαλήνην τῆς τοῦ Κυρίου εἰρήνης πρὸς τὸ οἰκουμενικὸν τῆς Ἐκκλησίας ἐπιστρέψει πέλαγος. εἰ γὰρ δώδεκα ὄντες τοῦ Κυρίου οἱ Μαθηταὶ, ὅτε αὐτοῖς τὸ σκάφος ὑπὸ τῆς βίας τῶν ἀνέμων ἐκυμαίνετο, ὁμοῦ τῷ βοῆσαι πρὸς Κύριον, τοῦ χειμῶνος ἀπηλλάττοντο, πόσῳ μᾶλλον τοῦτο νῦν ἐλπίζειν ἡμᾶς ἀναμφίβολον, ὅτε τοσοῦτοι τοῦ Κυρίου Μαθηταὶ, ἐπὶ τὸ αὐτὸ συνδραμόντες, ταῖς οἰκείαις ἐκδυσωπήσουσι φωναῖς τὸν Κύριον; ὅτε ὁ μέγας οὗτος πατὴρ καὶ σοφὸς Κυβερνήτης, οὔτε βίας ἀνέμων διαλαβόμενος, οὔτε ζάλης ταραχὰς, ἀλλὰ σὺν τέχνῃ πολλῇ τοὺς συνερέτας ἐπὶ τὸ πηδάλιον ἄγων, καὶ τούτου συνεφάπτεσθαι πείθων, καὶ πολλῇ τῇ συμφωνίᾳ πρὸς τὸν Δεσπότην βοῶν, οὐ μέλει σοι, ὅτι ἀπολλύμεθα; καὶ ταχέως τῇ παρ' αὐτοῦ φωνῇ, πρὸς τὸν σάλον τῶν κυμάτων

δυσω-

δυσωπῶν, λέγει· σιώπα, πεφίμωσο. θαῤῥεῖν οὖν, καὶ διχαρισεῖν ἡμῖν ἐπίσης, ἐπὶ τοῖς παροῦσιν ἁρμοδιώτατον, ὅτιπερ ἡ δόξασα κατὰ τῆς ἀληθείας γεγένηται ἀντίπνοια, τοὺς τῆς οἰκουμένης φωστῆρας ἐπὶ τὸ αὐτὸ συνδραμεῖν παρεσκεύασεν· ὧν ὁ μὲν βίος Χριστοῦ εὐωδία ἐστὶ τῷ Θεῷ, ἡ δὲ διάνοια πρὸς μίαν, καὶ τὴν αὐτὴν τῆς ἀληθείας συνῆπται ἐκφώνησιν. οὐ γὰρ ἄλλα μὲν τοὺς προσερχομένους διδάσκομεν, ἄλλα δὲ παρὰ τῶν διδασκομένων πιστεύομεν· ἀλλ᾽ ἡμῖν εἷς Κύριος Ἰησοῦς Χριστὸς, ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, Θεὸς Λόγος ὁ αὐτὸς, πρὸ μὲν πάντων τῶν αἰώνων ἐκ μόνου Πατρὸς, ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν ἐν τῇ τοῦ δούλου μορφῇ. ἄνω μόνος ἐκ μόνου, κάτω μόνος ἐκ μόνης. τὰ αὐτὰ ἀμφότερα θεϊκῶς, ἀνθρωπίνως δὲ τῇ ἡμετέρᾳ σαρκὶ, καὶ νηπιότητι τεχθείς. ὁ αὐτὸς ἀπαθὴς Θεότητι, παθὼν δὲ ὑπὲρ ἡμῶν ἑκουσίως σαρκί· οὐκ ἀκουσίως τὴν οἰκονομίαν δεξάμενος, ἀλλ᾽ αὐτὸν κενώσας ἑκουσίως, λαβὼν τὴν τοῦ δούλου μορφήν. καὶ λαβὼν διὰ τί; ἵνα σε σύμμορφον τῆς οἰκείας δόξης ἐργάσηται. καὶ μαρτυρεῖ Παῦλος, λέγων· ἡμῶν δὲ τὸ πολίτευμα ἐν Οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. ὁ τοίνυν ἑκουσίως λαβὼν τὴν τοῦ δούλου μορφὴν, ὁ τὴν ἕνωσιν μὴ παραιτησάμενος, πῶς τὰ τοῦ δούλου παρῃτήσατο πάθη; εἰ δὲ παρῃτήσατο, τίνος ἕνεκεν παθητὴν οὖσαν τὴν τοῦ δούλου μορφὴν ἀνελάμβανον; ἀλλ᾽ οὗτος οὐ παρῃτήσατο, ὅτι λαβὼν τὴν τοῦ δούλου μορφὴν ὑπήκοος γίνεται. ὁ ἄνω ἐξουσιαστὴς, κάτω ὑπήκοος. ὁ ἄνω Υἱὸς, κάτω Παιδίον. καὶ ἀναμιμνήσκω σε τῆς προφητείας. τί ἐβόα ὁ μακάριος Ἡσαΐας; Παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς καὶ ἐδόθη ἡμῖν. τί ἐστι, καὶ ἐδόθη; οὐ μόνον ἐγεννήθη, ἀλλὰ καὶ ἐδόθη. ὁ γὰρ ὢν ἐδόθη· οὐκ ἡ ἀρχὴ ἐγεν-

νήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. τί ἐστιν ἡ ἀρχὴ τοῦ Θεοῦ Λόγου, γενομένου ἀνθρώπου; ἡ Ἐκκλησία· καὶ αὐτὸς τί ἐστιν; ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας. πῶς οὖν ἐπὶ τοῦ ὤμου ταύτην φορεῖ; τὸ συντετριμμένον ἐπὶ τοῦ ὤμου βαστάζει· οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος. καλεῖται δὲ διὰ τὴν οἰκονομίαν. τί δέ ἐστι τὸ σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, Πατὴρ τοῦ μέλλοντος αἰῶνος; ὁ οὖν ἄνω ἐξουσιαστὴς, κάτω ὑπήκοος, ὁ ἄνω Υἱὸς, κάτω Παιδίον. ὁ ἄνω θαυμαστὸς σύμβουλος, κάτω ἄνθρωπος· ὁ ἄνω Θεὸς ἰσχυρὸς, κάτω ἄνθρωπος, ὁ ῥαπιζόμενός τε, καὶ ὑβριζόμενος, καὶ τῷ Σταυρῷ προσηλούμενος, καὶ τὸν διὰ τούτου δεξάμενος θάνατον. πάντα γὰρ ταῦτα τῆς τοῦ δούλου ὄντα μορφῆς, οὐδαμῶς ἡ ταύτην λαβοῦσα Θεότης ἐξέκλινεν, ἵνα δι' ἑκάστου τῶν εἰρημένων λύσῃ μὲν ἡμῖν τὰ πρὸς σωτηρίαν κωλύματα, ἀξίαν δὲ τῆς τοσαύτης κενώσεως τὴν εὐεργεσίαν ἡμῖν χαρίσηται. οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· οὐ παραιτοῦμαι εἰπεῖν, ἃ ἐκεῖνος ὑπέμεινεν ὑπὲρ ἐμοῦ. ἀπαθὴς ὢν, οὐ παρῃτήσατο, ἀλλὰ τῷ παθητῷ συνάψας ἑαυτὸν, οὕτω τὰ ὑπὲρ ἐμοῦ ἐδέξατο πάθη. οὐκ ἀποστερῶ τῆς τιμῆς τὴν Θεοτόκον Παρθένον, ᾗ αὐτὴ ἡ τῆς οἰκονομίας ὑπηρεσία κεχάρισται. καὶ γὰρ καὶ ἄτοπον, ἀγαπητοὶ, Σταυρὸν μὲν τὸν ἐφύβριστον, βαστάσαντα, τοῖς θυσιαστηρίοις Χριστοῦ συνδοξάζεσθαι, καὶ ἐπὶ τοῦ μετώπου τῆς Ἐκκλησίας ἐκλάμποντα φαίνεσθαι· τὴν δὲ ἐπὶ τοσαύτῃ εὐεργεσίᾳ δεξαμένην Θεότητα, τῆς Θεοτόκου ἀποστερηθῆναι τιμῆς. Θεοτόκος οὖν ἡ Ἁγία Παρθένος. Θεὸς γὰρ ὁ ἐξ αὐτῆς τεχθεὶς, οὐκ ἐκεῖθεν τοῦ εἶναι τὴν ἀρχὴν λαβὼν, ἀλλὰ ἐκεῖθεν τὴν ἀρχὴν τῆς ἐνανθρωπήσεως δεξάμενος. μὴ οὖν ἀμέριμνος ἔσο, αἱρετικὲ, ὡς εἰς ἄνθρωπον τὰς βλασφημίας ἐκτείνων. οὐκ ἄνθρωπός ἐστιν, ὁ ὑπὸ σοῦ εἰς τὴν τοῦ δούλου, καὶ τοῦ κτίσματος τάξιν καταγόμενος. μὴ ἀ-

κρηθῆ, Ἰουδαῖε, ὡς ἄνθρωπον ψιλὸν ςαυρώσας. οὐχ ὑπὲρ ἀνθρώπου ψιλοῦ ἀλγῶν ὁ μακάριος Δαβὶδ ἐβόα κατὰ τοῦ ἔθνους, λέγων· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. μὴ καταπιπτέτω τῆς Ἐκκλησίας τὸ φρόνημα, ὡς εἰς ἄνθρωπον μόνον ἐλπιζούσης, ἀλλὰ πειθέσθω τῷ μακαρίῳ Παύλῳ λέγοντι· εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; οὐ κατὰ ἄνθρωπον, οὐδὲ ὑπὲρ ἀνθρώπου οἱ μακάριοι Ἀπόςολοι ἐν πληγαῖς, καὶ φυλακαῖς, καὶ αἰκισμοῖς τὴν ἑαυτῶν ζωὴν κατηνάλωσαν. οὐ κατὰ ἄνθρωπον, ἢ ὑπὲρ ἀνθρώπου οἱ Ἅγιοι Μάρτυρες κατὰ πᾶσαν τὴν οἰκουμένην ἀθλήσαντες, ἐν κατατομῇ τῶν οἰκείων μελῶν, καὶ κακώσει, τὴν παροῦσαν ζωὴν κατέλιπον. ἀλλὰ ὑπὲρ τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ, τοῦ πρὸ αἰώνων ὑπάρχοντος, καὶ μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὀφθέντος, καὶ τοῖς ἀνθρώποις συναναςραφέντος, καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναςάντος, καὶ εἰς Οὐρανοὺς ἀναληφθέντος, καὶ πεντακοσίοις ἐφ᾽ ἅπαξ ὀφθέντος, καὶ ἐν ὄψει τῶν Μαθητῶν εἰς Οὐρανοὺς ἀναχθέντος, καὶ τῷ αὐτῷ τρόπῳ ἐρχομένου κρῖναι ζῶντας καὶ νεκρούς. αὕτη ἡ μόνη πίςις. ἐπὶ τούτῳ τῷ θεμελίῳ ᾠκοδομήθη ἡ Ἐκκλησία, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. γένοιτο δὲ πάντων ὑμῶν εὐχαῖς φυλαχθέντας ἡμᾶς, δόξαν ἀναπέμψαι τῷ Παναγίῳ Θεῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ, καὶ ΣΟΦΩΤΑΤΟΥ

# ΘΕΟΔΩΡΗΤΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΚΥΡΟΥ

### Περὶ Προνοίας. Λόγος, α.

### Ἀποδεικτικὸς ἀπὸ Οὐρανοῦ, καὶ Ἡλίου, καὶ Σελήνης, καὶ τῶν λοιπῶν Ἀστέρων.

Νόμος ἐστὶ τοῖς ἀνθρώποις ὑπὸ τῆς φύσεως κείμενος, Παῖδας Πατέρων ἀδικουμένων ὑπερμαχεῖν, καὶ Δεσποτῶν οἰκέτας, καὶ πόλεων πολεμουμένων πολίτας προκινδυνεύειν, καὶ ἁπαξαπλῶς τοὺς εὖ πεπονθότας, εἰς δύναμιν τοὺς εὐεργέτας ἀμείβεσθαι. ἴδοι δ' ἄν τις καὶ Βασιλέως ὀρθῶς καὶ δικαίως τοὺς ἀρχομένους ἰθύνοντος, καὶ ἡμερότητι κεραννύντος τὴν ἐξουσίαν, ἀσπιδοφόρους καὶ δορυφόρους ἐν πολέμοις προθύμως ὑπερασπίζοντας. Καὶ μή μοί τις ἀηθῶς ἀντιλεγέτω, καὶ ψεῦδος τοῦ λόγου κατηγορείτω, τοὺς πατραλοίας, καὶ μαστιγίας, καὶ προδότας, καὶ τυράννους εἰς μέσον παράγων. περὶ γὰρ τῶν τοῦ νόμου φυλάκων ὁ λόγος, ἐκείνους δὲ ἀχαρίστους, καὶ παραβάτας προσαγορεύειν εἰώθαμεν. τίνουσι δὲ καὶ δίκας τῶν τολμημάτων ἀξίας. Εἰ δὲ καὶ Παῖδας Πατέρων, καὶ Δεσποτῶν οἰκέτας, καὶ πόλεων πολίτας, καὶ Βασιλέων δορυφόρους προκινδυνεύειν ἡ φύσις διαγορεύει, πολλῷ μᾶλλον ὁσιώτερόν ἐστι καὶ δικαιότερον, τοῦ Θεοῦ τοὺς ὑπὸ τοῦ Θεοῦ καὶ γεγενημένους καὶ σεσωσμένους μὴ λόγῳ μόνον ὑπερμαχεῖν, ἀλλὰ καὶ θάνατον αἱρεῖσθαι τὸν ἔσχατον. καὶ γὰρ Πατέρων ἡμῖν πλησιαίτερος, δι' αὐτοῦ γὰρ

πα-

κἀκεῖνοι Πατέρες καλοῦνται· καὶ Δεσπότου κυριώτερος. ἐνταῦθα γὰρ κατὰ φύσιν, ἀλλ' οὐ κατὰ συμφορὰν οἰκεῖα ἡ δεσποτεία, καὶ τείχους παντὸς ἀσφαλέστερος, τὸ μὲν γάρ, κἂν ἀδαμάντινον ᾖ, χειροποίητον ὅμως ἐστί, κἂν τῶν μηχανημάτων τὴν ἰσχὺν διαφύγῃ, τοῦ χρόνου τὰς χεῖρας οὐ διαφεύξεται. ὁ δέ, ἀΐδιός τε ἐστὶ καὶ αἰώνιος, καὶ πρὸς πᾶσαν ἀρκῶν φυλακήν, καὶ ἀσφάλειαν. καὶ Βασιλέων τοσούτῳ βασιλικώτερος, ὅσῳ τὸ ἀεὶ ὂν τοῦ θνητοῦ καὶ φθαρτοῦ παραβαλλόμενον, τὸ ἀμέτρητον τῆς ὑπερβολῆς ἀποδείκνυσιν. ὁ μὲν γάρ, ἀεί τε ἐστί, καὶ αὐτοῦ τοῦ εἶναι συμπεφυκὸς ἔχει τὸ κράτος. ὁ δέ, παρ' ἐκείνου καὶ τὸ εἶναι λαβὼν ἔχει, καὶ τὸ κρατεῖν, καὶ τοῦτο πρὸς ὀλίγον καὶ ὀλίγων, οὐδὲ παρὰ πάντων τῶν τὴν αὐτὴν φύσιν εἰληχότων. Ἐπειδὴ τοίνυν καὶ Πατέρων ἡμῖν οἰκειότερος, καὶ Δεσποτῶν κυριώτερος, καὶ πάντων εὐεργετῶν προμηθέστερος, καὶ τείχους παντὸς ἀσφαλέστερος, καὶ Βασιλέων ἁπάντων ἀμέτρως βασιλικώτερος, δίκαιον ἡμᾶς τοὺς καὶ τὸ εἶναι παρ' αὐτοῦ λαβόντας, καὶ τὸ εὖ εἶναι προσειληφότας, ταῖς βλασφημεῖν αὐτὸν τολμώσαις γλώτταις, τὰς οἰκείας ἀντιτάξαι, καὶ λόγοις εὐσεβέσι τοὺς δυσσεβεῖς λόγους κατακοντίσαι. οὐχ ἵνα δεομένῳ τὴν παρ' ἡμῶν ἐπικουρίαν προσάξωμεν (ἀπροσδεὴς γὰρ ὁ τῶν ἁπάντων Ποιητής, καὶ πηλίνης γλώττης εἰς ἐπικουρίαν οὐ δεῖται, ὑμνοῦσαν δὲ ἀποδέχεται, καὶ ὑπερμαχοῦσαν ἀμείβεται, καὶ τὸ ψεῦδος ἐλέγχουσαν στεφανοῖ ἀλλ' ἵνα καὶ τὴν περὶ αὐτὸν εὔνοιαν δείξωμεν, καὶ τῶν ὁμοδούλων τὸ θράσος, εἰ μὲν δυνατόν, καταλύσωμεν, εἰ δὲ μή, διελέγξωμεν γοῦν, καὶ δῆλον τοῖς ἀγνοοῦσι ποιήσωμεν. Πολλὰ μὲν οὖν καὶ παντοδαπὰ τῶν δυσσεβεῖν αἱρουμένων τὰ ξίφη, καὶ διάφορα τῆς βλασφημίας τὰ βέλη, πολυειδὲς γὰρ καὶ ποικίλον τὸ ψεῦδος, ἁπλῆ δὲ τῆς ἀληθείας ἡ χάρις. Ἡ μὲν γὰρ ποιητικὴ φάλαγξ, πολλὰ τὸ θεῖον τοῦ λόγου καταμερίσασα, καὶ τὸ ψεῦδος τοῦ τερπνοῦ τοῦ μυθώδους κεράσασα, καὶ οἷόν τινα κυκεῶνα κατασκευάσασα, τῆς πολυθέου πλάνης τοῖς ἀνθρώποις τὴν μέ-

θην

θεῖον προσενήνεγκον. Ἡ δὲ ἐν τρίβωνι λευκῷ, καὶ πώγωνι μακρῷ, καὶ κόμῃ κεφαλῆς τὴν φιλοσοφίαν δεικνυμένη, τῆς ποιητικῆς θεολογίας τὸ καταγέλαστον ὁρῶσα, ἑτέρας πλάνης ἐπινοήσασα ἀτραπούς, εἰς αὐτὸ τὸ ποιητικὸν ἐκεῖνο βάραθρον ἀπήγαγεν· οἱ μὲν γὰρ, τῇ κομψείᾳ τοῦ λόγου, καὶ τῇ τῶν ἐνθυμημάτων δεινότητι, τὴν ποιητικὴν περὶ τῶν Θεῶν αἰσχρολογίαν ἐκάλυψαν· οἱ δὲ, τοῖς πάθεσι τὴν θείαν προσηγορίαν ἀνέθεσαν· καὶ τὴν μὲν ἡδονὴν, Ἀφροδίτην ὠνόμασαν· Ἄρεα δὲ, τὸν θυμόν· τὴν δὲ μέθην, Διόνυσον· Ἑρμῆν δὲ, τὴν κλοπήν· τὴν δὲ φρόνησιν, Ἀθηνᾶν. καὶ τοιαῦτά τινα μετ' ἀλαζονικῆς ὀφρύος, καὶ τῆς Ἀττικῆς στωμυλίας τερατευόμενοι, τοὺς πολλοὺς τῶν ἀνθρώπων εἰς ἕτερον εἶδος ἀπάτης μετήγαγον. καὶ οἱ τὸ φιλοσοφεῖν ὑπισχνούμενοι, καὶ τὴν ἀπὸ τοῦ σχήματος τιμὴν παρὰ πάντων δρεπόμενοι, καὶ τῶν παθῶν κρατεῖν ἐπαγγελλόμενοι, προσκυνεῖν τὰ πάθη τοὺς ἀνθρώπους ἐποίησαν, καὶ τὸν Αὐτοκράτορα Νοῦν τῶν παθῶν ἡνίοχον, θύειν ἐπιθυμίᾳ καὶ θυμῷ, καὶ κλοπῇ, καὶ μέθῃ, καὶ τοῖς ἄλλοις πάθεσιν ἀνοήτως πεπείκασιν. Ἄλλοι δὲ πάλιν οὐδὲν ὑπὲρ τὰ ὁρώμενα νοῆσαι δυνηθέντες, ἀλλὰ τοῖς αἰσθητοῖς τὸν νοῦν ἐγκαθείρξαντες, καὶ τοῖς ὀφθαλμοῖς εἰς θεωρίαν προσκείμενοι, Θεοὺς προσηγόρευσαν, καὶ τὸ σεπτὸν ὄνομα, καὶ φρίκην ἐμποιοῦν τοῖς ἀκούουσι, οἱ μὲν τοῖς στοιχείοις, οἱ δὲ μέρεσι τούτων ἐπέθεσαν. καὶ οἱ μὲν, ἀπὸ ταυτομάτου γεγενῆσθαι τὸν Κόσμον· οἱ δὲ, πολλοὺς ἀνθ' ἑνὸς ἐφαντάσθησαν. καὶ οἱ μὲν, μὴ δὲ εἶναι παντελῶς τὸ θεῖον· οἱ δὲ, εἶναι μὲν, οὐδενὸς δὲ τῶν ὄντων ἐπιμελεῖσθαι· οἱ δὲ, ἐπιμελεῖσθαι μὲν ἔφασαν, σμικρολόγως δὲ τοῦτο ποιεῖν, καὶ τῇ Σελήνῃ περιορίζειν τὴν πρόνοιαν, τὸ δὲ λοιπὸν τοῦ Κόσμου μέρος, ὡς ἔτυχε, φέρεσθαι, τῇ τῆς εἱμαρμένης ἀνάγκῃ δουλεύειν ἠναγκασμένον. Εἰσὶ δέ τινες, οἳ καὶ Χριστιανῶν μὲν προσηγορίαν ἔχουσιν, ἄντικρυς δὲ τοῖς τῆς ἀληθείας δόγμασι πολεμοῦσιν. οἱ μὲν γὰρ τὸ ἀγέννητον, εἰς τρία τέμνουσι. καὶ

τὸ

τὸ μὲν, καλοῦσιν ἀγαθόν· τὸ δὲ, κακόν· τὸ δὲ, δίκαιον. οἱ
δὲ, δύο ἀρχὰς ἀγεννήτους ζωγραφοῦσι τῷ λόγῳ, ἀλλήλαις ἐναν-
τίας ἐκ διαμέτρου. ἄλλοι δὲ, τοῖς μὲν ἀσεβέσι τούτοις πολεμεῖν
ἐπαγγέλλονται δόγμασιν, ἑτέραν δὲ δυσσεβείας ἐπινοοῦσιν
ὁδόν. τὸν γὰρ Μονογενῆ τοῦ Θεοῦ Λόγον, ὁμολογοῦντες Υἱὸν, ὡς
Ποίημα τῇ κτίσει συναριθμοῦσι, καὶ τὸν κτίστην ἰσοῦσι μετὰ τῆς
κτίσεως. καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τῷ δυσσεβεῖ λόγῳ τῆς ἀ-
ληθινῆς ἐξορίζουσι φύσεως. ἄλλοι δὲ ἄλλως τὴν εὐθεῖαν ὁδὸν
ἀπολέσαντες, καὶ τοῖς τῶν προωδευκότων ἴχνεσιν ἀκολουθῆσαι
μὴ βουληθέντες, πόῤῥω που τῆς ἀληθείας ἐγένοντο. καὶ οἱ μὲν,
τὴν ὑπὲρ ἡμῶν γεγενημένην οἰκονομίαν παντελῶς ἀπηρνήσαν-
το· οἱ δὲ, ὁμολογοῦσι μὲν ἐνανθρωπῆσαι τὸν Θεὸν Λό-
γον, σῶμα δὲ μόνον ἀνειληφέναι. οἱ δὲ, ἔμψυχον μὲν καλοῦ-
σι τὴν ληφθεῖσαν σάρκα, οὐ τὴν λογικὴν δὲ καὶ νοερὰν ἐν ταύ-
τῃ γεγενῆσθαι ψυχὴν, ἴσως τὴν οἰκείαν ἄνοιαν τούτου τεκμήριον
ἔχοντες. ἡμεῖς δὲ ἀνθρώπου ψυχὴν οὐδεμίαν ἴσμεν ἑτέραν,
ἢ τὴν λογικὴν, καὶ ἀθάνατον. ἀλλὰ τοὺς μὲν ἄλλους, ἅπαν-
τας ἐπὶ τοῦ παρόντος καταλίπωμεν· οὐ γὰρ δύναται καθ᾽ ἁπάν-
των ὁ λόγος κατὰ ταυτὸν ἀφιέναι τῶν ἐλέγχων τὰ βέλη ὡς ἐν πα-
ρατάξει. τοιγαροῦν τὰ μὲν ἄλλα πάντα στίφη τῶν δυσσεβῶν ἡ-
συχίαν ἀγέτω, τῶν δὲ τῇ τοῦ Θεοῦ Προνοίᾳ πολεμούντων εἰς μέ-
σον ἀγαγόντες τὴν φάλαγγα, ῥίξωμέν τε αὐτὴν τοῖς ἐλέγ-
χοις, καὶ διασπάσωμεν, καὶ τὴν πυκνότητα διαλύσωμεν, καὶ δο-
ρυαλώτους ἀγάγωμεν, καὶ ἑλκύσωμεν πᾶν νόημα εἰς τὴν ὑπα-
κοὴν τοῦ Χριστοῦ. ὁ δὲ λοιπὸς τῶν δυσσεβούντων ὅμιλος, θεω-
ρῶν τάξιν ἐχέτω, καὶ τὸν ἀγῶνα θεάσθω· εἰκὸς γὰρ κἀκείνων
ἕκαστον τῶν ταγμάτων, συμπλοκῆς ἰδίας μὴ δεηθῆναι, ἀλλ᾽
αὐτομολῆσαι πρὸς τὴν ἀλήθειαν, τὴν τούτων ἧτταν θεασαμέ-
νους, καὶ λογισαμένους τῆς ἀληθείας τὴν δύναμιν. Ἀλλὰ γὰρ
ἴσως μέλλων ὁ λόγος, καὶ σχολαιότερον ὁδεύων, ἀποκναίσει καὶ
τοὺς νῦν ἀκροωμένους, καὶ τοὺς ὕστερον ἐντευξομένους, προσθέμενοι

τοιγαροῦν τὴν πανοπλίαν τοῦ Πνεύματος, τὸν θώρακα τῆς δικαιοσύνης, τὸν θυρεὸν τῆς Πίστεως, τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ περιζωσάμενοι τὴν ὀσφὺν ἐν ἀληθείᾳ, καὶ ὑποδυσάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἐπὶ πᾶσιν ἀναλαβόντες τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, τῶν ἀγώνων ἐφαψώμεθα· καὶ ὑπηχείτω μοι ἡ θεία σάλπιγξ, τὴν ἡμετέραν ἀσθένειαν ὑπερείδουσα. ἡμεῖς δὲ ἐξ αὐτῆς τῆς βαλβῖδος τῶν ἀντιπάλων πυθώμεθα, τί δή ποτε τῷ τῆς Προνοίας ἀντιλέγουσι λόγῳ, καὶ ταῦτα Ποιητὴν αὐτὸν εἶναι φάσκοντες; πρὸς γὰρ τούτους ἡμῖν ὁ λόγος ἐπὶ τοῦ παρόντος γινέσθω. πόθεν ἐπὶ ταύτην ὡρμήθητε τὴν ἀσέβειαν; τί τῶν ὁρωμένων ὑμῖν ἀκόσμιον διαφαίνεται; τί τῶν γινομένων ἄτακτον καθορᾶται; ποῖον τῆς κτίσεως μέρος ἐνδεὲς ἁρμονίας; ποῖον κάλλους, ἢ μεγέθους ὑστερεῖται; ποῖον οὐκ ἐναρμονίως κινούμενον, ταύτην ὑμῖν ἐγέννησε τὴν ἀσέβειαν; ἐπισκέψασθε νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, τῶν ὁρωμένων τὴν φύσιν, τὴν θέσιν, τὴν τάξιν, τὴν στάσιν, τὴν κίνησιν, τὸν ῥυθμόν, τὴν ἁρμονίαν, τὴν ὥραν, τὸ κάλλος, τὸ μέγεθος, τὴν χρείαν, τὴν τέρψιν, τὴν ποικιλίαν, τὴν ἀλλοίωσιν, τὴν εἰς τὸ αὐτὸ πάλιν ἐπάνοδον, τὴν ἐν φθαρτοῖς διαμονήν. βλέπετε αὐτὴν τοῦ Θεοῦ τὴν Πρόνοιαν, δι᾽ ἑκάστου μορίου τῆς κτίσεως διακύπτουσαν, καὶ φαινομένην, καὶ φθεγγομένην; καὶ δι᾽ αὐτῶν τῶν πραγμάτων μονονουχὶ βοῶσαν, καὶ τὰ ἀθύρωτα ὑμῶν ἐπιστομίζουσαν στόματα, καὶ τὰς ἀχαλινώτους ὑμῶν χαλινοῦσαν γλώττας. βλέπετε αὐτὴν ἐν Οὐρανῷ, καὶ τοῖς κατ᾽ Οὐρανὸν φωστῆρσιν, Ἡλίῳ φημί, καὶ Σελήνῃ, καὶ Ἄστρασιν, ἐν ἀέρι, καὶ ἐν νέφεσιν, ἐν γῇ καὶ ἐν θαλάσσῃ, καὶ τοῖς περὶ γῆν ἅπασιν, ἐν φυτοῖς καὶ βοτάναις καὶ σπέρμασιν, ἐν ζώοις λογικοῖς, καὶ ἀλόγοις, πεζοῖς καὶ πτηνοῖς, καὶ νηκτοῖς, καὶ ἑρπετοῖς, καὶ ἀμφιβίοις, ἡμέροις τε καὶ ἀγρίοις, χειροήθεσί τε καὶ ἀτιθασσεύτοις. σκοπήσατε παρ᾽ ὑμῖν αὐτοῖς, τίς ὁ συνέχων τὰς οὐρανίους ἁψῖδας· πῶς ἐν τοσαύ-

ταύταις ἐτῶν χιλιάσιν ἀγήρως ἔμεινεν ὁ Οὐρανός, οὐδεμίαν μεταβολὴν ἐκ τοῦ χρόνου δεξάμενος, καὶ ταῦτα παθητὴν ἔχων τὴν φύσιν, ὡς ὁ μακάριος διδάσκει Δαβίδ. αὐτοί, φησιν, ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. ἀλλ᾽ ὅμως καὶ παθητὴν ἔχων καὶ φθαρτὴν τὴν οὐσίαν, ἔμεινεν οἷός περ ἦν, τῷ τοῦ πεποιηκότος κατεχόμενος λόγῳ. ὁ γὰρ δημιουργήσας αὐτὸν Λόγος, συνέχει, καὶ τὸ σταθερὸν αὐτῷ καὶ ἑδραῖον μέχρις οὗ ἐθέλῃ χαρίζεται. τούτου χάριν τοσούτου περὶ αὐτὸν πυρὸς ὀχουμένου, Ἡλίου φημί, καὶ Σελήνης, καὶ τῶν ἄλλων φωστήρων ἐν τοσαύτοις ἐνιαυτῶν κύκλοις, οὐ τήκεται, οὐ ξηραίνεται, οὐκ ἐμπίπραται. ταύτας γὰρ τοῦ πυρὸς ἡ φύσις τὰς ἐνεργείας ὑπὸ τοῦ πεποιηκότος ἐδέξατο. χρυσὸν μὲν γάρ, καὶ ἄργυρον, καὶ σίδηρον, καὶ χαλκόν, καὶ μόλιβδον, καὶ κασσίτερον, καὶ κηρόν, καὶ πίσσαν, καὶ ὅσα τοιαῦτα, τήκει, καὶ διαλύει, καὶ εἰς τὴν ῥοώδη μεταφέρει φύσιν· πηλὸν δὲ καὶ τὰ τελματώδη τῶν ὑδάτων ξηραίνει, τὸ ὑγρὸν δαπανῶσα· λίθους δὲ ἕψει, καὶ τὸ στερέμνιον αὐτῶν ἀφαιρεῖται, καὶ τὴν στερροτάτην φύσιν ἀποδείκνυσι κόνιν. ξύλα δέ, καὶ χόρτον, καὶ κάλαμον μάλα ῥᾳδίως ἐμπίπρησιν. ἀλλ᾽ οὐδὲν τούτων ὁ Οὐρανὸς ὑπομένει. οὐ τήκει γὰρ αὐτοῦ τὸ κρυσταλλῶδες τοσαύτη οὖσα τοῦ πυρὸς ἡ οὐσία, οὐδὲ λυμαίνεται τῇ λειότητι, οὐδὲ χαλαρὸν ποιεῖ τὸ σφαιροειδὲς αὐτοῦ σχῆμα, ἀλλ᾽ ἣν ἐξ ἀρχῆς ἔλαχε στάσιν, ταύτην εἰς τέλος διαφυλάττει. ὁ γὰρ στήσας αὐτὸν ὡσεὶ καμάραν, καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖσθαι, τὰς ἐναντίας φύσεις εἰς φιλίαν συνήγαγε. καὶ οὔτε τοῦ πυρὸς ἡ φύσις ὑπὸ τοῦ πλήθους σβέννυται τῶν ὑδάτων, οὔτε τὸ κρυσταλλῶδες, ἢ ἀερῶδες, ἢ νεφελῶδες οὐράνιον σῶμα, τῇ τοῦ πυρὸς οὐσίᾳ πλείστῃ οὔσῃ, τήκεταί τε καὶ φθείρεται· ἀλλ᾽ ἐκ γειτόνων ἀλλήλοιν οἰκοῦντες, τὰς πολεμικὰς κρύπτουσιν ἐνεργείας, καὶ τῷ τοῦ πεποιηκότος λόγῳ πειθοῦντες, τὴν δι᾽ αἰῶνος φιλίαν

ἀσπά-

ὑπεσείσαντο· καὶ ταῦτα ἄψυχα ὄντα καὶ νῦν κυβερνήτην μὴ ἔχοντα, ἀλλ᾽ ὅμως μένει τὸν ἐξ ἀρχῆς ὅρον φυλάττοντα. κυβερνᾷ γὰρ τὴν κτίσιν ὁ Ποιητὴς, καὶ οὐ κατέλιπεν ἀκυβέρνητον, ὅπερ πεποίηκε σκάφος, ἀλλ᾽ αὐτὸς ὢν καὶ ναυπηγὸς, καὶ τῆς ὕλης φυτουργὸς, καὶ κατὰ ταυτὸν τήν τε ὕλην δημιουργήσας, καὶ τὸ σκάφος ὑφήνας, κατέχων διευθύνει τὰ πηδάλια. καὶ μαρτυρεῖ τῶν τοσούτων ἐνιαυτῶν ὁ κύκλος, καὶ ὁ μακρότατος χρόνος, μὴ διαφθείρας τὸ σκάφος· σῶον δὲ αὐτὸ καὶ ἀκραιφνὲς οὐ μόνον τοῖς πρώτοις, ἀλλὰ καὶ τοῖς ὀψιγόνοις ἐπιδεικνύς. Ἐπειδὴ τοίνυν εἶδες, ὦ φίλος, ἐν Οὐρανῷ τὴν τοῦ Θεοῦ Πρόνοιαν φαινομένην, φέρε σε ξεναγήσωμεν ἐπὶ τὰ λοιπὰ τῆς κτίσεως μέρη. καὶ καθάπερ τὰ βρέφη τὰ πρῶτον τοῦ βαδίζειν ἀρξάμενα, τῆς δεξιᾶς συλλαβόμενοι, κατὰ βραχὺ τὴν κτίσιν περινοστῆσαι παρασκευάσωμεν. κατάβηθι τοίνυν ἀπὸ τῶν Οὐρανῶν, οἷον εἴς τινα βαθμὸν πρῶτον τὸν Ἥλιον, καὶ μὴ δείσῃς τὸν ἐμπρησμὸν, ἀλλ᾽ ἐπίβηθι, καὶ περισκόπησον. οὐ γὰρ ἐμπρήσει σε ἀγνωμόνως περὶ τὸν Ποιητὴν διακείμενον, ἀλλ᾽ ὑποδείξει σοι τὸν Δημιουργὸν, ἐναντίως κεχρῆσθαι τῇ τῆς φύσεως ἐνεργείᾳ κελεύοντα. φιλεῖ μὲν γὰρ τὸ πῦρ κατὰ φύσιν τὴν ἐπὶ τὰ ἄνω φορὰν, ὥσπερ τὸ ὕδωρ τὸν ἐπὶ τὸ πρανὲς δρόμον, καὶ οὔτε τοῦτο ἐξ ὑπωρείας εἰς ἀκρώρειαν ἀναγαγεῖν δυνατὸν, οὔτε ἐκεῖνο πεῖσαι κάτω πέμψαι τὴν φλόγα. ἀλλὰ κἂν μυριάκις τις φιλονεικήσῃ, λαμπάδα κατέχων ἢ δᾷδα, κάτω ταύτην μετενεγκεῖν τῇ χειρὶ, ἡ φλὸξ ἐπὶ τὰ ἄνω πάλιν χωρεῖ, καὶ κατὰ τῆς κατεχούσης ἄττει χειρὸς, καὶ ἣν ἔλαβον ἐξ ἀρχῆς ὁρμὴν οὐκ ἐᾷ, ἀλλ᾽ ἐπὶ τὸν ὅρον τῆς φύσεως ἕστηκε· τῷ δὲ Ποιητῇ πάντα ῥᾴδια. τὸ γὰρ τῇ σῇ μὴ πειθόμενον δεξιᾷ, τοῖς τοῦ δημιουργοῦ νεύμασιν εἴκει. καὶ ἔστιν ἰδεῖν, Ἥλιον, καὶ Σελήνην, καὶ τὸν τῶν Ἀστέρων χορὸν, τῷ μὲν Οὐρανῷ τὰ νῶτα διδόντας, κάτω δὲ τὰς ἀκτῖνας ἀφιέντας· δοῦλα γὰρ ἐστι τοῦ κεκτηκότος, καὶ φύσις αὐτοῖς ὁ τοῦ ποιήσαντος ὅρος. σοὶ μὲν γὰρ οὐ πείθεται τοῦ πυρὸς ἡ φύσις, οὐδὲ τῆς οἰκείας ἐνεργείας

ἐξί-

ἐξίσταται, ὁμόδουλος γὰρ ὑπάρχει· τοῖς δὲ τοῦ Ποιητοῦ νεύμασι πειθομένη, μεταρρυθμίζεται, καὶ κατωφερὴς ἡ ἀνωφερὴς γίγνεται φύσει. οὕτω τὴν ὑδάτων τὴν φύσιν ῥοώδη τε καὶ χαύνην οὖσαν, ἄγει καὶ φέρει μετέωρον, καὶ κάτωθεν ἀνέλκων, μέσην οὐρανοῦ καὶ γῆς ἵστησιν, ἐπ' οὐδενὸς ἐρηρεισμένην, ἀλλὰ λόγῳ μόνῳ ἠωρημένην καὶ κρεμαμένην. ἀλλὰ τέως περὶ τῶν νεφῶν μηδὲν ἀκοῦσαι ποθήσῃς, μηδὲ δραμεῖν ἐθελήσῃς, οὐδέπω βαδίζειν μεμαθηκώς, ἀλλὰ κατὰ βραχὺ τὴν κτίσιν ὁδεύων, μάθε τῆς εὐσεβείας τὸν δρόμον. βλέπε τοιγαροῦν κἀνταῦθα τοῦ Θεοῦ τὴν Πρόνοιαν, ἐφεστῶσαν Ἡλίῳ καὶ Σελήνῃ καὶ τοῖς ἄλλοις φωστῆρσι, καὶ οἱονεί τινι φωνῇ παρακελευομένην δᾳδουχεῖν τοῖς ἀνθρώποις, καὶ οὐχ ἁπλῶς δᾳδουχεῖν, ἀλλὰ καὶ χρόνον διανομήν. ἀνίσχων μὲν γὰρ ὁ Ἥλιος, τὴν ἡμέραν ποιεῖ, δυόμενος δὲ καὶ οἱονεὶ κρυπτόμενος, παραχωρεῖ τῇ νυκτί, ἧς τὸ ζοφῶδες, διὰ Σελήνης καὶ ἀστέρων ὁ Δημιουργὸς κεραννύσι. καὶ ἔστιν ἰδεῖν οἱονεί τινας ἀδελφάς, τὴν ἡμέραν φημὶ καὶ τὴν νύκτα, παρ' ἀλλήλων δανειζομένας εἰς χρείαν ἀνθρώπων τὸν χρόνον, καὶ πάλιν εὐγνωμόνως ἀποδιδούσας. τοῦ μὲν γὰρ χειμῶνος λήγοντος, καὶ τοῦ ἔαρος ὑπολάμποντος, ἡνίκα πλείους τῶν ἀνθρώπων οἱ περὶ τὴν ἐργασίαν πόνοι, ὁδοιπορίαι τε, καὶ ἐκδημίαι, καὶ ἀπὸ λιμένων ἀναγωγαί, καὶ θάλαττα ἐστορεσμένη, καὶ τῆς χειμερινῆς ἀπηλλαγμένη τραχύτητος, καὶ ἡ γῆ τοῖς λητοις κομῶσα τὸν γηπόνον εἰς ἐπιμέλειαν καλεῖ, καὶ τὰ φυτὰ τὸν φυτουργὸν εἰς τομὴν καὶ κάθαρσιν καὶ ἄρδειαν καὶ τὴν διὰ σκαπάνης ἐπιμέλειαν, τηνικαῦτα δανείζεται παρὰ τῆς νυκτὸς ἡ ἡμέρα, αὔξουσα τοῖς ἀνθρώποις τὸν τῆς ἐργασίας καιρόν. κατὰ βραχὺ δὲ κομίζεται, ἵνα μὴ τῷ ἀθρόῳ τοῖς χρωμένοις λυμήνηται. πλείων γὰρ ἐξαίφνης ὁ πόνος γιγνόμενος, λωβᾶται λίαν τοῖς ἀργοῖς ἐπὶ πλεῖστον διαμείνασι σώμασι, τούτου χάριν κατὰ βραχὺ προσλαμβάνει τὴν αὔξησιν. τοῦ δὲ θέρους ἤδη μεσοῦντος, παύεται μὲν δανειζομένη, παραυτίκα δὲ τῆς ἐκτίσεως ἅπτεται, οὐδεμίαν

ἡμέ-

ἡμέραν ἀναβαλλομένη τὴν ἔκτισιν, καὶ βραχὺ δὲ ὅμως, καθάπερ ἔλαβεν, ἀποδίδωσιν ὅπερ ἔλαβεν· εἶτα καὶ τὸ μικρὸν ἰσομεγέθης γιγνομένη, οὐκ αἰσχύνεται μειουμένη, οὐδὲ πλεονεκτεῖν ἀνέχεται τὴν ὁμόζυγον· ἀλλ᾽ ἕως οὗ ἅπαν ἐκτίσῃ τὸ ὄφλημα, οὐ παύεται λήγουσα, καὶ τοῖς ἀνθρώποις μακρὰν πραγματευομένη τὴν θεραπείαν. οἴκοι γὰρ μένειν κρυμοῦ χάριν, καὶ ὑετοῦ, καὶ πηλοῦ, καὶ τελμάτων ἀναγκαζόμενοι, θυμηρεστέραν ἔχομεν τῆς ἡμέρας τὴν νύκτα. εἰσὶ δὲ καὶ οἵ, μακρᾶς οὔπω τῆς νυκτὸς γιγνομένης, τῆς ἀναπαύλης οὐ λαμβάνουσι κόρον, ἀλλὰ τὸν ὄρθρον βλέποντες ὑπολάμποντα, δυσχεραίνουσι. οὕτω πάλιν ἡ νὺξ ἀπολαβοῦσα τὸ χρέος, τῷ παραινεῖται τὸ δάνεισμα. οὕτως ἅπας ἡμῶν ὁ βίος, διὰ τύπον ὁδεύει, καὶ χρείαν οὐκ ἐλάττω τῆς ἡμέρας ἡ νὺξ τοῖς ἀνθρώποις παρέχει. πρῶτον μὲν γὰρ τοῦ σκότους, καὶ τοῦ φωτὸς τὸ διάφορον, τερπνότερον ἡμῖν καὶ χαριέστερον τὸ φῶς ὑποδείκνυσι. διὸ ποθεινότερος ἡμῖν τῆς μεσημβρίας ὁ ὄρθρος. κόρον γὰρ τοῦ φωτὸς μεθημέραν λαμβάνοντες, τῆς νυκτερινῆς ἀναπαύλης δεόμεθα. εἶτα ταύτης τυχόντες, τὸν μὲν κόρον ἀποτιθέμεθα, ἐπέραστον δὲ ἡμῖν αὖθις γίνεται τὸ φῶς. οὕτω καὶ τῶν πόνων κερεννύμενοι, μεθημέραν κοπτόμενον τὸ σῶμα, νύκτωρ διαναπαυόμενοι. καὶ κλίνῃ, καὶ ὕπνῳ, καὶ ἡσυχίᾳ τοῦτο καλῶς θεραπεύσαντες, αὖθις αὐτὸ νέον τοῖς ἔργοις ὑπὸ τὴν ἕω προσφέρομεν. τοσαύτην ἡμῖν καὶ τοιαύτην ἡ νὺξ παρέχει τὴν χρείαν. διὰ ταύτην, καὶ μισθωτὸς ἀναπαύεται, καὶ οἰκέτης παῦλαν λαμβάνει τῶν πόνων. παύει γὰρ καὶ τοὺς λίαν φιλοπονωτάτους τῆς ἐργασίας τῆς νυκτὸς τὸ ζοφῶδες. ταύτην ᾐδέσθησαν πολλάκις καὶ πολεμοῦντες ἄνθρωποι, καὶ νικῶντες, καὶ τοὺς ἀντιπάλους διώκοντες, καὶ θεασάμενοι προσγενομένην, τοῦ μὲν διώκειν ἐπαύσαντο, χαλεπώτερον δὲ φεύγειν τοὺς δραπετεύσαντας, εἴασαν. αὕτη, τοὺς μὲν ἀνθρώπους οἴκαδε συνάγει, καὶ γλυκὺν αὐτοῖς ἐπιφέρει τὸν ὕπνον, ἐξάγει δὲ πρὸς νομὴν τὰ θηρία, καὶ

παρ-

παῤῥησίαν αὐτοῖς τοῦ νέμεσθαι δίδωσιν. ἐπὶ τούτοις ὑμνῶν τὸν τῶν ὅλων Θεὸν, ὁ μέγας ἐβόα Δαβίδ· Ἐποίησε Σελήνην εἰς καιροὺς, ὁ Ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ, ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσεται πάντα τὰ θηρία τοῦ δρυμοῦ, σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. ἀνέτειλεν ὁ Ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιταθήσονται. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. ὥστε καὶ ταύτην παρέχει τὴν χρείαν ἡ νὺξ, καὶ τοὺς ἀνθρώπους ἀναπαύουσα, ἀδεῶς τε τὴν τροφὴν παρέχει τοῖς θηρίοις πορίζεσθαι. καὶ ἴσως αὖτις εἴποι τῶν τὴν Πρόνοιαν ἀρνουμένων, τί δήποτε γὰρ ἐδημιουργήθη θηρία; ποίαν δὲ τοῖς ἀνθρώποις χρείαν πληροῖ; ἀλλὰ τὴν περὶ τούτων ἀπολογίαν, ἐν τῷ περὶ τῶν θηρίων ἀναμενέτω λόγῳ· τέως δὲ ὁ λόγος ὁδῷ βαδιζέτω. Ὅτι τοίνυν ἀναγκαία, καὶ λίαν τοῖς ἀνθρώποις ὠφέλιμος τῆς νυκτὸς ἡ χρεία, ἀπόχρη μὲν ὡς οἶμαι καὶ τὰ εἰρημένα διδάξαι, προσθήσει δὲ ὅμως ὁ λόγος ἕτερα, τοῖς προτέροις συμμαρτυροῦντα. ἐπειδὴ γὰρ θνητὴν ἔχομεν τὴν φύσιν, καὶ περιωρισμένην ζῶμεν ζωὴν, ἔδει ἡμᾶς μαθεῖν καὶ τοῦ χρόνου τὰ μέτρα. νὺξ τοιγαροῦν μέση τῶν ἡμερῶν γιγνομένη, μετρεῖσθαι τὸν χρόνον ποιεῖ. εἰ γὰρ ἀδιάδοχον μεμενήκει τὸ φῶς, οὐκ ἂν ἐνιαυτῶν μεμαθήκαμεν κύκλους, οὐκ ἂν μηνῶν ἐδιδάχθημεν ἀριθμὸν, μία δὲ ἂν ἔδοξεν ἡμέρα παντὸς εἶναι τοῦ παρόντος αἰῶνος τὸ μέτρον, ὥσπερ ἕξειν τὸν προσδοκώμενον αἰῶνα πιστεύομεν. ἀνέσπερον γὰρ τὴν ἡμέραν ἐκείνην καὶ παντελῶς ἀδιάδοχον ἔσεσθαι δεδιδάγμεθα· τοιοῦτος γὰρ τοῖς ἀθανάτοις ἐσομένοις, καὶ ὁ αἰὼν ἁρμόττει. ἐπὶ δὲ τοῦ παρόντος πολλῶν ἐνδεεῖς ὄντας διὰ τὸ τῆς φύσεως θνητὸν καὶ ἐπίκηρον, ἔδει τοῦ χρόνου τὰ μέτρα γινώσκειν, ἵνα παραθέοντα τοῦτον ἡμᾶς ὁρῶντες, ἡμῶν αὐτῶν ἐπιμελώμεθα, καὶ πρὸς τὴν ἀποδημίαν ἑτοίμους παρέχωμεν. διαδεχομένη τοιγαροῦν ἡ νὺξ τὴν ἡμέ-

ρον, μεῖζον γίνεται τῷ χρόνῳ. καὶ τοῦτο ἑπτάκις γιγνόμενον, τὴν ἑβδομάδα ποιεῖ. Τοῦ δὲ μηνὸς, ἐκ τῆς Σελήνης τὸ μέτρον λαμβάνομεν. ἐντεῦθεν γὰρ καὶ τῆς προσηγορίας μετέλαχεν, Μήνην γὰρ ὀνομάζουσι τὴν Σελήνην. αὕτη γὰρ αὐξουμένη καὶ φθίνουσα, καὶ μηνοειδὴς γιγνομένη, καὶ διχότομος, ἀμφίκυρτός τε καὶ πλησιφαὴς, καὶ πάλιν εἰς τὸ ἀμφίκυρτον μεταβαίνουσα σχῆμα, εἶτα ἐκεῖθεν εἰς τὸ διχότομον, καὶ εἰς τὸ μηνοειδὲς αὖθις, τὸν τῶν τριάκοντα ἡμερῶν ὀλίγων ὡρῶν δεόμενον ἀριθμὸν πληροῖ. Τὸν ἐνιαύσιον δὲ κύκλον, οὐκ ἐκ τῶν μηνῶν μόνων, ἀλλὰ καὶ ἐκ τῶν ἡμερῶν διδασκόμεθα. ἔαρος γὰρ ὑπολάμποντος, μέσον τὸν Οὐρανὸν ὁδεύων ὁ Ἥλιος, ἡμέρᾳ καὶ νυκτὶ τὴν ἰσότητα πραγματεύεται. ἐκεῖθεν τὰ βορειότερα τῶν ἑῴων καταλαμβάνων, κἀκεῖθεν ἀνίσχων, σμικρύνει μὲν τὰς νύκτας, αὔξει δὲ τὰς ἡμέρας. θερμότερος δὲ τῇ γῇ προσβάλλων, τοὺς ταύτης πεπαίνει καρπούς. μέχρι δὲ τῶν εἰωθότων ὅρων ὁδεύσας, ἐπανέρχεται ἀπὸ τῶν ἀρκτῴων ἐπὶ τὰ νότια. καὶ πάλιν ἐν τῷ μετοπώρῳ νυκτὶ καὶ ἡμέρᾳ τὴν ἰσότητα πρυτανεύσας, νοτιώτερος γίνεται, καὶ ταῖς μὲν νυξὶν ἀποδίδωσιν, ἃ παρ' αὐτῶν λαβὼν δέδωκε ταῖς ἡμέραις, παραχωρεῖ δὲ τῷ ἀέρι πυκνοῦσθαι, καὶ νεφῶν πληροῦσθαι, καὶ πᾶσαν ἄρδειν τὴν ἤπειρον. ἐκεῖθεν ἐπὶ τὴν ἰσημερινὴν ἐπανιὼν ζώνην, πληροῖ τὸν ἐνιαύσιον κύκλον. Ἐπειδὴ τοίνυν εἶδες Ἡλίου καὶ Σελήνης τὴν χρείαν, καὶ νυκτὸς καὶ ἡμέρας τὰς ἰσομέτρους διαδοχὰς, καὶ τὴν ἐντεῦθεν τοῖς ἀνθρώποις προσφερομένην ὠφέλειαν, βλέπε μοι καὶ τῶν ὡρῶν τοῦ ἔτους τὴν τερπνοτάτην καὶ χρειωδεστάτην χορείαν. οὔτε γὰρ διχῇ τὸν ἐνιαύσιον κύκλον ἐμέρισεν ὁ Ποιητὴς, οὔτε θέρος ἡμῖν ἁπλῶς δέδωκε καὶ χειμῶνα, οὐδ' ἀπὸ τῶν ἄκρων ἀμέσως ἐπὶ τὰ ἄκρα μεταβαίνομεν, ἀλλὰ τὸ ἔαρ καὶ τὸ μετόπωρον μέσην λαχόντα τὴν κρᾶσιν, τοῦ κρυμοῦ καὶ τοῦ φλογμοῦ μέσα γίγνεται. Καὶ τὸν ἄκρως ὑγρὸν καὶ ψυχρὸν χειμῶνα, οὐ τὸ ἄκρως ξηρὸν, καὶ θερμὸν διαδέχεται θέρος,

ἀλλὰ

ἀλλὰ τὸ ἔαρ, ὃ καὶ τῆς τούτων μετέχοι θερμότητος, καὶ τῆς ἐκείνων ψυχρότητος, μίξιν ἀρίστην τῶν ἀφεστηκότων ἐργάζεται, καὶ οἱόν τισι χερσὶ τῶν ἐναντίων ἐπειλημμένον, τῇ μὲν ψυχρότητι τοῦ χειμῶνος, τῇ δὲ θερμότητι τοῦ θέρους, εἰς σύμβασιν ἄγει καὶ φιλίαν τὰ κομιδῇ πολέμια. διὰ τοῦτο ἀπὸ τοῦ χειμῶνος ἐπὶ τὸ θέρος ὁδεύοντες, ἀλύπως ὁδεύομεν· κατὰ βραχὺ γὰρ τῆς τούτου ψυχρότητος ἀφιστάμενοι, καὶ τῇ ἐκείνου θερμότητι πλησιάζοντες οὐδεμίαν βλάβην ἐκ τῆς ἀθρόας μεταβολῆς ὑφιστάμεθα. οὕτως ἀπὸ τοῦ θέρους ἐπὶ τὸν χειμῶνα μεταβαίνομεν, μέσου πάλιν τοῦ μετοπώρου γιγνομένου, οὐκ ἐῶντος ἡμᾶς εὐθὺς τοῖς ἄκρως ἐναντίοις προσψαῦσαι, ἀλλὰ κεραννύντος τὴν ἄκραν θερμότητα τῇ ἄκρᾳ ψυχρότητι, καὶ κρᾶσιν ἑτέραν ἐργαζομένου, καὶ κατὰ σμικρὸν ἡμᾶς ἐπ' ἐκεῖνο ξεναγοῦντος τὸ ἄκρον. Τοσαύτη περὶ ἡμᾶς ἡ τοῦ πεποιηκότος κηδεμονία. οὕτω κἀν ταῖς τῶν ὡρῶν μεταβολαῖς, οὐ μόνον ἡμῖν τὸ ἄλυπον, ἀλλὰ καὶ τὸ τερπνὸν πραγματεύεται. καὶ ἴσως αὖτις τῶν ἀχαρίστων τοῖς εὖ καὶ καλῶς γεγενημένοις, καὶ σοφῶς καὶ συμφερόντως οἰκονομουμένοις ἐπιμεμφόμενος εἴποι· τί δήποτε αἱ τροπαὶ γίγνονται; ποίαν δὲ χρείαν ἡμῖν αἱ τῶν ὡρῶν μεταβάσεις ποιοῦσι; ποίων δὲ ἀγαθῶν ὦ σοφώτατε καὶ δεινότατε τῆς Προνοίας κατήγορε, οὐ διὰ τούτων τυγχάνομεν; ἀρχομένου μὲν γὰρ χειμῶνος, σπέρματα καταβάλλομεν. ὁ δὲ ταύτην ἡμᾶς διδάξας τὴν τέχνην, τρέφει ταῦτα, ὕων ἐκ νεφῶν, καὶ τὸ θαλάττιον ὕδωρ ἀνέλκων τῷ λόγῳ, καὶ μετέωρον ἄγων, καὶ τὴν ἁλμυρὰν ἐκείνην εἰς γλυκεῖαν μεταβάλλων ποιότητα, καὶ τὰς ψεκάδας διακρίνων· καὶ νῦν μὲν σμικρὰς ἀφιείς, νῦν δὲ μεγάλας καὶ κρημνηδὸν φερομένας, καὶ οἱόν τινι κοσκίνῳ διαιρῶν τῶν νεφῶν τὰς ὠδῖνας. διὰ τοῦτο ἡ χειμέριος ὥρα, ἵνα σε τὸν ἀχάριστον διαθρέψῃ, ἵνα σοι τῷ ἀγνώμονι παράσχῃ τῶν ἀναγκαίων τὴν χρείαν. Ἔαρος δὲ πάλιν ἀρχομένου, οἱ μὲν τῶν γηπόνων, τέμνουσι τὰς ἀμπέλους, οἱ δὲ, ἑτέρας φυτεύουσι. χαυνούμεθα δὲ

τῇ τοῦ ἀέρος θερμότητι τὰ κλήματα, πρὸς ὠδῖνας ἐπείγεται. τοῦ δὲ θέρους ἀκμάζοντος, καὶ τοῦ Ἡλίου σφόδρα τὸν ἀέρα θερμαίνοντος, ὁ μὲν σῖτος εἰς ἀμητὸν τὸν γηπόνον καλεῖ, περκῶσι δὲ σταφυλαὶ, βρίθουσι δὲ ἐλαῖαι τοῦ καρποῦ ἐξογκούμεναι, πεπαίνεται δὲ τῶν ὀπωρῶν τὰ γένη. εἶτα μετόπωρον ἐπιγινόμενον, ταῦτα τελείως πέπονα τοῖς φυτηργοῖς παραδίδωσιν. οἱ δὲ, τὴν συλλογὴν ποιησάμενοι, πάλιν ἅπτονται τῶν σπερμάτων. παῦσαι τοίνυν ἀχαριστῶν, καὶ τοῖς τῆς Προνοίας δώροις, τὴν Πρόνοιαν ἐκβάλλειν ἐπιχειρῶν, καὶ τοῖς δοθεῖσιν ἀγαθοῖς, τὸν τούτων δοτῆρα τοξεύων. ἐν ἅπασι τοῖς εἰρημένοις τὴν τοῦ Θεοῦ κατάμαθε Πρόνοιαν, ἰθύνουσάν τε καὶ κυβερνῶσαν, καὶ πάντων σοι τῶν ἀγαθῶν πραγματευομένην τὴν ἀφθονίαν. βλέπε καὶ τῶν Ἀστέρων τὴν φύσιν, τὴν θέσιν, τὴν τάξιν, τὴν ποικιλίαν τῶν σχημάτων, τὴν τέρψιν, τὴν χρείαν, τὴν χορείαν, τὰς ἐπιτολὰς, τὰς δύσεις. τούτους ὁ τῶν ὅλων δημιουργὸς πεποίηκεν, οὐχ ἵνα μόνον τὸ ζοφῶδες τῆς νυκτὸς φωτίζωσι, καὶ ἐν ἀσελήνῳ νυκτὶ τοῦ φωτὸς τοῖς ἀνθρώποις τὴν χρείαν παρέχωσιν, ἀλλ' ἵνα καὶ ὁδίτην παραπέμπωσι, καὶ τοὺς πλέοντας ξεναγῶσιν. εἰς γὰρ τούτους ἀφορῶντες οἱ ναυτιλλόμενοι, τὴν ἀτριβῆ τρίβον ὁδεύουσι, καὶ τῇ τούτων θέσει προσέχοντες, τὸ σκάφος ἰθύνουσι, καὶ πρὸς οὓς ἂν ἐθέλωσιν ἀπευθύνουσι λιμένας. ἐπειδὴ γὰρ οὐ δέχεται τῶν ὑδάτων ἡ φύσις ἵππων καὶ ἡμιόνων καὶ ὁδοιπόρων ἴχνη, καὶ ἁμαξῶν, καὶ σχημάτων γραμμὰς, οἷς οἱ ὁδῖται προσέχοντες, ἀναμφιβόλως τὴν πορείαν ποιοῦνται, δέδωκε τῶν ὅλων ὁ Δεσπότης τοῖς τὰ μακρὰ πελάγη διαπερῶσιν, οἷον ἴχνη τινὰ τῶν θαλαττίων τρίβων, τὴν τῶν ἀστέρων τὴν θέσιν. ὢ τῆς ἀρρήτου φιλανθρωπίας. ὢ τῆς ἀφράστου σοφίας. τίς ἂν ἀξίως θαυμάσειε τῆς τοῦ Θεοῦ Προνοίας τὸ ἀγαθὸν, τὸ δυνατὸν, τὸ ἐν ἀπόροις εὔπορον, τὸ ἐν ἀμηχάνοις εὐμήχανον, τὴν μεγαλουργίαν, τὴν εὐπορίαν; ἀληθῶς ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύ-

νωμαι

γνωμαι πρὸς αὐτὴν, βοῶ κἀγώ. εἰ δὲ ἐμοὶ πείθοιο, ταύτην σὺν ἐμοὶ καὶ σὺ τὴν φωνὴν ἀφήσεις, καὶ τὸν Εὐεργέτην εἰς δύναμιν ὑμνήσεις, καὶ μυρίοις ἔργοις εὐεργετούμενος, λόγους εὐγνώμονας ἀποδώσεις. ἵνα δέ σε νῦν τοῦ βαδίζειν ἀρξάμενον, μὴ μακρὰν ὁδὸν ὁδεῦσαι παρασκευάσαντες, πόνον σοι προξενήσωμεν, ἐνταῦθά σε τέως διαναπαύσωμεν. καὶ τὴν ἐν Οὐρανῷ, καὶ τοῖς κατ' Οὐρανὸν φωστῆρσι Πρόνοιαν τοῦ Θεοῦ φαινομένην, θεωρεῖν καταλείψομεν. εἰκὸς γάρ σε ποδηγηθέντα, καὶ καθ' ἑαυτὸν τὴν θεωρίαν αὐξῆσαι, καὶ τὰ συντομίας χάριν ὑπὸ τοῦ λόγου καταλειφθέντα, ἐκ τῶν εἰρημένων εὑρεῖν, καὶ μετὰ τοῦ Προφήτου βοῆσαι. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. σοὶ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ. ΛΟΓΟΣ, β'.

Ἀποδεικτικὸς ἀπὸ ἀέρος, καὶ γῆς, καὶ θαλάττης, καὶ ποταμῶν, καὶ πηγῶν.

ΟἹ ταῖς τῆς Προνοίας ἡνίαις ἀπιστοῦντες, καὶ τὸν Οὐρανοῦ καὶ γῆς Κόσμον ἡνιόχου δίχα μετὰ τοσαύτης ἁρμονίας καὶ τάξεως φέρεσθαι λίαν ἀνοήτως ἰσχυριζόμενοι, ἐοικέναι μοι δοκοῦσιν, ὥσπερ εἴ τις ἐν νηῒ καθήμενος, καὶ τὸ πέλαγος διαπεραιούμενος, καὶ τὸν κυβερνήτην ὁρῶν τῶν οἰάκων ἐπειλημμένον, καὶ τὰ πηδάλια πρὸς τὴν χρείαν κινοῦντα, καὶ νῦν μὲν τὸ δεξιὸν φέροντα, νῦν δὲ τὸ εὐώνυμον μεταφέροντα, καὶ τὸ σκάφος πρὸς οὓς ἂν ἐθέλῃ λιμένας ἰθύνοντα, ἀρνοῖτο προφανῶς οὕτω ψευδόμενος, καὶ ἄντικρυς τῇ ἀληθείᾳ μαχόμενος· καὶ μήτε κυβερνήτην ἐπὶ πρύμνης ἑστάναι· μήτε πηδάλια τὸ σκάφος ἔχειν· μήτε τῇ κινήσει τῶν οἰάκων ἰθύνεσθαι, ἀλλ' αὐτόματον φέρεσθαι, καὶ τῆς τῶν κυμάτων περιγίνεσθαι ῥύμης, καὶ τῇ τῶν πνευμάτων ἐμβολῇ διαμάχεσθαι· καὶ μήτε ναυτῶν ἐπικούρων δεῖσθαι

μένῳ κυβερνήτῃ, τὸ κοινῇ συμφέρον τοῖς ἐρέταις προστάττοντος. ἐναργῶς γάρ εἰσι, καὶ λίαν προφανῶς τὸν ἁπάντων Δεσπότην ὁρῶντες τὴν ἑαυτοῦ κτίσιν ἰθύνοντα, καὶ πάντα ἐν ῥυθμῷ καὶ τάξει ἄγοντά τε καὶ φέροντα, καὶ τὴν ἁρμονίαν ἑκάστῳ τῶν γινομένων ἐμπρέπουσαν, κάλλος ὁμοῦ καὶ χρείαν ἐν ἁπάσῃ θεωροῦντες τῇ κτίσει, καὶ ἐν ἑκάστῳ δὲ μορίῳ ταύτης ἀμφότερα ταῦτα διαλάμποντα, ἑκόντες τυφλώττουσι, μᾶλλον δὲ ὁρῶντες ἀναισχυντοῦσι. καὶ τὰ δῶρα τῆς Προνοίας λαμβάνοντες, οἷς λαμβάνουσι λοιδοροῦνται, καὶ δι' ὧν ἀπολαύουσι, τῷ κηδεμόνι πολεμοῦσιν. ἤρκει μὲν οὖν, εἴπερ ἤθελον εὐγνωμόνως ἀκούειν, καὶ τὰ χθὲς εἰρημένα περὶ Οὐρανοῦ, καὶ Σελήνης, καὶ Ἡλίου, καὶ τῶν ἄλλων φωστήρων, πεῖσαι αὐτοὺς σωφρονεῖν, καὶ τὸν εὐεργέτην ὑμνεῖν. ἵνα δὲ μήτις τὸν τῆς Σελήνης ὅρον τῇ Προνοίᾳ τεθεικὼς, καὶ μέχρι ταύτης αὐτὴν διήκειν εἰρηκότων, καὶ λίαν αὐτὴν σμικρολόγον ἀποφηναμένων, ἐφόδιον εἰς βλασφημίαν λάβῃ τῶν λόγων τὴν συμμιξίαν, δεῦρο δή σε πάλιν, ὦ φιλότης, ἐκεῖθεν διὰ τοῦ ἀέρος ἐπὶ τὴν γῆν καταβιβάσωμεν, καὶ κατὰ βραχύ σε πάλιν καθάπερ τῇ προτεραίᾳ περιηγήσαντες, ὑποδείξωμεν καὶ ἐν τοῖς βραχυτάτοις τῆς κτίσεως μορίοις φαινομένην ταύτην καὶ δεικνυμένην τοῖς προσέχειν ἐθέλουσι. καὶ ἁπαξαπλῶς τοῖς γενητὴν λαχοῦσι φύσιν, κοινῇ καὶ ἰδίᾳ συμπαρομαρτοῦσαν ἀεί. ὁδῷ τοίνυν βαδίζοντες, ἐξετάσωμεν τοῦ ἀέρος τὴν φύσιν, πῶς λεπτοτάτη μέν ἐστι, καὶ διολισθαίνουσα, καὶ ῥᾳδίως διαφεύγουσα, καὶ τῶν συνεχόντων δεομένη· διὸ τῶν ὅλων ὁ Ποιητὴς Οὐρανὸν, καὶ γῆν δημιουργήσας, ἐν μέσῳ τοῦτον διέχεε, καὶ τοῦτο τεῖχος ἀρραγὲς διὰ τῶν διὰ τούτων σωμάτων μηχανησάμενος, καὶ αὐτὸν τοῖς ἐν μέσῳ τούτων ἐμψύχοις σώμασι, ζωῆς συνεργὸν ἀποφήνας. τοῦτον γὰρ καὶ ἡμεῖς ἀναπνέοντες ζῶμεν οἱ ἄνθρωποι, καὶ τῶν ἀλόγων δὲ ζώων ὅσα πτηνὰ, καὶ ἑρπετὰ, καὶ ἀμφίβια, τοῦτον ἔχει τῆς ζωῆς συνεργόν. ὅπως κινούμενος, τὴν ἀπὸ τῶν νεφῶν ἀρ-

δείαν

θείαν παραπέμπει τῇ γῇ. τούτῳ τὸ φῶς ὀχήματι κεχρημένον, ἑστιᾷ τῶν ὁρώντων τὰς ὄψεις. οὗτος Ἡλίῳ καὶ γῇ μεσιτεύων, τὸ σφοδρὸν τῆς ἀκτῖνος κεραννύσι, καὶ τῇ οἰκείᾳ ὑγρότητι καὶ ψυχρότητι, τὴν ἐκείνου καταπραΰνων ξηρότητα καὶ θερμότητα, ἄλυπον ἡμῖν πραγματεύεται τοῦ φωτὸς τὴν ἀπόλαυσιν. ἵνα δὲ μὴ νομίσῃς αἴτιον τουτονὶ τῶν ἀγαθῶν τὸν ἀέρα, μάθε ὡς καὶ τούτου τὴν ἀμετρίαν, ἡ τοῦ Ἡλίου κοιμίζει θερμότης. ἀκραιφνῆ γὰρ οὐδεὶς ἂν ἤνεγκε τὴν τοῦ ἀέρος ψυχρότητα. καὶ μάρτυς ἡ χειμέριος ὥρα. ἐν ταύτῃ γάρ, ἐπὶ τὰ νοτιώτερα τοῦ πόλου διατρέχων ὁ Ἥλιος, καὶ τὰ βορειότερα, καὶ τὰ μέσα καταλιμπάνων, ἄδειαν δίδωσι τῷ ἀέρι κεχρῆσθαι τῇ φύσει. ὁ δὲ χαίρων, μηκέτι ὁμοίως δαπανώμενος ὑπὸ τῆς τοῦ Ἡλίου θερμότητος, πυκνούμενος δὲ καὶ συχνὸς γινόμενος, καὶ ὑετὸν ἀφίησι λάβρον, καὶ τῇ σφοδροτέρᾳ τῶν ἀνέμων προσβολῇ τοῦτον ἐξαφρίζων, εἰς νιφετὸν μεταπήγνυσι καὶ χάλαζαν, καὶ τὴν ἐν ταῖς καθαραῖς αἰθρίαις ἀποστάζουσαν δρόσον τῇ αὔρᾳ πηγνύς, ψυχρότητι τὴν πάχνην ἐργάζεται. καὶ ταῦτα εἰ καὶ πόῤῥωθεν, ἀλλ᾽ ὅμως τοῦ Ἡλίου θερμαινόμενος ἀποβάλλει. ἔστι δὲ καὶ ἐντεῦθεν ἀκριβῶς καταμαθεῖν τοῦ Θεοῦ τὴν Προμήθειαν. ἐπειδὴ γὰρ πολλὴ καὶ μεγάλη τῶν στοιχείων ἡ χρεία, καὶ πρὸς τῇ χρείᾳ, πολὺ τὸ κάλλος, καὶ ἄῤῥητος ἡ ὥρα, τὰ δοκοῦντα λυπηρὰ γίνεσθαι διὰ τούτων ὁ πάνσοφος ᾠκονόμησεν, ἵνα μὴ Θεοὺς, ἀλλὰ Θεοῦ ποιήματα ταῦτα εἶναι πιστεύωμεν, ἰθυνόμενά τε καὶ κυβερνώμενα ᾗ ἂν ἐκεῖνος ἰθύνῃ· τούτου χάριν ὁ τῆς ζωῆς ἡμῶν συνεργὸς ἀήρ, ὃν ἀναπνέοντες διαζῶμεν ἅπαντες, ὁ κοινὸς οὗτος θησαυρός, καὶ πενομένων καὶ ἐπὶ πλούτῳ βρενθυομένων, οἰκετῶν καὶ Δεσποτῶν, ἰδιωτῶν καὶ Βασιλέων, ὃν οὐ μᾶλλον τοῦ πένητος ἀναπνέουσιν οἱ τῇ ἁλουργίδι κοσμούμενοι, ἀλλὰ τῇ ἰσομοιρίᾳ κατὰ τὴν τούτου χρείαν ἅπασα τῶν ἀνθρώπων ἡ φύσις τετίμηται, οὐ μόνον ἡμᾶς εὐφραίνει ταῖς ἀναπνοαῖς, καὶ ταῖς αὔραις, καὶ τῇ τοῦ ὑετοῦ χορηγίᾳ, ἀλλὰ καὶ αἰτίᾳ τῷ κρυμῷ, διδά-

διδάσκων ἡμᾶς, ὡς οὐκ ἀρκεῖ μόνος εἰς ζωογονίαν, καὶ τῶν ζώντων τὴν θεραπείαν. οὕτως ὁ Ἥλιος οὐ μόνον εὐφραίνει τῇ προσβολῇ τῶν ἀκτίνων ἡμᾶς, καὶ τὴν διαφορὰν διδάσκει τῶν ὁρωμένων σωμάτων ὄγκων τε καὶ χρωμάτων, ἀλλὰ καὶ αὐτῇ τῇ προσβολῇ τῶν ἀκτίνων, κἂν μὴ τὸν ἀέρα κινήσας ὁ τοῦ παντὸς ἡνίοχος, αὔρας ἡμῖν ψυχρὰς προσενέγκῃ, ὁ προσκυνηθεὶς οὕτως ὑπὸ τῶν ἀνοήτων Ἥλιος, ἄρδην ἐμπιπρήσιν ἅπαντα, καὶ τὸ ζῆν ἀφαιρεῖται τῶν προσκυνούντων. οὐδὲν τοιγαροῦν τῶν στοιχείων αὐτὸ καθ' ἑαυτὸ τῆς ζωῆς τυγχάνει παρεκτικόν, οὔτε μὲν ἅπαντα κοινῇ κεραννύμενα, δίχα τῆς τὰ πάντα κυβερνώσης δυνάμεως, ἀγαθοῦ τινος αἰτία γίνεται. ἔστι γὰρ πάλιν ἰδεῖν, εἰς εὔκρατον μὲν τὸν ἀέρα γεγενημένον, ἐπὶ καιρὸν δὲ παραχεθέντα τὸν ὑετὸν τῇ γῇ, ἀλύπως τὸν Ἥλιον ταῖς ἀκτῖσι χρησάμενον, τὰς τῶν ἀνέμων αὔρας κινηθείσας ἐν τάξει, τοὺς γηπόνους ἐπιμελῶς τὴν γῆν γεωργοῦντας, συνήθως καταβάλλοντας τὰ σπέρματα, καὶ οὔτε τὴν γῆν ἀγνωμόνως ἐκτίσασαν τοὺς καρπούς, οὔτε τῶν ἀνθρώπων τὴν φύσιν ἄνοσον διαμείνασαν. ταῦτα δὲ ποιεῖ τῶν ὅλων ὁ Πρύτανις, πείθων ἡμᾶς μὴ τῇ κτίσει θαῤῥεῖν, μηδ' εἰς αὐτὴν ἀναφέρειν τῶν ἀγαθῶν τὴν αἰτίαν, ἀλλὰ τῷ ταύτης δημιουργῷ προσφέρειν. ἐπειδὴ τοίνυν εἶδες καὶ τὸν ἀέρα τῆς τοῦ Θεοῦ ἀπολαύοντα Προμηθείας, καὶ δι' ἐκεῖνον τοσαύταις ἐτῶν χιλιάσιν ἀρκέσαντα, καὶ μήτε ὑπὸ τῶν ἀναπνεόντων ζώων δαπανηθέντα, μήτε ἐκτὸς τῶν συνεχόντων αὐτὸν σωμάτων ἐκρεύσαντα, δεῦρό γε πρὸς τὴν γῆν ἀγάγωμεν, τὴν κοινὴν τροφόν, καὶ μητέρα, καὶ τάφον. ἐξ ἧς τὸ σῶμα τὸ πήλινον, καὶ τὸ στόμα τὸ κατὰ τοῦ Πλάστου λαλοῦν μεγάλα κατὰ τὴν τοῦ Δανιὴλ ὀπτασίαν. βλέπε τοιγαροῦν ταύτης πρὸ τῶν ἄλλων ἁπάντων τὴν θέσιν, καὶ τῶν σχημάτων τὴν ποικιλίαν. οὔτε γὰρ ὑπτία πᾶσα, οὔτε προσάντης, ἀλλ' εἰς ὄρη καὶ νάπας καὶ πεδία διῄρηται. ἴδοι δ' ἄν τις πεδίων ἐν μέσῳ μεγάλων λόφους εἰς

ὕψος

ὕψος ἐγηγερμένας, καὶ μεταξὺ τῶν ὀρῶν, πρανεῖς τινας τόπους καὶ λείους, ἐν κόλπων τινῶν θαλαττίων σχήματι. καὶ τὰ ὄρη δὲ αὐτὰ πρὸς χρείαν τῶν ἀνθρώπων διεῖλεν ὁ Ποιητής, καὶ εἰς κρημνοὺς διαστήσας βαθεῖς, τοῖς τε χειμερίοις ὕδασι τὰς πορείας ἐμηχανήσατο, καὶ τοῖς ἀνθρώποις εὐπόρους ἐν ταῖς δυσχωρίαις τὰς ὁδοὺς ἐτεκτήνατο. καὶ τὰ μὲν ὄρη παρέχει τῇ τῶν οἰκοδόμων τέχνῃ τὰς ὕλας, τὰ δὲ πεδία τοῖς ἐν τοῖς ὄρεσι διαιτωμένοις ἀντιδίδωσι τῶν πυρῶν τὴν ἀφθονίαν. καὶ τὸ ποικίλον τῆς θέσεως, οὐ τρέφει μόνον, ἀλλὰ καὶ τέρπει τῶν ἀνθρώπων τὰς ὄψεις. φιλεῖ γὰρ τὰ μονοειδῆ ταχὺ ἐπάγειν τὸν κόρον. εἰπέ μοι, τίς ὁ ταῦθ' οὕτω διακοσμήσας; τίς ὁ τοσαύτην αὐτοῖς ἐναποθέμενος δύναμιν, ὥστε τοσούτων ἐνιαυτῶν κύκλους μὴ δαπανῆσαι τὸν θησαυρόν; τίς ὁ τὰ ὄντα διαφυλάττων ἀκίνητα; τίς ἐπείγει τῶν ποταμῶν τὰ ῥεύματα; τίς ὠθεῖ τῶν πηγῶν τὰς ὠδῖνας; βλέπε ταύτας ὧδε μὲν ἐν ταῖς τῶν ὀρῶν κορυφαῖς ἀναβλυζούσας, ἐκεῖ δέ, οὐδ' ἐν ταῖς ὑπωρείαις φαινομένας, ἀλλ' ἐκ βαθυτάτων φρεάτων περιχεούσας τοῖς ἀνθρώποις τὰ νάματα. ἵνα γὰρ μὴ νομίσῃς αὐτόματον ἄττειν ἄνω τῶν ὑδάτων τὴν φύσιν, διδάσκει σε ὁ Ποιητὴς διὰ τῶν πραγμάτων, ὡς τῷ θείῳ λόγῳ πειθόμενον τὸ ὕδωρ, καὶ τὰς ἀκρωρείας ἀπόνως καταλαμβάνον, οὐδὲ βιαζόμενον ὑπὸ τῆς σῆς τέχνης, εἰς τὴν τῶν πεδίων ἄνεισιν ἐπιφάνειαν, ἀλλ' ὀρύττεις μὲν καὶ βαθύνεις τὰ φρέατα, ἀπολαύσεις δὲ τῶν ὑδάτων κάτωθεν ἀνιμώμενος. ὁμόδουλος γάρ, ἀλλ' οὐ Ποιητὴς τῶν στοιχείων ὑπάρχεις. τῷ δὲ Ποιητῇ ῥᾴδιον, οὐκ εἰς ἀκρώρειαν μόνον, ἀλλὰ καὶ εἰς ἀέρα μέσον ἀνασπᾶσαι τῶν ὑδάτων τὴν φύσιν, καὶ τὴν πικρὰν γλυκᾶναι, καὶ πῆξαι τὴν λελυμένην, καὶ λῦσαι τὴν δεδεμένην, καὶ τὴν συνεχῆ διατεμεῖν, καὶ τὴν ῥοώδη στῆσαι, καὶ τὴν κάτω φέρεσθαι πεφυκυῖαν ἀνατρέχουσαν δεῖξαι, καὶ τὴν ψυχρὰν δίχα

πυ-

πυρὸς θερμανθῆναι. καὶ ταῦτα ποιεῖ διὰ σὲ τὸν ἀχάριστον, ἵν' ἔχῃς ἀπολαύειν καὶ θερμῶν ἀχειροποιήτων, ἵνα τὰ τοῦ σώματος θεραπεύσῃς παθήματα. καὶ ταῦτα δὲ πάλιν ποικίλα σοὶ προὔθηκεν, εἰς ἐναντίας χρείας ἁρμόζοντα. τὰ μὲν γὰρ, χαυνοῖ τὰ πεπηγμένα τῶν νεύρων. τὰ δὲ, σφίγγει καὶ πυκνοῖ τὰ λελυμένα. καὶ τὰ μὲν, φλέγματι πολεμεῖ. τὰ δὲ, μελαίνῃ χολῇ. τὰ δὲ, ἕλκη ξηραίνει. τοσαύτην καὶ ἐν τοῖς θερμοῖς ὕδασι χρείαν ὁ κηδεμών σοι προσέθηκε. σὲ δὲ οὐδὲν πείθει μὴ βλασφημεῖν, ἀλλὰ μόνης ἀχαριστῶν, καὶ λοιδορῶν, καὶ τὰ Μανιχαίων νοσῶν, ὃς σιτίων καὶ ποτῶν ἀπολαύων, λοιδορεῖται τοῖς χορηγοῦσι, καὶ θερισταῖς ὁμοῦ καὶ ἀρτοποιοῖς, καὶ τοῖς τὸν ἄρτον διχῇ τέμνουσιν ἐπαρᾶται, αὐτὸς τέμνειν μὲν οὐκ ἀνεχόμενος, ἐσθίων δὲ τὸ τεμνόμενον. οὕτω καὶ σὺ μυρίων ὅσων ἀγαθῶν ἀπολαύων, ὧν ὁ δημιουργός σοι προσφέρει καθεκάστην ἡμέραν διὰ τῆς κτίσεως, ἀχαριστεῖς τῷ προσφέροντι, καὶ λοιδορῇ, καὶ βλασφημεῖς, λέγων αὐτὸν μὴ προνοεῖν ὧν πεποίηκεν. ὅρα δὲ πόσην ἀδικίαν αὐτοῦ καταψηφίζῃ, τοιαῦτα συκοφαντῶν. τί δήποτε γὰρ καὶ πεποίηκε, τούτων ἐπιμελεῖσθαι μὴ θέλων; τίνος δὲ χάριν οὐ κήδεται; ὡς δυνάμενος μὲν, οὐ βουλόμενος δέ; ἀλλ' ὅτι μὲν δύναται, μαρτυρεῖ τὰ γεγονότα. πῶς γὰρ ἂν ἐποίησε τῶν ὁρωμένων τὰ κάλλη, τὰ μεγέθη, τὴν ἁρμονίαν, δύναμιν οὐκ ἔχων ἀρκοῦσαν τῇ γλώττῃ; πῶς δ' αὖ εἰς κοινωνίαν καὶ κρᾶσιν τὰ διεστῶτα συνήγαγεν, ὕδωρ καὶ πῦρ, ἡμέραν καὶ νύκτα, καὶ μίαν ἐκ πάντων ἁρμονίαν καὶ συμφωνίαν εἰργάσατο, ὁ προνοεῖν οὐ δυνάμενος; μεῖζον γὰρ πολλῷ τῷ μέτρῳ, τὸ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγεῖν, τοῦ τῶν ὄντων προνοεῖν. ἀλλ' ὅτι μὲν δύναται, μάρτυς ἡ κτίσις, ὅτι δὲ καὶ βούλεται, πάλιν αὐτὴ μαρτυρεῖ. οὐ γὰρ ἄλλου τινὸς ἀναγκάζοντος ἐπὶ τὴν δημιουργίαν ἐλήλυθεν, οὔτε μὴν ὡς δεόμενος τὴν κτίσιν

πα-

παρήγαγεν, ἀλλ' ἀγαθὸς ὢν, καὶ ἀγαθότητα ἔχων μείζω παντὸς μείζονα, ἠθέλησε καὶ τοῖς μὴ οὖσι τὸ εἶναι δωρήσασθαι. ὁ δὲ τοσαύτῃ περὶ τὰ μὴ ὄντα χρησάμενος ἀγαθότητι, πῶς ἂν γεγονότων ἀμελήσειεν; οὔτε γὰρ ἔστιν εἰπεῖν, ὡς ἐφθόνησε γεγονόσιν. ἄφθονον γὰρ ἔχει τὴν φύσιν, καὶ πάθους παντὸς ἐλευθέραν. ἵνα δὲ ἐκ πολλοῦ τοῦ περιόντος γυμνάσωμεν τὴν τῆς ἀσεβείας ἀσθένειαν, σμικρόν τι αὐτῆς προσερωτήσωμεν. τί δήποτε γάρ, εἴπατε, τῇ τὸ εἶναι παρ' αὐτοῦ λαβούσῃ ἐφθόνησε κτίσει; διὰ τὸ μέγεθος; ἀλλ' αὐτὸς ἄκτιστός ἐστι καὶ ἀόριστος, οὔτε ἀρχὴν ἐσχηκώς, οὔτε τέλος δεξάμενος πώποτε, πάντα περιέχων, ὑπ' οὐδενὸς περιγραφόμενος. ἐν τῇ χειρὶ γὰρ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ αὐτὸς ἐμέτρησε τῇ χειρὶ αὐτοῦ τὸ ὕδωρ, καὶ τὸν Οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί. ἀλλὰ διὰ τὸ κάλλος; ἀλλ' ὑπ' αὐτοῦ γεγένηται. οὐδεὶς δὲ οὐδὲ τῶν ἄγαν φθονερωτάτων ἀνθρώπων, οἰκίαν εὐπρεπῆ καὶ λαμπρὰν δειμάμενος, ἐφθόνησε ταύτῃ πώποτε, ἀλλ' ἐναμβρύνεται, καὶ σεμνύνεται, καὶ οὕτως τε γάνυται, καὶ τοῖς ἀγνοοῦσιν ὑποδείκνυσιν. ὅσον δὲ τὸ τῆς κτίσεως κάλλος τοῦ νοεροῦ φωτὸς τοῦ πεποιηκότος ἀφέστηκε, τίς ἂν μετρήσειε λόγος; ὁρᾶτε τοιγαροῦν, ποῦ τὰ τῆς ἀσεβείας κεχώρηκε; τῶν γὰρ πονηροτάτων ἀνθρώπων, οὐ μόνον οὐ φθονούντων ταῖς ὑπ' αὐτῶν οἰκοδομουμέναις οἰκίαις, ἀλλὰ καὶ λίαν ὑπ' αὐταῖς λαμπρυνομένων, τὴν τῆς ἀγαθότητος πηγὴν, καὶ ὑπ' οὐδενὸς πάθους θολοῦσθαι πεφυκυῖαν, φθόνῳ βάλλεσθαι λέγειν, ποίας ἀσεβείας ὑπερβολὴν καταλείπει; εἰ τοίνυν καὶ δύναται κατέχειν τοὺς τῆς κτίσεως οἴακας, καὶ βούλεται αὐτὴν πάντων ἀγαθῶν ἀπολαύειν, δῆλον ὅτι καὶ κήδεται καὶ ἐφέστηκε, καὶ τῶν ἰδίων ἐπειλημμένος, τὴν γενητὴν ἅπασαν φύσιν ἡνιοχεῖ, καὶ οὐδὲν ἀτημέλητον καταλείπει. καὶ ὅτι ταῦθ' οὕτως ἔχει, κατάβηθι πάλιν ἐπὶ τὴν θάλατ-

ταν, καὶ βλέπε ταύτης τὰ κήτη, τὰ μεγέθη, τὴν εἰς πελάγη διαίρεσιν, τὰς ἀκτὰς, τοὺς ὅρμους, τὰς ἐν μέσῳ νήσους, τῶν ἰχθύων τὰ ἔθνη, τὰ εἴδη, τὰ σχήματα, τὴν ποικιλίαν, τὴν πρὸς τὴν χέρσον φιλίαν, τὰ τῶν κυμάτων σκιρτήματα, τὸν ἐπικείμενον αὐτοῖς τῆς Προνοίας χαλινὸν, δι᾽ ὃν τὴν ἤπειρον ἐπικλύζειν οὐ δύναται, ἀλλ᾽ ὁρμῶντα καὶ τῆς ψάμμου φοβεῖται τοὺς ὅρους, καὶ τὸν θεῖον ἐκεῖ νόμον γεγραμμένον ὁρῶντα, οἷόν τις γαῦρος ἵππος ἀγχόμενος ὑπὸ πωλοδάμνου, ἀνακλᾷ τὸν αὐχένα, καὶ εἰς τοὐπίσω χωρεῖ, ὥσπερ μεταμελόμενα, ὅτι καὶ τῇ ψάμμῳ προσέψαυσε. διὰ ταύτης ἔστιν ἰδεῖν τὰς μεμερισμένας ἠπείρους, καὶ πόῤῥωθεν ἀλλήλων καθημένας, εἰς φιλίαν συναγομένας. ὁμόνοιαν γὰρ ἐνθεῖναι τῇ φύσει τῶν ἀνθρώπων ὁ Ποιητὴς ἐθελήσας, ταῖς χρείαις αὐτοὺς ἀλλήλους συνέδησε. διὰ ταύτης τὰς μακρὰς ἀποδημίας ποιούμεθα, καὶ τὰς χρείας παρ᾽ ἀλλήλων ἐρανιζόμεθα, καὶ τῶν ἀναγκαίων τὰς ὕλας ἀλλήλοις ἀντιδιδόαμεν. οὔτε γὰρ εἴασεν ὁ κηδεμὼν ἕκαστον τμῆμα τῆς γῆς ἅπασιν τοῖς ἀνθρώποις παρέχειν τὴν χρείαν, ἵνα μὴ τὸ ἀνενδεὲς τῇ φιλίᾳ λυμήνηται. ὑβριστὴς γὰρ ὁ κόρος καὶ ἀταξίας πατήρ. πρόκειται γὰρ ἡ θάλασσα μέση τῆς οἰκουμένης, εἰς κόλπους μυρίους διῃρημένη, οἷόν τις πόλεως μεγίστης ἀγορὰ, πάσαν τῶν ἀναγκαίων τὴν ἀφθονίαν παρέχουσα, καὶ πολλοὺς πρακτῆρας καὶ ὠνητὰς δεχομένη, καὶ τούς τε ἐκεῖθεν ἐντεῦθεν παραπέμπουσα, καὶ τοὺς ἐκεῖθεν ἄγουσα τῇδε. ἐπειδὴ γὰρ ἐπίπονος ἡ διὰ τῆς ἠπείρου πορεία, οὐδ᾽ ἐπίπονον δὲ μόνον ἦν, ἀλλὰ καὶ ἀδύνατον διὰ ταύτης πᾶσαν ἀναπληρῶσαι τὴν ἔνδειαν, πρόκειται τῆς θαλάττης τὰ νῶτα, σκάφη καὶ σμικρὰ καὶ μεγάλα δεχόμενα, καὶ φόρτον πολὺν καὶ ἀναγκαῖον τοῖς δεομένοις κομίζοντα. ἔστι γὰρ ἰδεῖν μιᾶς ὁλκάδος φορτία πολλὰ, κτηνῶν χιλιάδας ἀχθοφορούσας· ἵνα δὲ μὴ δυσχεραίνωσιν οἱ ταύτης ὁδῖται, οἷόν τινας σταθμοὺς

κα-

κατέπηξε τὰς νήσους ὁ Ποιητὴς, ἐν αἷς καταγόμενοι, διαναπαυόμενοι, καὶ τὰς χρείας ὠνούμενοι, πάλιν ἀπαίρουσιν ἔνθα αὖ τὴν ὁρμὴν ἔχουσιν. αἰσχύνθητι τοιγαροῦν τῶν εὐεργεσιῶν τὸ πλῆθος, εἶπεν ἡ θάλασσα. ἁρμόττει σοι γὰρ μᾶλλον, ἢ τῇ Σιδῶνι τοῦ Προφήτου τὰ ῥήματα. ἡ μὲν γὰρ ἀγνοοῦσα τὸν Ποιητὴν, εἰς πολλοὺς τὸ θεῖον διῄρει Θεοὺς, καὶ τὴν μίαν προσκύνησιν κατατέμνουσα, τοῖς μὴ οὖσι ταύτην προσέφερεν, οὐκ ἀρνουμένη τὴν Πρόνοιαν, ἀλλὰ τούτοις αὐτὴν προσάπτουσα. οὐ γὰρ ἂν ἔθυσεν οἷς ἐνόμιζε Θεοῖς, εἰ μὴ λίαν ἑαυτὴν ἔπειθεν, ὡς καὶ ὠφέλειαν πορίζουσι, καὶ βλάβην ἀποτρέπουσι. σὺ δὲ τῆς πολυθέου πλάνης ἀπηλλαγμένος, καὶ πάντα τὰ ὁρώμενα ὁμολογῶν εἶναι ποιήματα, καὶ τὸν τούτων Ποιητὴν προσκυνῶν, ἐκβάλλεις αὐτὸν ὧν ἐποίησε, καὶ πόρρω που καθίζεις τῆς κτίσεως· καὶ τὸν τοσοῦτον Κόσμον ἀκυβέρνητον εἶναι λέγεις, καὶ οἷόν τι σκάφος ἀνερμάτιστον ὡς ἔτυχε φέρεσθαι. αἰσχύνθητι τοιγαροῦν τὰς διὰ Θαλάττης εὐεργεσίας, τὰς ἐκ Γῆς, τὰς ἐξ Ἀέρος, τὰς ἐξ Ἡλίου, Οὐρανὸν τὸν ἐπικείμενον ὄροφον. αἰδέσθητι τὸν δασμὸν, ὃν λαμβάνεις παρὰ τῆς κτίσεως· δασμοφορεῖ γάρ σοι τῶν εἰρημένων ἕκαστον, καὶ οἷόν τινα φόρον προσφέρει τὴν χρείαν. Ἥλιος μὲν, φωτίζει, θερμαίνει, τοὺς ἐκ γῆς πεπαίνει καρποὺς· Σελήνη, δᾳδουχεῖ σοι νύκτωρ. Ἀστέρες, ἐπὶ γῆς μὲν ὄντι σοι, τὸν νυκτερινὸν δηλοῦσι καιρὸν, καὶ τῶν ὡρῶν τὰς μεταβολὰς προσημαίνουσι· θαλαττίῳ δέ σοι γινομένῳ, ποδηγοὶ γίνονται πρὸς τὴν ἤπειρον. ἀὴρ, ἀναπνεόμενος μὲν, τὴν ἔμφυτόν σου καταψύχει θερμότητα. ὕων δὲ, τοὺς τῆς γεωργίας ἐκτρέφει καρπούς. κρυμὸν ἐργαζόμενος, παύει μὲν τὴν ἐπὶ τὰ ἄνω φερομένην βλάστην καὶ φυτῶν καὶ σπερμάτων, εἰς δὲ τὰς ῥίζας ἐκπέμπει τὴν αὐξητικὴν δύναμιν, καὶ οἷόν τινι μάστιγι τῷ κρυμῷ τὴν ἄνω φερομένην ἐπὶ τὰ κάτω διώκει· διαφθείρει

τῶν

τῶν ἑρπετῶν τὰ σώματα, καὶ φυτοῖς; καὶ σπέρμασι λυμαινόμενα· χορηγεῖ σοι τῶν τροφίμων ὀρνίθων τὰ γένη. καὶ τί δεῖ λέγειν, τοὺς ἀπὸ γῆς καρποὺς, τοὺς ἐκ πηγῶν, τοὺς ἐκ ποταμῶν, τοὺς ἐκ θαλάττης; τούτων ἀπολαύων, ἀμνημονεῖς τοῦ δοτῆρος; καὶ τὴν κτίσιν τρυγῶν, καὶ τοῦ Κτίστου λυττᾷς καὶ μέμηνας, καὶ παραπαίεις; καὶ οὐκ αἰδῇ τῶν δωρεῶν, ταύτας ἐν ταῖς χερσὶ περιφέρων, ἀλλ' ὠδίνεις τὴν ἀντίρρησιν; οἶδα γάρ σου τὰς ἀντιρρήσεις. ἐγὼ δὲ οὔτε ταύτας τῷδε τῷ λόγῳ προσθήσω, οὔτε τὰς λύσεις προσαρμόσω. ἕτερον δὲ λόγον, συνεργὸν ἔχων τὴν ὑπὸ σοῦ πολεμουμένην Προμήθειαν, ὑφῆναι διὰ τούτων βεβούλευμαι· ἐνταῦθά σε τοίνυν καταλιπὼν, καὶ τῇ τῶν εἰρημένων ἐντρυφῆσαι θεωρίᾳ παρακαλέσας, καὶ πανταχόθεν ἑλκύσαι τὴν ὠφέλειαν, τὸν τοῦ παντὸς Κυβερνήτην ὑμνήσω· ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τ Ε Λ Ο Σ

10366

ΕΛΕΓ-

# ΕΛΕΓΧΟΣ

## Τῶν ἐν τῷ β΄. Τόμῳ Περιεχομένων.

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Λόγοι.


Περὶ Προσευχῆς. 3
Εἰς Εὐτρόπιον. 11
Εἰς τὸν Ἅγιον Ἀπόστολον Παῦλον. 18
Εἰς τοὺς Ἁγίους Πάντας. 24
Εἰς τὴν Παραβολὴν τοῦ Ἀσώτου. 35

ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ.

Εἰς τὸ, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν. 45
Εἰς τὸν Ἀδάμ. 51
Εἰς τὸν Νῶε. 59
Εἰς τὸν Ἀβραάμ. 64
Εἰς τὸν Πάγκαλον Ἰωσήφ. 71
Εἰς τὸν Μωϋσῆν. 78

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Εἰς Βαρλαὰμ Μάρτυρα. 83
Εἰς τοὺς Τεσσαράκοντα Μάρτυρας. 89
Κατὰ τῶν Ὀργιζομένων. 99
Εἰς τὸ, καθελῶ μου τὰς ἀποθήκας. 111
Εἰς τὸ, πρόσεχε σεαυτῷ. 122

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Εἰς τὴν μεγάλην Παρασκευήν. 136
Εἰς τὸ ἅγιον Πάσχα. 141
Εἰς τὴν Κυριακὴν τοῦ Θωμᾶ. 146
Εἰς τὴν Ἀνάληψιν, Λόγος α΄. 153
Εἰς τὴν Ἀνάληψιν, Λόγος β΄. 157

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ.

Εἰς Πουλχερίαν ἐπιτάφιος. 164
Εἰς Πλακίλλαν ἐπιτάφιος. 174
Εἰς τὸν Μέγαν Μελέτιον. 185
Εἰς τοὺς Τεσσαράκοντα Μάρτυρας. 194
Περὶ Μετανοίας. 205


ΠΡΟ-

ΠΡΟΚΛΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Εἰς τὸν Πρωτομάρτυρα Στέφανον. 219

Εἰς τὰ ἅγια Θεοφάνια. 225

Εἰς τὸ πάθος τοῦ Χριστοῦ. 229

Εἰς τὸ ἅγιον Πάσχα. 232

Εἰς τὴν Παναγίαν Θεοτόκον. 236

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

Εἰς τοὺς λόγους, καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν. 243

Εἰς τοὺς Μακκαβαίους. 254

Εἰς Καισάριον τὸν ἑαυτοῦ ἀδελφόν. 265

Εἰς τὸν μέγαν Ἀθανάσιον. 285

Εἰς τὰ Γενέθλια τοῦ Σωτῆρος. 309

ΑΣΤΕΡΙΟΥ ΑΜΑΣΕΙΑΣ.

Κατὰ πλεονεξίας. 321

ΚΥΡΙΛΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Κατὰ Νεστορίου. 336

Περὶ τοῦ θεανθρώπου Σωτῆρος. 340

Περὶ τοῦ αὐτοῦ. 343

ΓΕΡΜΑΝΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου. 346

ΑΝΑΣΤΑΣΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ.

Εἰς τὸν Εὐαγγελισμόν. 353

ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ.

Εἰς τὸ γενέσιον τῆς Θεομήτορος. 356

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

Εἰς τὴν Μετάστασιν τῆς Παρθενομήτορος. 366

ΘΕΟΔΟΤΟΥ ΑΓΚΥΡΑΣ.

Κατὰ Νεστορίου. 382

Εἰς τὴν Γέννησιν τοῦ Σωτῆρος. 385

ΣΥΜΕΩΝΟΣ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ.

Θρῆνος τῆς Θεοτόκου. 397

ΑΚΑΚΙΟΥ ΜΕΛΙΤΗΝΗΣ

Περὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ. 404

ΘΕΟΔΩΡΗΤΟΥ ΚΥΡΟΥ.

Περὶ Προνοίας. Λόγος, α΄. 408

Περὶ Προνοίας. Λόγος, β΄. 421

ΤΕΛΟΣ.

10366